ER^a ΛYSΘ Σ PVT CN(B) Syr 1 τὸ om R^a 2 ἀποκτείνει TCv: ἀποκτέννει ER^aΘΣ ἀποκτένει ΛYSPV ἀποκταείνει (sic)B post πολλαχῇ add [τῆς γραφῆς, τουτέστι] v 3 ψιλῷ B σταίημαι R^a πραγμάτων: γραμμάτων Λ (γραμμ in ras ut vid) 4 παρεχόμενος Y παρερχομένης B 5 ὠφέλησε PVTCB ὠσϊὲ VC(corr C^2)N 6 εἰσιὼν om E(add E^2) εἰς τὴν σιὼν P 7 εἰ om Θ (add $Θ^2$) στήσειέ τις ER^aΛYv 8 ἢ om Syr τὸν ἐνάρετον συν- corr ut vid in ras E 9 κατ' αὐτὸν ΘΣP κατὰ ταὐτὸν V κατ' αὐτοῦ NC(corr C^2) περὶ om PV τὸ ἓν om V 10 εὑρεθῇ Y ὁ om SΘTCN 11 οἰκοδομούμενον ΛY δεικνύων V 12 ἀποστόλου: αὐτοῦ v ἀποδειχθήσεται P 13 ἀποκτείνει TCv: ἀποκτέννει ER^aΘΣ ἀποκτένει ΛYSPVN πραγματειῶν Y 13-14 πονηρῶν — ὑποδείγματα om Syr coll post ζωοποιεῖ (coll πραγμάτων post ὑποδείγματα)PV πραγμάτων coll post ὑποδείγματα ΣTCB (de PV cf supra) αὐτῷ TCB post ἑαυτῷ add τὰ ER^aΛ(ut vid, eras)Yv 15 τε om Vv 16 post πάσης add τῆς Θ 17 ὅτε: ὅτι E (corr E^2)Y 18 διὰ om Σ παρεδίδου om R^a

ἀνακαλύπτοντα ἡμῖν τὰ τοῦ νόμου νοήματα, ὥστε τοὺς δύο ἀνθρώπους, ὧν ἀληθής ἐστιν ἡ μαρτυρία, ἑαυτὸν καὶ τὸν πατέρα λέγειν εἶναι· καὶ τὸν χαλκοῦν ὄφιν τὸν ἐπὶ τοῦ ὕψους ἀνατεθέντα, ὃς ἦν τῷ λαῷ τῶν θανατηφόρων δηγμάτων ἀλεξητήριος, εἰς τὴν διὰ τοῦ σταυροῦ γενομένην ὑπὲρ ἡμῶν οἰκονομίαν μεταλαμβάνοντα· καὶ αὐτῶν δὲ τῶν ἁγίων αὐτοῦ μαθητῶν τὴν ἀγχίνοιαν διὰ τῶν ἐπικεκαλυμμένων τε καὶ ἐπικεκρυμμένων λόγων διαγυμνάζοντα ἐν παραβολαῖς, ἐν ὁμοιώμασιν, ἐν σκοτεινοῖς λόγοις, ἐν ἀποφθέγμασι, τοῖς δι' αἰνιγμάτων προφερομένοις, ὑπὲρ ὧν κατὰ μόνας μὲν ἐποιεῖτο τὰς ἐξηγήσεις ἐπιλύων αὐτοῖς τὴν ἀσάφειαν, ἔστι δὲ ὅπου, εἰ μὴ κατελήφθη παρ' αὐτῶν ἡ τῶν λεγομένων διάνοια, διεμέμφετο αὐτῶν τὸ βραδύνουν καὶ περὶ τὴν σύνεσιν ἄτονον· ὅτε γὰρ ἀπέχεσθαι τῆς Φαρισαϊκῆς αὐτοῖς ἐνεκελεύετο ζύμης, οἱ δὲ μικροψύχως πρὸς τὰς πήρας ἀπέβλεπον, ἐν αἷς τὸν ἐκ τῶν ἄρτων ἐπισιτισμὸν οὐκ ἐπήγοντο, τότε καθάπτεται τῶν μὴ συνιέντων, ὅτι διδασκαλία ἦν τὸ διὰ

1-2 cf Joh 8, 17/18; cf Deut 19, 15   3 cf Joh 3, 14; Num 21, 8   6 sqq cf ex.gr. Matth 13, 34-36   14 cf Matth 16, 6-12

ER^a ΛYSΘ Σ PVT CN(B) Syr   1 νοήματα: μυστήρια καὶ νοήματα ΣTCSyr νοήματα καὶ μυστήρια N, scil utrique var lect in text ins   2 ὧν: ὡς Θ   ἐστιν om E(sscr E^2)   ἡ ἁμαρτία ἑαυτῶν Y   3 λέγων E(sscr ει E^2)Λ(ω corr ex ει ut vid) YSΘ ἓν εἶναι PVN ἐνεῖναι C(eras ἐν)   τὸν ὄφιν τὸν χαλκοῦν τὸν PVTCN   ἐπὶ: εἰς PV   τὸ ὕψος PVC(corr C^2)N   4 ἀναταθέντα SΘ$Λ^2$ (e -τεθ-)   δηγμάτων E(η e corr ut vid) δογμάτων Y   5 ἀλεξιτήριος EΘv   γινομένην ER^aΛY   6 ἁγίων: ἁπλῶς v   7 κεκαλυμμένων ER^aΛYv   8 τε om P   τε καὶ ἐπικεκρυμμένων om TC scil var lect esse credentes, fort recte   9 ὁμοιώσεσιν ΣVTCN   10 προσφερομένοις VN   11 τὰς om v   12 κατελείφθη E(corr E^2)Λ(corr $Λ^2$)YC(corr C^2)   13 post βραδύνουν add ὡς ἰδιωτικωτέρων αὐτῶν ὄντων TCN (ἰδικωτέρων C, corr C^2, ἰδικώτερον N)   14 ἀτόνων TC^2(ex ἄτονον ut vid) ἄτοπον v   ἀποσχέσθαι ER^aΛYv   14-15 τοῦ Φαρισαϊκοῦ .... ζυμοῦ v   15 δὲ μικροψύχως: δὲ δὴ ὁλοψύχως TC^2(corr δὴ in ras) δὲ μὴ ὀλιγοψύχως N   πρὸς: εἰς T   πείρας Λ(corr $Λ^2$) YE(ut vid, corr E^2)C(ut vid, corr C^2)N πονηρὰς Σ   ἐπέβλεπον N   16 οἷς N   τὸν: τῶν V   ante οὐκ add καὶ Y   ἐπήγετο YΛ(ut vid, corr $Λ^2$) ἐπηγάγοντο TCN   17 συνέντων EΛY

τῆς ζύμης δηλούμενον. καὶ πάλιν τράπεζαν αὐτῷ τῶν μαθητῶν παρατιθέντων ἀποκρινόμενος ὅτι Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε, ὑπονοησάντων αὐτῶν περὶ σωματικῆς αὐτὸν λέγειν τροφῆς ὡς ἑτέρωθεν αὐτῷ προσενεχθείσης, ἑρμηνεύει τὸν ἑαυτοῦ λόγον ὅτι βρῶσίς ἐστιν αὐτῷ πρέπουσα καὶ κατάλληλος ἡ τοῦ σωτηρίου θελήματος ἀποπλήρωσις. καὶ μυρία τοιαῦτα ἐκ τῶν εὐαγγελικῶν φωνῶν ἔστιν ἀναλέξασθαι, ἐφ' ὧν ἄλλο μὲν ἔστι τὸ ἐκ τοῦ προχείρου νοούμενον, ἕτερον δὲ πρὸς ὃ βλέπει ἡ τῶν λεγομένων διάνοια· οἷον τὸ ὕδωρ ὃ τοῖς διψῶσι κατεπηγγείλατο δι' οὗ πηγαὶ ποταμῶν γίνονται οἱ πιστεύοντες, τὸν ἄρτον τὸν ἐκ τῶν οὐρανῶν καταβαίνοντα, τὸν ναὸν τὸν λυόμενον καὶ διὰ τριῶν ἡμερῶν ἐγειρόμενον, τὴν ὁδόν, τὴν θύραν, τὸν λίθον τὸν παρὰ τῶν οἰκοδόμων ἐξουθενημένον καὶ τῇ ἐπιγωνίῳ κεφαλῇ ἁρμοζόμενον, τοὺς δύο τοὺς ἐπὶ κλίνης μιᾶς, τὸν μυλῶνα, τὰς ἀληθούσας, τὴν παραλαμβανομένην, τὴν καταλιμπανομένην, τὸ πτῶμα, τοὺς ἀετούς, τὴν συκῆν τὴν ἀπαλυνομένην καὶ τοὺς κλάδους ἐκφύουσαν. ἅπερ πάντα καὶ ὅσα τοιαῦτα γένοιτο ἂν εἰς προτροπὴν ἡμῖν τοῦ χρῆναι

1-7 cf Joh 4, 31-34   10-11 cf Joh 7, 37/38; cf Joh 4, 13/14   11-12 cf Joh 6, 33   12-13 cf Joh 2, 19   13 cf Joh 14, 6 (ὁδός); Joh 10, 9 (θύρα); Act 4, 11; cf Matth 21, 42; Ps 117, 22 (λίθος)   15 cf Luc 17, 34   16 cf Matth 24, 41   17 cf Matth 24, 28   18 cf Matth 24, 32   19 sq cf Joh 5, 39; cf II Tim 3, 14-16; cf Origen l.l. 3, 5 (p 331, 2 sqq)

ER^a ΛYSΘ Σ PVT CN Syr   1 τῆς om P τοῦ ζυμοῦ v   τὴν τράπεζαν R^a 2 παραθέντων ER^aΛYSΘv   ἀποκρινάμενος ΘΣTCN ἀποκρίνεται PV   3 φαγεῖν ἔχω βρῶσιν PVCN   ἡμεῖς N   αὐτῶν om ΘΣ   4 αὐτὸν: αὐτῶν N om PV   λέγειν coll ante 3 περὶ PV coll post τροφῆς TCN   5 ἑρμηνεύειν Y   ἐστιν: ἦν PV   6 καὶ om Λ(add $Λ^2$)Y   καταλλήλως Y   7 πλήρωσις PV   10 ὃ om SΘ   κατηγγείλατο Σ ἐπηγγείλατο PVTCN   11-12 τοῦ οὐρανοῦ ΣVTCNSyr   12 καταβάντα Σ   13 τὴν ὁδόν — 15 ἁρμοζόμενον om S(add in marg S^2)Θ   13 τὴν θύραν τὴν ὁδόν Σ   14 οἰκοδομουμένων S(corr in marg S^2)Θv   ἐξουθενούμενον ER^aΛYS^2 (in marg) ἐξουδενούμενον SΘv   ἐπιγωνία N   15 τοὺς alt: τοῦ Σ   τῆς κλίνης τῆς μιᾶς ΛY   16-17 τὴν καταλιμπανομένην om V   17 πῶμα C(corr C^2) σῶμα V   18 ἀπολυμένην C ἀπολλυμένην T   19 ἐς v   προκοπὴν Y   ἡμῖν coll ante εἰς ER^aΛYv   post χρῆναι add καὶ v

διερευνᾶν τὰς θείας φωνὰς καὶ προσέχειν τῇ ἀναγνώσει καὶ κατὰ πάντα τρόπον ἀνιχνεύειν, εἴ πού τις εὑρεθείη λόγος
761 M. τῆς προχείρου κατανοήσεως ὑψηλότερος ἐπὶ τὰ θειότερά τε καὶ ἀσώματα χειραγωγῶν τὴν διάνοιαν. τούτου χάριν τὸ ἀπηγορευμένον τῇ βρώσει ξύλον οὐχὶ συκῆν, ὥς τινες ἀπεφήναντο, οὔτε ἄλλο τι τῶν ἀκροδρύων εἶναι πειθόμεθα· εἰ γὰρ τότε θανατηφόρος ἦν ἡ συκῆ, οὐδ' ἂν νῦν πάντως ἐδώδιμος ἦν· ἅμα δὲ καὶ μεμαθήκαμεν παρὰ τῆς τοῦ δεσπότου φωνῆς, δι' ἀποφάσεως τοῦτο δογματιζούσης, ὅτι Οὐδέν ἐστι τῶν εἰσπορευομένων διὰ στόματος ὃ δύναται κοινῶσαι τὸν ἄνθρωπον· ἀλλ' ἑτέραν τινὰ ζητοῦμεν διάνοιαν ἐπὶ τοῦ νόμου τούτου, ἀξίαν τῆς τοῦ νομοθέτου μεγαλειότητος· κἂν τῆς τοῦ θεοῦ φυτείας ἔργον τὸν παράδεισον εἶναι ἀκούσωμεν, κἂν ξύλον ζωῆς ἐν μέσῳ τοῦ παραδείσου πεφυτευμένον, ζητοῦμεν παρὰ τοῦ ἀποκαλύπτοντος τὰ κεκρυμμένα μυστήρια μαθεῖν, ποίων φυτῶν γίνεται ὁ πατὴρ γεωργός τε καὶ φυτηκόμος, καὶ πῶς δυνατόν ἐστι κατὰ τὸ μεσαίτατον τοῦ παραδείσου τὰ δύο εἶναι ξύλα, τό τε τῆς σωτηρίας καὶ τὸ τῆς ἀπωλείας· τὸ γὰρ ἀκριβῶς μέσον καθάπερ ἐν κύκλου περιγραφῇ ἐν τῷ ἑνὶ κέντρῳ πάντως ἐστίν. εἰ δὲ παρατεθείη τῷ κέντρῳ κατά τι μέρος ἕτερον κέντρον, ἀνάγκη πᾶσα συμμετατεθῆναι τῷ κέντρῳ τὸν κύκλον, ὥστε μηκέτι μέσον εἶναι τὸ πρότερον. ἐκεῖ τοίνυν ἑνὸς ὄντος τοῦ παραδείσου,

1 cf I Tim 4, 13 5 cf Gen 2, 16/17 9-10 Marc 7, 15 ~ Matth 15, 11 13 cf Gen 2, 8/9 13-p 11, 4 cf infra p 348, 12-350, 7

ER^a ΛYSΘ Σ PVT CN Syr 1 φωνάς: γραφὰς TCN 4 τε om PVN(ut vid) post χάριν add καὶ Syr 5 τῇ βρώσει: τῷ γένει τοῦ Ἀδὰμ Syr ξύλον: τοῦ ξύλου v ξύλον coll ante τῇ P οὐχὶ: οὔτε ΣPVTCN 6 οὔτε: οὐδὲ ER^{a}ΛYv 7 εἰ — p. 11, 7 δόξει om Syr 9 δι' ἀποφάσεως om TC 10 post διὰ add τοῦ V 11 τῆς διανοίας ΛY 12 τούτου om v 13 θεοῦ: πατρὸς ER^{a}ΛY 15 ζητῶμεν ER^{a}ΣPv 17 φυτοκόμος E(corr E^2)R^{a}S(corr pr m)ΘΣPVNv μεσώτατον E (corr E^2)Y 18 εἶναι: θεῖναι PV τὸ alt om ΛYΘNv 19 τό: οὐ ER^{a}Y post κύκλου add τῇ v 19-20 κύκλῳ περιγραφῆς V 20 ἐν: ἓν N 21 τῷ κέντρῳ: τὸ κέντρον C(corr C^2) τι: τὸ TCN πᾶσα om P

πῶς φησιν ὁ λόγος ἰδιαζόντως μὲν ἑκάτερον θεωρεῖσθαι τῶν ξύλων, ἐπὶ δὲ τοῦ μέσου εἶναι καὶ τοῦτο καὶ τοῦτο, ὧν τὸ θανατηφόρον τῆς τοῦ θεοῦ φυτείας ἀλλότριον εἶναι διδάσκει ὁ πάντα καλὰ λίαν εἶναι τὰ τοῦ θεοῦ ἔργα ἀποφηνάμενος λόγος; οἷς εἰ μή τις διὰ φιλοσοφίας ἐνθεωρήσειε τὴν ἀλήθειαν, ἀσύστατον ἢ μυθῶδες εἶναι τοῖς ἀνεπισκέπτοις τὸ λεγόμενον δόξει.

Καὶ μακρὸν ἂν εἴη τὰ καθ' ἕκαστον ἐκ τῶν προφητῶν ἀναλέγεσθαι· πῶς ὁ Μιχαίας ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς ὄρος λέγει γενήσεσθαι ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, τὸ ἐπὶ καθαιρέσει τῶν ἀντικειμένων δυνάμεων ἀναδεικνύμενον τῆς εὐσεβείας μυστήριον οὕτω κατονομάζων· πῶς δὲ ῥάβδον ἀνατέλλειν φησὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης, τὴν διὰ σαρκὸς τοῦ κυρίου ἀνάδειξιν ὁ ὑψηλὸς Ἡσαΐας οὕτω μηνύων· ἢ τὸ τετυρωμένον ὄρος παρὰ τῷ μεγάλῳ Δαβίδ, ποῖον ἔχει νοῦν ἐν τῇ λέξει φαινόμενον· ἢ τὸ μυριοπλάσιον ἅρμα· ἢ τῶν ταύρων ἡ συναγωγὴ ἡ ἐπαφιεμένη ταῖς δαμάλεσι τῶν λαῶν· ἢ ὁ βαπτόμενος τῷ αἵματι ποὺς ἢ τῶν κυνῶν αἱ γλῶσσαι· ἢ καθ' ὁμοιότητα τοῦ μόσχου διαλεπτυνόμενος

4 cf Gen 1, 31 5-6 cf Origen Homil in Cant I, 2 (p 31, 1 Baehrens); Comm I p 106, 15/16 9 cf Mich 4, 1 13-14 cf Isai 11, 1 15 cf Ps 67, 16 16 cf Ps 67, 18 17 cf Ps 67, 31 18 cf Ps 67, 24 19 cf Ps 28, 6

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ὁ λόγος om V ἰδιαζόντος C (corr C^2) ἰδιαζόντας N(ut vid) 2 ἐπὶ: ἐπεὶ VC(corr C^2) καὶ pr del E^2 om R^{a}Σv κατὰ V τοῦτο pr: τούτων PV καὶ τοῦτο alt eras et corr κἀκεῖνο Λ^2 om YPV κἀκεῖνο SΘΣ 3 ὧν om PV τὸ om Θ ante τῆς add ὃ V 4-5 ἀποφηνάμενος λόγος ante εἶναι coll N 5 ante λόγος et add et eras ὁ C 6 ἀνεπισκόπτοις N 7 δόξῃ TC δείξει Y 8 μακρὰν ἂν Θ τὰ: τὸ P 9 πῶς: ὡς ER^{a}ΛYv ὁ om TCN ἐσχάτου ΣTCN τῶν om ER^{a}Λ(sscr Λ^2)YPVv 10 λέγει ὄρος Σ γίνεσθαι TCN 11 post καθαιρέσει add γίνεσθαι v 13 ῥάβδος TC^2(corr -ς e -ν) ἀνατελεῖ TC^2(corr e -τέλλει) ἐκ τῆς ῥίζης om PV post ῥίζης add ἰεσσαὶ SΘΣΛ^2(sscr) ante τὴν add καὶ Θ 14 μηνύων: μνημονεύων YΛ(?, corr Λ^2) 15 ὁποῖον ΣTCNv 16 νοῦν ἔχει V 17 ἐπαφιωμένη S ἐπαφιώμενοι YΛ(?, corr Λ^2) ante ταῖς add ἐν V 18 τῷ: τὸ E(corr E^2) ἐν Σ 19 coll αἱ ante 18 τῶν alt ΣTCN

μετὰ τῶν κέδρων ὁ Λίβανος· καὶ μυρία πρὸς τούτοις ἔστιν ἐκ τῆς λοιπῆς ἀναλεξάμενον προφητείας δεῖξαι τὸ ἀναγκαῖον τῆς κατὰ διάνοιαν τῶν ῥητῶν θεωρίας, ἧς ἀποβαλλομένης, καθὼς ἀρέσκει τισίν, ὅμοιον εἶναί μοι δοκεῖ τὸ γινόμενον, ὡς εἴ τις ἀκατέργαστα προθείη πρὸς ἀνθρωπίνην βρῶσιν ἐπὶ τραπέζης τὰ λήϊα, μὴ τρίψας τὴν καλάμην, μὴ τῷ λικμητῷ διακρίνας ἐκ τῶν ἀχύρων τὰ σπέρματα, μὴ λεπτύνας τὸν σῖτον εἰς ἄλευρον, μηδὲ κατασκευάσας ἄρτον τῷ καθήκοντι τρόπῳ τῆς σιτοποιΐας. ὥσπερ οὖν τὸ ἀκατέργαστον γένημα κτηνῶν ἐστι καὶ οὐκ ἀνθρώπων τροφή, οὕτως εἴποι τις 764 M. ἂν ἀλόγων μᾶλλον ἢ λογικῶν εἶναι τροφὴν μὴ κατεργασθέντα διὰ τῆς λεπτοτέρας θεωρίας τὰ θεόπνευστα ῥήματα οὐ μόνον τῆς παλαιᾶς διαθήκης, ἀλλὰ καὶ τὰ πολλὰ τῆς εὐαγγελικῆς διδασκαλίας· τὸ πτύον τὸ διακαθαῖρον τὴν ἅλωνα, τὸ ἀποφυσώμενον ἄχυρον, ὁ παραμένων σῖτος τοῖς ποσὶ τοῦ λικμήτορος, τὸ ἄσβεστον πῦρ, ἡ ἀγαθὴ ἀποθήκη, τὸ τῶν κακῶν εὔφορον δένδρον, ἡ ἀπειλὴ τῆς ἀξίνης ἡ φοβερῶς τῷ δένδρῳ τὴν ἀκμὴν προδεικνύουσα, οἱ πρὸς τὴν ἀνθρωπίνην φύσιν μεταποιούμενοι λίθοι.

Ταῦτά μοι διὰ τῶν πρὸς τὴν σύνεσίν σου γραμμάτων

14-16 cf Matth 3, 12 17-18 cf Matth 3, 10; cf Luc 13, 6-9
19 cf Matth 3, 9

ER^a ΛYSΘ Σ PVT CN Syr 1 μετὰ om TCNv ὁ coll ante p 11, 19 καθ' SΘΣΛ^2(eras hic, sscr illic) ἔστιν om V 2 διδάξαι PVTCNv 3 ῥητῶν: ἀρετῶν Y ἧς corr in ras C^2 ἀποβαλλόμενος NC(ut vid, corr C^2)v 5 ἀκατέργαστος Y 6 ἐπὶ: ἐπὶ τῆς T τῆς C(add ἐπὶ C^2)Nv om Θ τραπέζης om Θ post μὴ add πρῶτον P τὴν καλάμην: τὸν ἄσταχυν TCNv post καλάμην add ἐν τῇ ἅλω Σ τῷ λικμητῷ om Syr 7 ἐκ om ER^{a}ΛY τὸ ἄχυρον ἐκ τῶν σπερμάτων Syr 7-8 τὸν σῖτον εἰς ἄλευρον: αὐτὰ τῷ μύλῳ Syr 8 ἄρτον: ἀρτϊ P 9 γέννημα v 10 ante κτηνῶν add τῶν TCNv add ἀλόγων Syr post ἀνθρώπων add λογικῶν Syr τροφὴ ante καὶ coll ΣTCNv 11 (λ)ογικ(ῶν) corr in ras C^2 τροφὴ S 13 πολλά: παρὰ TC^2(-ρὰ corr in ras 3 fere litt) 14 καθαῖρον P ἅλω SΘΣ (ἅ-) 15 ἀποφυσιώμενον v 16 λικμητῆρος PTC τὸ alt: τὸν YΛ(ut vid, corr Λ^2) 17 καλῶν Θ δένδρων Y 18 τῶν δένδρων YΛ(ut vid, corr δένδρον Λ^2)Sv τὸ δένδρον N ἀκμήν: τομὴν S παραδεικνύουσα ΣTCv οἱ: οὐ C(corr C^2) 20 post σου add κατὰ σπουδὴν TCNv

ἀπολογία τις γεγράφθω πρὸς τοὺς μηδὲν πλέον παρὰ τὴν πρόχειρον τῆς λέξεως ἔμφασιν ἐκ τῶν θείων ῥημάτων ἀναζητεῖν νομοθετοῦντας. εἰ δὲ τοῦ Ὠριγένους φιλοπόνως περὶ τὸ βιβλίον τοῦτο σπουδάσαντος καὶ ἡμεῖς γραφῇ παραδοῦναι τὸν πόνον ἡμῶν προεθυμήθημεν, ἐγκαλείτω μηδεὶς πρὸς τὸ θεῖον τοῦ ἀποστόλου λόγιον βλέπων, ὅς φησιν ὅτι Ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. ἐμοὶ δὲ οὐ πρὸς ἐπίδειξίν ἐστι συντεταγμένος ὁ λόγος· ἀλλ' ἐπειδὴ τὰ πολλὰ τῶν ἐπ' ἐκκλησίας ῥηθέντων τινὲς τῶν συνόντων ἡμῖν ὑπὸ φιλομαθείας ἐσημειώσαντο, τὰ μὲν παρ' ἐκείνων λαβών, ὅσα δι' ἀκολούθου ἔσχεν αὐτῶν ἡ σημείωσις, τὰ δὲ καὶ ἀπ' ἐμαυτοῦ προσθείς, ὧν ἀναγκαία ἦν ἡ προσθήκη, ἐν ὁμιλιῶν εἴδει τὴν ὑπηγορίαν πεποίημαι καθεξῆς πρὸς λέξιν προαγαγὼν τὴν τῶν ῥητῶν θεωρίαν, ἐφ' ὅσον ὁ καιρός τε καὶ τὰ πράγματα τὴν περὶ τούτου μοι σχολὴν ἐνεδίδου κατὰ τὰς ἡμέρας τῶν νηστειῶν· ἐν ταύταις γὰρ ἡμῖν πρὸς τὴν δημοσίαν ἀκοὴν ὁ περὶ τούτου λόγος διεσπουδάσθη. εἰ δὲ παράσχοι καὶ ζωῆς χρόνον ὁ τῆς ζωῆς ἡμῶν ταμίας θεὸς καὶ εἰρηνικὴν εὐκαιρίαν, καὶ τοῖς λειπομένοις ἴσως ἐπιδραμούμεθα· νῦν γὰρ ἡμῖν μέχρι τοῦ ἡμίσεος προῆλθεν ὁ λόγος καὶ ἡ θεωρία.

7 I Cor 3, 8

ER^a ΛYS Σ PVT CN Syr Θ(post 4 τοῦτο deff foll 4) 2 ἔμφασιν: ἔννοιαν ER^{a}ΛY ῥητῶν SΘΣPVTC 3 νουθετοῦντας v 4 γραφαῖς P 5 ἡμῶν om ER^{a}ΛYP 6 τό: τὸν Σ λόγον Σ ὅς: ὡς C(corr C^2) 7 ὅτι om ER^{a}Y 9 ἐπ': ἐπὶ τῆς S 11 ἐκείνου TC post λαβὼν add καὶ R^a δι' ἀκ.: δὴ ἀκολούθως Σ αὐτὸν N 12 ὑπ' N προσθείς, ὧν: προθήσων N 13 ἐνομιλῶν N ὁμηλειῶν ἤδη C(corr C^2) ὑπαγορίαν Σ 14 πρὸς ἀγαγὼν R^a 15 τούτων V 16 ἐδίδου ΣV 17 περὶ τούτου om TSyr 18 καὶ παράσχοι V 19 ταμείας E(eras ε)ΛYC(corr C^2) 20 ἴσως om Syr ἡμίσεως E(corr E^2)YΣVC(corr C^2)v 21 ὁ λόγος καὶ om SPV καὶ ἡ θ.: τῆς θεωρίας ER^{a}ΛYSyr(ut vid) fort recte add clausulam ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (add εἴη ΛY) μετὰ πάντων ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ER^{a}ΛYv add: 'finita est oratio prima qua datur argumentum apologiae' Syr

Λόγος α'

Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ, (1, 2)
ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον,
Καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα, (3)
μύρον ἐκκενωθὲν ὄνομά σοι.
διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε,
Εἵλκυσάν σε, (4)
ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμούμεθα.
εἰσήγαγέ με ὁ βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ.
ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί,
ἀγαπήσωμεν μαστούς σου ὑπὲρ οἶνον·
εὐθύτης ἠγάπησέ σε.

Ὅσοι κατὰ τὴν συμβουλὴν τοῦ Παύλου τὸν παλαιὸν ἄνθρωπον ὥσπερ τι περιβόλαιον ῥυπαρὸν ἀπεδύσασθε σὺν ταῖς πράξεσι καὶ ταῖς ἐπιθυμίαις αὐτοῦ καὶ τὰ φωτεινὰ τοῦ κυρίου ἱμάτια, οἷα ἐπὶ τῆς τοῦ ὄρους μεταμορφώσεως ἔδειξε, διὰ τῆς καθαρότητος τοῦ βίου περιεβάλεσθε, μᾶλλον δὲ οἱ αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μετὰ τῆς ἁγίας αὐτοῦ στολῆς ἐνδυσάμενοι καὶ συμμεταμορφωθέντες αὐτῷ

13 cf Col 3, 9 15 cf Matth 17, 2∼Marc 9, 3 17 cf Apoc 3, 5 18-19 cf Rom 13, 14; Gal 3, 27; cf Apoc 6, 11 (στολή) 19 cf Phil 3, 10; 3, 21; Rom 8, 29; I Cor 15,53

ER^a ΛYS Σ PVT CN Syr 1 λόγος α' τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης εἰς τὴν ἑρμηνείαν τοῦ ᾄσματος τῶν ᾀσμάτων ER^a(Νύσης) λόγος α' Γρηγορίου ἐπισκόπου Νύσσης εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων ΛΥ(λόγος ᾱ coll in fin) εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων ὁμιλία πρώτη S ὁμιλία Γρηγορίου ἐπισκόπου Νύσσης εἰς τὰ πρῶτα τοῦ ᾄσματος τῶν ᾀσμάτων PV(sed pro πρῶτα scr προοίμια, add in marg Λόγος α') Γρηγορίου ἐπισκόπου Νύσσης προοίμιον εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων Σ(in marg τὸ προοίμιον Σ^2) λόγος πρῶτος Nv λόγος δεύτερος Syr om titul TC 2-12 lemma praebent STvSyr(scil vertit de exempl Graec cf Eynde p 74 et p 100) om cett 4 σου om v 5 σοι T LXX(cod Alexandr): σου SvSyr LXX (plurimi codd), cf infra p 36, 15 8 δραμούμεθα (cf infra p 39, 15) ST: δραμοῦμεν v LXX 9 εἰσήγαγέ (cf infra p 40, 1) S: εἰσήνεγκέν Tv LXX ταμεῖον v 14 ἀπεκδύσασθε P 16 ὅρου N 17 τοῦ βίου om V περιεβάλλεσθε V 18 αὐτοὶ Y ἁγίας: ἀγάπης Nv 19 αὐτοῦ om P συμμορφωθέντες ER^{a}ΛΥVTCNv

πρὸς τὸ ἀπαθές τε καὶ θειότερον, ὑμεῖς ἀκούσατε τῶν
765 M. μυστηρίων τοῦ Ἄισματος τῶν Ἀισμάτων· ὑμεῖς ἐντὸς γένεσθε τοῦ ἀκηράτου νυμφῶνος λευχειμονοῦντες τοῖς καθαροῖς τε καὶ ἀμολύντοις νοήμασιν. μή τις ἐμπαθῆ καὶ σαρκώδη λογισμὸν ἐπαγόμενος καὶ μὴ ἔχων πρέπον τῷ θείῳ γάμῳ τὸ τῆς συνειδήσεως ἔνδυμα συνδεθῇ τοῖς ἰδίοις νοήμασι, τὰς ἀκηράτους τοῦ νυμφίου τε καὶ τῆς νύμφης φωνὰς εἰς κτηνώδη καὶ ἄλογα καθέλκων πάθη, καὶ δι' αὐτῶν ταῖς αἰσχραῖς ἐνδεθεὶς φαντασίαις ἔξω τῶν ἐν τῷ γάμῳ φαιδρυνομένων ἀπορριφῇ, τὸν βρυγμὸν καὶ τὸ δάκρυον ἀντὶ τῆς ἐν παστάδι χαρᾶς ἀλλαξάμενος. ταῦτα διαμαρτύρομαι μέλλων ἅπτεσθαι τῆς ἐν τῷ Ἄισματι τῶν Ἀισμάτων μυστικῆς θεωρίας. διὰ γὰρ τῶν ἐνταῦθα γεγραμμένων νυμφοστολεῖται τρόπον τινὰ ἡ ψυχὴ πρὸς τὴν ἀσώματόν τε καὶ πνευματικὴν καὶ ἀμόλυντον τοῦ θεοῦ συζυγίαν· ὁ γὰρ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν τὸν τελεώτατον ἐνταῦθα καὶ μακάριον τῆς σωτηρίας ὑποδείκνυσι τρόπον, τὸν διὰ τῆς ἀγάπης λέγω. ἔστι μὲν γὰρ καὶ διὰ φόβου τισὶ γινομένη ἡ σωτηρία, ὅταν πρὸς τὰς ἀπειλὰς τῆς ἐν τῇ γεέννῃ κολάσεως

2-11 cf Matth 22, 10-13; cf Apoc 19, 7-9 3 cf Eccles 9, 8 (λευχειμονοῦντες); cf Origen in Matth Tom XVII, 24 (p 650 Klostermann) 14 cf Eph 5, 32(?) 15-16 I Tim 2, 4 18-p 16, 4 cf ex. gr. Plato Phaed 113 d sqq (114 c!)

ER^a ΛYS Σ PVT CN Syr 1 τε om SΣVTCN de P non liquet 1-2 τοῦ μυστηρίου PVTCNv 2 ἐντὸς γίνεσθε PVv ἐντὸς γίνεσθαι C(corr γένεσθε C^2) ἐν τῷ γίνεσθαι N 3 λευχημονοῦντες E(corr E^2)N λευσχημονοῦντες YVC(ut vid, corr C^2) 4 ante καὶ alt add τε Σ 5 ἐπαγόμενος om Λ(in marg add Λ^2) Y πρέπων R^{a}C(corr C^2)N 6 συνδεθεὶς Σ 7 τε om PVTCN φωνὰς om S(in marg add S^2) εἰς om Y 7-8 ἐν κτηνώδει καὶ ἀλόγῳ κατέχων πάθει S 9 συνδεθεὶς P ἐνδυθεὶς Nv 10 ἀπορριφῇ om PV ἀντὶ om T eras C^2 post ἐν add τῇ ΣPV 11 ἀνταλλαξάμενος TCNv post ταῦτα add δὲ Σ 12 ἅπτεσθαι: ἄρξασθαι S μυστικῆς om PV 13-14 τινὰ τρόπον Σ om Syr 15 ἀμόλυντον: ἄϋλον TCNv 16 τελειότατον Sv 17 ἐπιδείκνυσι ER^{a}ΛΥ post ὑποδ. add ἡμῖν Syr 18 post ἀγάπης add θεοῦ Syr λέγων Y φόβον T γινομένη τισὶν SΣ γενομένη VC(corr C^2) γενέσθαι ΛΥ 19 ἡ om ER^{a}ΛΥΣ τῶν . . . κολάσεων Syr τῇ om Y

βλέποντες τοῦ κακοῦ χωριζώμεθα. εἰσὶ δέ τινες οἱ καὶ διὰ τὴν ἀποκειμένην τοῖς εὖ βεβιωκόσι τῶν μισθῶν ἐλπίδα τὴν ἀρετὴν κατορθοῦντες, οὐκ ἀγάπῃ τοῦ ἀγαθοῦ, ἀλλὰ τῇ προσδοκίᾳ τῆς ἀμοιβῆς κατακτώμενοι. ὁ μέντοι πρὸς τὸ τέλειον ἀναδραμὼν τῇ ψυχῇ ἀπωθεῖται μὲν τὸν φόβον (ἀνδραποδώδης γὰρ ἡ τοιαύτη διάθεσις, τὸ μὴ δι' ἀγάπης παραμένειν τῷ κυριεύοντι, ἀλλὰ τῷ τῶν μαστίγων φόβῳ μὴ δραπετεύειν), ὑπερορᾷ δὲ καὶ αὐτῶν τῶν μισθῶν, ὡς ἂν μὴ δοκοίη τὸν μισθὸν ποιεῖσθαι προτιμότερον τοῦ δωρουμένου τὸ κέρδος· ἀγαπᾷ δὲ ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ δυνάμεως οὐκ ἄλλο τι τῶν παρ' αὐτοῦ γινομένων, ἀλλ' αὐτὸν ἐκεῖνον ὅς ἐστι τῶν ἀγαθῶν ἡ πηγή. ταύτην τοίνυν ὁ καλῶν ἡμᾶς πρὸς τὴν ἑαυτοῦ μετουσίαν νομοθετεῖ ταῖς τῶν ἀκουόντων ψυχαῖς τὴν διάθεσιν. ὁ δὲ βεβαιῶν τὴν νομοθεσίαν ταύτην ἐστὶ Σολομῶν, οὗ ἡ σοφία κατὰ τὴν θείαν μαρτυρίαν μέτρον οὐκ ἔχει, πᾶσιν ἐπ' ἴσης τοῖς τε προγεγονόσι καὶ τοῖς ἐσομένοις ἀσύγκριτος οὖσα καὶ ἀπαράθετος, ὃν ἔλαθε τῶν ὄντων οὐδέν. ἆρά με τοῦτον οἴει λέγειν τὸν ἐκ τῆς Βηρσαβεὲ Σολομῶντα, τὸν ἐπὶ τοῦ ὄρους ἀνενεγκόντα τὴν χιλιόμβην, τὸν ἐκ τῆς Σιδωνίας συμβόλῳ

1 sqq cf Clem Alex Strom IV 53, 1   4-5 cf I Joh 4, 18   5 cf Plato Phaed 69 b (ἀνδραποδώδης); cf Vita Moys p 429 C/D (Migne)   10 cf Deut 6, 5   11 cf Sap Sal 13, 1-8; cf Rom 1, 25   12 cf infra p 255, 16 et adnot   13 cf I Cor 1, 9   15-18 cf III Reg 3, 12; 5, 9-14   19-20 cf III Reg 3, 4; 11, 6-8

ER^a ΛYS Σ PVT CN Syr   1 χωριζοίμεθα S χωριζόμεθα ΣP χωριζόμενοι V   οἳ C   καὶ om V   2 εὐσεβῶς SΣTCNv τὸν μισθὸν VNv   3 τὸ ἀγαθὸν S(corr pr ut vid m)ΣPVTCNv om Syr   τῇ om PV   4 post ἀμοιβῆς add τὴν ἀρετὴν ER^{a}ΛYS add τὸ ἀγαθὸν V   5 ἀποθεῖται PV   6 τὸ: τῷ ΛYSΣVTNv   7 φόβῳ om P   8 μὴ δραπετεύειν om Syr   αὐτὸν τὸν μισθόν ΛY   τῶν om T   9 τῶν μισθῶν VTCSyr(ut vid)   9-10 τῶ δωρουμένω ER^{a}YΛ(ut vid, corr Λ^2)Syr(ut vid)   10 τε coll ante καρδίας S   12 ἡ om Σ   13 ὁ om TC   14 τῶν om T   15 ὁ σολομῶν ER^a σαλομῶν TC   16 ἐφίσης C(corr C^2)N ἐπιέναι ER^{a}YΛ(ut vid, corr Λ^2)   17 τε om ER^{a}Λ(add Λ^2)Y   18 ὃν: ὧν C(corr C^2)N   με: μὴ V   τούτων C(corr C^2)   20 χιλιόλβην ΛY χιλιόνβην VN   ἐκ τῆς Σιδωνίας συμβόλῳ N nonnulli recc: ἐκ τ. Σ. συμβούλῳ C(eras ἐκ et corr τῇ Σιδωνίᾳ C^2) τῇ σιδω-

πρὸς τὴν ἁμαρτίαν χρησάμενον; ἀλλὰ Σολομῶν διὰ τούτου σημαίνεται ἄλλος· ὁ καὶ αὐτὸς ἐκ τοῦ σπέρματος Δαβὶδ τὸ κατὰ σάρκα γενόμενος, ᾧ ὄνομα εἰρήνη, ὁ ἀληθινὸς τοῦ Ἰσραὴλ βασιλεύς, ὁ οἰκοδόμος τοῦ ναοῦ τοῦ θεοῦ, ὁ πάντων ἐμπεριειληφὼς τὴν γνῶσιν, οὗ ἀόριστος ἡ σοφία, μᾶλλον δὲ οὗ τὸ εἶναι σοφία ἐστὶ καὶ ἀλήθεια, καὶ πᾶν θεοπρεπές τε καὶ ὑψηλὸν ὄνομά τε καὶ νόημα. οὗτος ὀργάνῳ τῷ Σολομῶντι τούτῳ χρησάμενος διὰ τῆς ἐκείνου φωνῆς ἡμῖν διαλέγεται πρότερον μὲν ἐν Παροιμίαις, εἶτα ἐν τῷ Ἐκκλησιαστῇ καὶ μετὰ ταῦτα ἐν τῇ προκειμένῃ τοῦ Ἄισματος τῶν Ἀισμάτων φιλοσοφίᾳ ὁδῷ καὶ τάξει τὴν πρὸς τὸ τέλειον ἄνοδον 768 M. ὑποδεικνύων τῷ λόγῳ. καθάπερ γὰρ ἐπὶ τῆς κατὰ σάρκα ζωῆς οὐ πᾶσα ἡλικία πάσας χωρεῖ τὰς φυσικὰς ἐνεργείας οὐδὲ διὰ τῶν ὁμοίων ἡμῖν ἐν ταῖς τῶν ἡλικιῶν διαφοραῖς ὁ βίος

1 sqq cf Orig Comm Prol p 84, 2 sqq   2-3 Rom 1, 3   3 Hebr 7, 2 (βασιλεὺς Σαλήμ) cf Orig l.l. p 84, 11; 85, 1   4 Joh 1, 49; 12, 13; 18, 36/7; II Reg 7, 12 (τοῦ Ἰσραὴλ β.); III Reg 5, 19 (οἰκοδόμος τοῦ ναοῦ); cf Ezech 40, 3; cf Matth 16, 18; cf I Petr 2, 5; cf Matth 26, 61; 27, 40; Joh 2, 19   5 cf Sap 7, 17-21; cf Prov 8, 22-31   6 cf I Cor 1, 30; cf ex.gr. Prov 3, 19; cf infra p 202, 16/7; cf Joh 14, 6 (ἀλήθεια)   12 sqq cf I Cor 13, 11 sq; 14, 20; 3, 1; Eph 4, 13 sq; Heb 5, 13 sq; cf Origen Comm Prol p 62, 1 sqq; 64, 20 sqq

νίας συμβούλω Σ(corr τῇ σιδωνία συμβόλω Σ^2) τῇ σιδωνίᾳ συμβούλῳ cett v (σιδονίᾳ ΛYPV) τῇ τῶν Σιδωνιῶν γυναικῶν συμβουλῇ Syr   Sed Salomon numquam unius Sidonicae mulieris usus est consilio. Intellege ἐκ τῆς Σ. συμβόλῳ = τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων. At tamen cf Iustin Dialog (rec Otto, Corp Apolog Tom I, Pars II p 112): διὰ γυναῖκα ἐν Σιδῶνι εἰδωλολάτρει (cf adnotat) et (scil de Iustino) Tertullianus Adv Marc V, 9 (= CSEL p 605, 3 sqq).

ER^a ΛYS Σ PVT CN Syr   1 ἀλλὰ VTCN: οὐκ ἀλλὰ P ἄλλο Λ (add -ς Λ^2)Y(ἀλλ' ὁ) ἄλλος ER^{a}SΣvSyr   διὰ τοῦτο V δι' αὐτοῦ ER^{a}ΛYSv   2 σημαίνηται P   ἄλλος om v   ὁ: ὁ υἱὸς Λ(?, eras υἱὸς) υἱὸς Y ὃς PVTCN   3 ἡ εἰρήνη ΣPTCN σειρήνη Y(exp σ-)Λ(fort?, eras 1 litt ante ει-)   5 ἐκπεριειληφὼς P   ἀόριστον Y   6 οὗ om v   τε om Σ   7 τε καὶ νόημα om Syr   8 τούτῳ om TCNSyr   τῆς . . . φωνῆς om v   9 εἶτα ἐν: εἶπεν N   10 μετὰ τοῦτο ΛY μετ' αὐτὰ Σ   11 πρὸς τὸ τ.: προτέλειον N   12 τῷ in ras Λ   13 πάσας om PV   14 ταῖς: αὐταῖς C(eras αὐ)Nv   τῶν alt om PNv

προέρχεται (οὔτε γὰρ τὸ νήπιον τὰ τῶν τελείων ἔργα μετέρχεται οὔτε ὁ τέλειος ἐν ταῖς ἀγκάλαις τῆς τιθήνης ἀναλαμβάνεται, ἀλλ' ἑκάστῳ καιρῷ τῆς ἡλικίας ἄλλο τι πρόσφορόν ἐστι καὶ κατάλληλον), οὕτως ἔστιν ἰδεῖν καὶ ἐν τῇ ψυχῇ ἀνάλογόν τινα πρὸς τὰς σωματικὰς ἡλικίας, δι' ὧν εὑρίσκεταί τάξις τις καὶ ἀκολουθία πρὸς τὸν κατ' ἀρετὴν βίον χειραγωγοῦσα τὸν ἄνθρωπον. οὗ χάριν ἄλλως ἡ Παροιμία παιδεύει καὶ ἄλλως ὁ Ἐκκλησιαστὴς διαλέγεται· καὶ ἡ διὰ τοῦ Ἄισματος τῶν Ἀισμάτων φιλοσοφία διὰ τῶν ὑψηλοτέρων δογμάτων ἀμφοτέρων ὑπέρκειται. ἡ γὰρ διὰ τῶν παροιμιῶν διδασκαλία πρὸς τὸν ἔτι νηπιάζοντα ποιεῖται τοὺς λόγους καταλλήλως τῇ ἡλικίᾳ τὴν νουθεσίαν ἁρμόζουσα· Ἄκουε, φησίν, υἱέ, νόμους πατρός σου καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου. ὁρᾷς ἐκ τῶν λεγομένων τὸ ἁπαλὸν ἔτι τῆς κατὰ ψυχὴν ἡλικίας καὶ εὔπλαστον· ἔτι μητρῴων αὐτὸν θεσμῶν ἐπιδεᾶ βλέπει καὶ πατρικῆς νουθεσίας καί, ὡς ἂν προθυμότερον προσέχοι τοῖς γονεῦσι τὸ νήπιον, τοὺς παιδικοὺς αὐτῷ κατεπαγγέλλεται κόσμους ἐκ τῆς περὶ τὰ μαθήματα σπουδῆς προσγενήσεσθαι· παιδίῳ γάρ ἐστι κόσμος <ὁ>

13 Prov 1, 8   14-15 τὸ ἁπαλὸν . . . . καὶ εὔπλαστον: cf. Plato Resp 377 a/b   19-p 19, 2 cf Prov 1, 9

ER^a ΛYS Σ PVT CN Syr 2 τιθηνούσης ΣTCN μητρὸς V   3 post ἀλλ' add ἐν ΣTCNv   4 καὶ pr om N   οὗτος C(corr C^2)   ἰδεῖν post 5 ψυχῇ coll ER^{a}ΛY   καὶ alt om P   5 ἀνάλογόν (scil adverb) correxi sequens paraphrasim quamvis incertam interpr. Syr: ἀναλογίαν codd v   τινα scil plural neutr   post ἡλικίας add ἀναλογίας Ottob 56 scil de coniectura sua   6 τις om PVTCN   9 τοῦ Ἄισματος om ER^{a}ΛYSV   9-10 ὑψηλῶν P   11 ποιεῖ Vv   12 τὴν νουθεσίαν: τοὺς λόγους ER^{a}v   ἁρμόζουσαν YN ἁρμόζοντα V   14 ἔτι: ὅτι Y   15 add τὴν ante ψυχὴν P   εὔπλαστον E(ut vid, eras εὐ et sscr ἀ E^2): ἄπλαστον R^{a}TC ἀδιάπλαστον ΛSΣPV ἡ διάπλασις τῶν Y ἄπαστον NvSyr('indigens', 'carens')   ἔτι: τῶν S   αὐτῶν Y   16 ἐπιδεᾶ βλέπει: ἐπιδιαβλέπει Y ἐπεὶ διαβλέπει C(corr C^2)   17 προθύμως NSyr   προσέχῃ ST προσέχει V   18 καταγγέλλεται P   περὶ om N   19 προσγενέσθαι ER^{a}ΛY   παιδίῳ TC: παιδίον ΛY(corr -δίου) παιδίου Syr κλοιὸς P παιδίων cett v   ὁ supplevi

χρύσεος μανιάκης τῷ τραχήλῳ περιλαμπόμενος καὶ ὁ ἐξ ἀνθῶν τινων ἐπιχαρίτων ἀναπλεκόμενος στέφανος. νοεῖν δὲ χρὴ ταῦτα πάντως ὅπως ἂν ὁδηγήσῃ πρὸς τὸ κρεῖττον ἡ τοῦ αἰνίγματος ἔννοια. καὶ οὕτως ὑπογράφειν ἄρχεται τὴν σοφίαν αὐτῷ ποικίλως τε καὶ πολυειδῶς τοῦ ἀφράστου κάλλους διερμηνεύων τὴν ὥραν, ὥστε μὴ φόβῳ τινὶ καὶ ἀνάγκῃ ἀλλὰ ἐπιθυμίᾳ καὶ πόθῳ πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν διαναστῆναι· ἡ γὰρ τοῦ κάλλους ὑπογραφὴ ἐπισπᾶταί πως τὴν τῶν νέων ἐπιθυμίαν πρὸς τὸ δεικνύμενον πρὸς κοινωνίαν τῆς ὥρας τὸν πόθον ἀναρριπίζουσα. ὡς ἂν οὖν μᾶλλον αὐτῷ τὸ ἐπιθυμητικὸν αὐξηθείη μετατεθὲν ἀπὸ τῆς ὑλικῆς προσπαθείας πρὸς τὴν ἄϋλον σχέσιν, ὡραΐζει διὰ τῶν ἐγκωμίων τῆς σοφίας τὸ κάλλος. καὶ οὐ μόνον τὸ κάλλος τῆς ὥρας διὰ τῶν λόγων προδείκνυσιν, ἀλλὰ καὶ τὸν πλοῦτον αὐτῆς ἀπαριθμεῖται, οὗ κύριος πάντως ὁ συνοικήσας γενήσεται. ὁ δὲ πλοῦτος τέως ἐν τοῖς προκοσμήμασιν αὐτῆς θεωρεῖται· κόσμος μὲν γὰρ αὐτῇ περιδέξιος αἰῶνες ὅλοι οὕτως εἰπόντος τοῦ λόγου ὅτι Μῆκος βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἑτέρᾳ χειρὶ τὸν πολύτιμον τῶν ἀρετῶν

8-10 cf Orig Comm Prol p 79, 19: 'perspecta pulchritudine Verbi Dei salutari in eum amore succendi'   13 κάλλος: cf Sap 8, 2   14 cf Prov 8, 18/19   15 συνοικήσας: cf Sap 8, 2; 8, 9; 8, 16-18; cf Prov 6, 22; 7, 4; 8, 17; 4, 6   18 Prov 3, 16

ER^a ΛYS Σ PVT CN Syr 1 χρύσειος P χρύσεως V   ad περιλαμπόμενος adnot in marg γρ περὶ ἁπτόμενος Σ^2 1-2 καὶ — στέφανος om TCN   2 ἀνθέων V   ἐπιχαρίτως ΛYSVE(fort, eras -ς et corr -ν E^2)   post στέφανος add καὶ τῇ κεφαλῇ ἐπιτιθέμενος Syr   3 ταῦτα χρὴ ΣV   πάντως om Syr   ὁδηγής R^a (π)ρὸς τὸ corr in ras E^2 τὸ om P   4 τοῦ αἰνίγματος om PV   5 τε om ΛY   καὶ om Σ (add Σ^2)   6 ὥστε om v   ἀνάγκῃ τινι καὶ φόβῳ ΣTCN   8 ἐπιγραφὴ v   9 πρὸς τὸ δεικν.: προδεικνύμενον E(corr E^2) προδεικνυμένη ΛY προδιδόμενον PV   ante πρὸς alt add καὶ ΛY   10 ἀπορριπίζουσα ΛY   11 αὐτῷ om ER^{a}ΛY αὐτὸ V ἡμῖν Syr   τὸ om C (add C^2)   ἐπιθυμητὸν S   12 ante διὰ add δὲ V   15 οὗ: οὐ N   πάντων SC (ut vid, corr C^2)N   16 προκοσμήσασιν P   αὐτοῖς P om V   ὁ δὲ — θεωρεῖται om Syr   17 αὐτῆς ER^{a}ΛYV   19 ἑτέρᾳ STCNSyr: ἀριστερᾷ ER^{a}ΛYΣPV(add αὐτῆς)v   πολυτίμητον SΣ

περίκειται πλοῦτον τῇ λαμπηδόνι τῆς δόξης συνδιαλάμποντα· λέγει γὰρ ὅτι Ἐν τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. εἶτα καὶ τοῦ στόματος αὐτῆς λέγει τὴν εὔπνοιαν τοῦ καλοῦ τῆς δικαιοσύνης ἀρώματος ἀποπνέουσαν λέγων Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη. τοῖς δὲ χείλεσιν αὐτῆς φησιν ἀντὶ τοῦ φυσικοῦ ἐρυθήματος τὸν νόμον ἐπανθεῖν καὶ τὸν ἔλεον. καὶ ὡς ἂν διὰ πάντων εὑρεθείη τῇ τοιαύτῃ νύμφῃ τὸ κάλλος ἐρανιζόμενον, ἐπαινεῖται αὐτῆς καὶ τὸ
769 M. βάδισμα· φησὶ γὰρ ὅτι Ἐν ὁδοῖς δικαιοσύνης περιπατεῖ. οὐ λείπει τοῖς ἐπαίνοις τῆς ὥρας οὐδὲ τὸ μέγεθος ἴσα φυτῷ τινι τῶν εὐερνῶν τῆς αὐξήσεως ἀναδραμούσης. τὸ δὲ φυτὸν τοῦτο ᾧ τὸ ὕψος αὐτῆς προσεικάζεται, Αὐτό, φησί, τὸ τῆς ζωῆς ξύλον ἐστίν, ὃ τροφὴ μὲν γίνεται τοῖς ἀντεχομένοις, στῦλος δὲ τοῖς ἐπερειδομένοις ἀσφαλής τε καὶ ἄσειστος. νοῶ δὲ δι' ἀμφοτέρων τὸν κύριον· αὐτὸς γάρ ἐστι καὶ ἡ ζωὴ καὶ τὸ ἔρεισμα. ἔχει δὲ ἡ λέξις οὕτως· Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν ὡς ἐπὶ κύριον ἀσφαλής. συμπαραλαμβάνεται δὲ μετὰ τῶν λοιπῶν ἐγκωμίων αὐτῆς καὶ ἡ δύναμις, ὡς ἂν διὰ πάντων τῶν ἀγαθῶν πληρωθείη τοῦ κάλλους τῆς σοφίας ὁ ἔπαινος. Ὁ θεὸς γάρ, φησί, τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει, καὶ τὰ καθ' ἕκαστον

2 Prov 3, 16 4-5 Prov 3, 16a 9 Prov 8, 20 11 φυτὸν: cf Prov 3, 18; cf Ilias Σ 56: ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος 16 sqq Prov 3, 18 21-22 Prov 3, 19

ERª ΛYS Σ PVT CN Syr 1 δόξης: δεξιᾶς S 3 εὔπνοαν S (corr S²) ἔμπνοιαν V 6 αὐτῆς om SΣ super (αὐτ)ῆς sscr οῦ P 7 ἔλαιον ΣC(corr C²)N τῇ om N 8 τὸ pr om v ἐναριζόμενον N ἐράσμιον Λ 9 ὅτι om v Ἐν — περιπατεῖ: αἱ ὁδοὶ αὐτῆς ὁδοὶ δικαιοσύνης Syr(cf Prov 3, 17) 10 οὐδὲ om V 11 ἐαρινῶν ERª 12 τοῦτο om E(marg adscr E²) ΛYSΣPV ᾧ τὸ: ὅτι N αὐτῆς: αὐτοῦ V παρεικάζεται ΛY φησί om Syr τὸ alt om P 14 ante στῦλος una litt eras E ἀντερειδομένοις P τε om V 15 νοῶ: νῦν P καὶ om Sv 17 πᾶσι om ERªΛYSPV super (πᾶσ)ι sscr ης N 18 ἀσφάλεια ΛY συμπεριλαμβάνεται SPVTCNv 19 ἐγκωμίων om N καὶ om Σ 20 πληρωθῇ ERªΛY 21 γὰρ om ERªΛY 22 ante οὐρανοὺς add τοὺς v καθέκαστα S

τῶν ἐν τῇ κτίσει θεωρουμένων εἰς τὴν τῆς σοφίας ἀνάγει δύναμιν διαποικίλλων αὐτὴν τοῖς ὀνόμασιν· τὴν γὰρ αὐτὴν καὶ σοφίαν λέγει καὶ φρόνησιν, αἴσθησίν τε καὶ γνῶσιν καὶ σύνεσιν καὶ τὰ τοιαῦτα. μετὰ δὲ ταῦτα νυμφοστολεῖν ἄρχεται τὸν νέον πρὸς τὴν τοιαύτην συνοίκησιν ἤδη πρὸς τὸν θεῖον θάλαμον βλέπειν ἐγκελευόμενος· λέγει γὰρ ὅτι Μὴ ἐγκαταλίπῃς αὐτὴν καὶ ἀνθέξεταί σου· ἐράσθητι αὐτῆς καὶ τηρήσει σε, περιχαράκωσον αὐτὴν καὶ ὑψώσει σε· τίμησον αὐτὴν ἵνα σε περιλάβῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου. ἐν τούτοις δὲ τοῖς στεφάνοις ἤδη τοῖς γαμικοῖς ὡς νυμφίον κατακοσμήσας ἀχώριστον αὐτῆς εἶναι διακελεύεται λέγων Ἡνίκα ἂν περιπατῇς, ἐπάγου αὐτὴν καὶ μετὰ σοῦ ἔστω· ὡς δ' ἂν καθεύδῃς, φυλασσέτω σε, ἵνα ἐγειρομένῳ συλλαλήσῃ σοι. διὰ τούτων καὶ τῶν τοιούτων τοῦ νεάζοντος ἔτι κατὰ τὸν ἔσω ἄνθρωπον τὸ ἐπιθυμητικὸν ἀναφλέξας καὶ αὐτὴν ἐκείνην τὰ περὶ ἑαυτῆς διηγουμένην ὑποδείξας τῷ λόγῳ, δι' ὧν μάλιστα τὴν ἀγαπητικὴν σχέσιν τῶν ἀκουόντων ἐφέλκεται τοῦτο μετὰ τῶν ἄλλων εἰποῦσα ὅτι Τοὺς ἐμὲ

3-4 cf Prov 1, 2-4; cf Origen Comm Prol p 76, 26 sqq 6-10 Prov 4, 6-9 12-14 Prov 6, 22 19 Prov 8, 17

ERª ΛYS Σ PVT CN Syr 1 τῶν om Λ(sscr Λ²)Y ἄγει Nv 2 διὰ ποικίλων V ὀνόμασιν: νοήμασιν TCN 3 φρόνησιν: σύνεσιν Nv 4 σύνεσιν: φρόνησιν N δὲ v Syr: om codd 6 ὅτι om ERªΛY 6-7 ἐγκαταλείπῃς EΛΣVC(corr E²Λ²C²) 7 αὐτῆς E(corr E²) ἀνθέξει ταί Σ τηρήσῃ C(corr C²) 8 περιχαράκωσον — ὑψώσει σε om Syr 8-9 αὐτὴν ἵνα σε περιλάβῃ· τίμησον αὐτὴν καὶ ὑψώσει σε· ἵνα δῷ coll TC 9 περιλάβοι T περιβάλῃ Nv τῇ σῇ κεφαλῇ: τῇ κορυφῇ v 10 ante τρυφῆς add τῆς Rª ὑπερασπίσῃ: 'honorat' vel 'glorificat' Syr σου om v δὲ alt: δὴ NvSyr om V 11 ἤδη om PV τοῖς γαμικοῖς om P ὡς νυμφίον SΛ²(in ras)ΣVSyr: ὁ νυμφίος P ὡς νύμφην TCN νύμφην v om ERªY κοσμήσας SΛ²(in ras)Σ (-μίσ-)PVT κοσμήσασα NC(ut vid, eras -α) 12 αὐτὴν V 13 αὐτῆς V 14 φυλαττέτω S συλλαλῇ TCv συνλαλῇ YN 15 τοὺς νεάζοντας S τὰ νεάζοντα Λ²(in ras) τοῦ ἔχοντος ERªYΛ (fort) ἔτι: ἐστὶ Y 16 τὸ: τὸν Rª 17 τὰ om ERªΛYPV αὐτῆς SΛ²(ex ἑαυ.)ΣPTCN ἐκδιηγουμένην SΣPVTCN 18 δι' ὧν: δι' ἣν S 19 ante τοὺς add (scil de Prov 8, 17) ἐγὼ E²(sscr)RªΣvSyr

φιλοῦντας ἀγαπῶ (ἡ γὰρ ἐλπὶς τοῦ ἀνταγαπηθῆναι σφοδρότερον εἰς ἐπιθυμίαν τὸν ἐραστὴν διατίθησι), καὶ μετὰ τούτων τὰς λοιπὰς ἐπαγαγὼν συμβουλὰς ἐν ἀποφαντικοῖς τισι καὶ εὐπεριγράπτοις ἀποφθέγμασι καὶ εἰς τελειοτέραν ἕξιν αὐτὸν ἀγαγὼν εἶτα πρὸς τοῖς τελευταίοις τῶν Παροιμιῶν μακαρίσας ταύτην τὴν ἀγαθὴν συζυγίαν, ἐν οἷς διεξῆλθε τὰ τῆς ἀνδρείας γυναικὸς ἐκείνης ἐγκώμια, τότε προστίθησι τὴν ἐν τῷ Ἐκκλησιαστῇ φιλοσοφίαν τῷ ἱκανῶς διὰ τῆς παροιμιώδους ἀγωγῆς εἰσηγμένῳ εἰς τὴν τῶν ἀρετῶν ἐπιθυμίαν. καὶ διαβαλὼν ἐν τούτῳ τῷ λόγῳ τὴν περὶ τὰ φαινόμενα τῶν ἀνθρώπων σχέσιν καὶ μάταιον εἰπὼν εἶναι πᾶν τὸ ἀστατοῦν τε καὶ παρερχόμενον, ἐν οἷς φησιν ὅτι Πᾶν τὸ ἐρχόμενον ματαιότης, ὑπερτίθησι παντὸς τοῦ δι' αἰσθήσεως καταλαμβανομένου τὴν ἐπιθυμητικὴν τῆς ψυχῆς ἡμῶν κίνησιν ἐπὶ τὸ ἀόρατον κάλλος καὶ οὕτως ἐκκαθάρας τὴν καρδίαν τῆς περὶ τὰ φαινόμενα σχέσεως τότε διὰ τοῦ Ἄισματος τῶν
772 M. Ἀισμάτων ἐντὸς τῶν θείων ἀδύτων μυσταγωγεῖ τὴν διάνοιαν· ἐν οἷς τὸ μὲν ὑπογραφόμενον ἐπιθαλάμιός τίς ἐστι διασκευή, τὸ δὲ νοούμενον τῆς ἀνθρωπίνης ψυχῆς ἡ πρὸς τὸ θεῖόν

3 ἐν ἀποφαντικοῖς καὶ εὐπεριγράπτοις: cf Orig Comm Prol p 77, 16: 'manifeste et evidenter ac more veterum succinctis brevibusque sententiis' 5 cf Prov 31, 10-31 10 cf Orig Comm Prol p 78, 5-8 12 Eccl 11, 8 15 sqq cf Orig l.l. p 78, 15-18

ER^a ΛYS Σ PVT CN Syr 1 ἀντ' ἀγαπηθῆναι Σ(ἀντ' ex ἀνατ' ut vid corr) ἀγαπηθῆναι P 2 τοῦτον E(corr E^2) 3 ἐπάγων ER^aΛYC(corr C^2)Nv τὰς λοιπὰς post ἐπαγ. coll PVTCN συμβουλίας ER^aΛYv 4 οὐ περιγράπτοις ΛY ἀπεριγράπτοις v post εὐπεριγράπτοις add τοῖς SΣPVTCNv ἕξιν: ἔξεισιν YΛ(ut vid, corr $Λ^2$) αὐτοὺς V 4-5 ἀγαγὼν αὐτὸν ER^aΛY 6 ταύτης PV τῆς ἀγαθῆς συζυγίας S 7 ἐκείνης om E(marg adscr E^2) προτίθησι ΛYPTC^2(corr e προστ.) 8 τῷ: τὸ Σ ἱκανῷ E(corr E^2)R^aNv καλῶς ΛY παροιμιώδης S 9 εἰσηγησαμένῳ PVC(corr C^2)Nv 10 διαλαβὼν ΛP 11 ματαιότητα Syr 12 τε om PVTCN ἐρχόμενον: ἐπερχόμενον ER^aYv παρερχόμενον ΛSΣTC^2(add παρ-) 12-13 ἐν οἷς — ματαιότης: καὶ ἐν τούτοις καὶ ἐν πολλοῖς τοιούτοις Syr 14 ἐπιθυμητικὴν: ἐπιφυτικὴν Nv 15 οὕτως om Syr 17 ἐντὸς: ἐν τοῖς V 18 ἐπιγραφόμενον PVTCN super δια-(σκευή) sscr κατα P 19 δ' ἐννοούμενον v

ἐστιν ἀνάκρασις. διὰ τοῦτο νύμφη ὧδε ὁ ἐν ταῖς Παροιμίαις υἱὸς ὀνομάζεται καὶ ἡ σοφία εἰς νυμφίου τάξιν ἀντιμεθίσταται, ἵνα μνηστευθῇ τῷ θεῷ ὁ ἄνθρωπος ἁγνὴ παρθένος ἐκ νυμφίου γενόμενος καὶ κολληθεὶς τῷ κυρίῳ γένηται πνεῦμα ἓν διὰ τῆς πρὸς τὸ ἀκήρατόν τε καὶ ἀπαθὲς ἀνακράσεως νόημα καθαρὸν ἀντὶ σαρκὸς βαρείας γενόμενος. ἐπειδὴ τοίνυν σοφία ἐστὶν ἡ λαλοῦσα, ἀγάπησον ὅσον δύνασαι ἐξ ὅλης καρδίας τε καὶ δυνάμεως, ἐπιθύμησον ὅσον χωρεῖς. προστίθημι δὲ θαρρῶν τοῖς ῥήμασι τούτοις καὶ τὸ ἐράσθητι· ἀνέγκλητον γὰρ τοῦτο καὶ ἀπαθὲς ἐπὶ τῶν ἀσωμάτων τὸ πάθος, καθώς φησιν ἡ σοφία ἐν ταῖς Παροιμίαις τοῦ θείου κάλλους νομοθετοῦσα τὸν ἔρωτα. ἀλλὰ καὶ ὁ νῦν προκείμενος λόγος τὰ ἴσα διακελεύεται οὐ γυμνήν σοι τὴν περὶ τούτου συμβουλὴν προσάγων, ἀλλὰ δι' ἀπορρήτων φιλοσοφεῖ τοῖς νοήμασιν εἰκόνα τινὰ τῶν κατὰ τὸν βίον ἡδέων εἰς τὴν τῶν δογμάτων τούτων κατασκευὴν προστησάμενος. ἡ δὲ εἰκὼν γαμική τίς ἐστι διασκευή, ἐν ᾗ κάλλους ἐπιθυμία μεσιτεύει τῷ πόθῳ, οὐ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν τοῦ νυμφίου τῆς ἐπιθυμίας κατάρξαντος, ἀλλὰ προλαμβάνει τὸν νυμφίον ἡ παρθένος ἀνεπαισχύντως τὸν πόθον δημοσιεύουσα καὶ εὐ-

4 cf I Cor 6, 17 7 Deut 6, 5 8 ἐπιθύμησον unde? an Sirac 1, 26? 9 Prov 4, 6 (ἐράσθητι); cf Sap 8, 2; cf Orig Comm Prol p 68, 22 sqq et Orig in Joh XX 43, p 386, 29 sqq

ER^a ΛYSΘ(inde a 11-12 νομοθετοῦσα) Σ PVT CN Syr 1 ἐστιν om Σ νυμφίος TCNv ὧδε om TCNv 2 ὀνομάζεται υἱὸς PVTCNv νύμφης TCNv μεθίσταται N 3 μνηστευσθῇ YTv ἐκ νυμφίου om PTCNv ἐκ νέου Syr 4 γενόμενος om TCNv καὶ κολληθεὶς: ἐκκληθεὶς C(ἐκ valde inc, corr in ras C^2) γενήσεται P ἓν eras vel evan E 5 ἀκηράτου καὶ ἀπαθοῦς Syr(om πρὸς τὸ) τε: τι v 6 γενόμενον TCNv γινόμενον V 7 post λαλοῦσα add μετά σου Syr 8 δυνάμεως: διανοίας TC 9 τὸ: τῶ C(corr C^2) 11 ταῖς om P ante τοῦ add σοὶ ER^aΛYSPV 12 νῦν ὁ ΛY ὁ ἡμῖν Syr 13 οὐ om Syr (errore scribae ut vid) σοι coll ante συμβουλὴν TCN post συμβ. Σ om v τούτων ER^aΛYT τούτους C(corr τούτων C^2) 16 τούτων om E(adscr E^2) ΛYSyr προστησάμενος: τεκμηράμενος TCN om P γαμηκὴ C(corr C^2) ἀμηκή V 17 κατασκευή ER^aΛYv 18 τῆς om PV 20 καὶ om ΛYPV

χὴν ποιουμένη τοῦ νυμφικοῦ ποτε κατατρυφῆσαι φιλήματος. ἐπειδὴ γὰρ οἱ ἀγαθοὶ τῆς παρθένου προμνήστορες, πατριάρχαι τε καὶ προφῆται καὶ νομοθέται, προσήγαγον τῇ μεμνηστευμένῃ τὰ θεῖα χαρίσματα, ἅπερ ἕδνα καλεῖ ἡ συνήθεια τὰ πρὸ τῶν γάμων δῶρα οὕτω κατονομάζουσα (ταῦτα δὲ ἦν ἄφεσις παραπτωμάτων, ἀμνηστία κακῶν, ἁμαρτίας ἀναίρεσις, μεταστοιχείωσις φύσεως, τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον μεταποίησις, παραδείσου τρυφή, βασιλείας ἀξίωμα, εὐφροσύνη τέλος οὐκ ἔχουσα), ταῦτα τοίνυν ἡ παρθένος δεξαμένη τὰ θεῖα δωρήματα παρὰ τῶν καλῶν ἑδνοφόρων τῶν διὰ τῆς προφητικῆς διδασκαλίας αὐτῇ προσαγαγόντων τὰ δῶρα καὶ ὁμολογεῖ τὴν ἐπιθυμίαν καὶ ἐπισπεύδει τὴν χάριν ἤδη τῆς ὥρας τοῦ ποθουμένου κατατρυφῆσαι σπουδάζουσα. ἀκροῶνται δὲ αὐτῆς συνήθεις τινὲς καὶ ὁμήλικες πρὸς μείζονα τὴν νύμφην ἐπιθυμίαν διερεθίζουσαι. παραγίνεται δὲ καὶ ὁ νυμφίος φίλων αὐτῷ τινων καὶ καταθυμίων χορὸν ἐπαγόμενος. οὗτοι δ᾽ἂν εἶεν ἢ τὰ λειτουργικὰ πνεύματα, δι᾽ὧν οἱ ἄνθρωποι σῴζονται, ἢ οἱ προφῆται οἱ ἅγιοι, οἳ τῆς φωνῆς τοῦ νυμφίου ἀκούοντες χαίρουσί τε καὶ ἀγάλλονται τῆς ἀκηράτου συζυγίας ἁρμοζομένης, δι᾽ἧς ἡ κολλωμένη

1 cf Cant 1, 2 2-3 cf Origen Comm I p 90, 11 sqq 6 cf Eph 1, 7 (ἄφεσις π.) 8 cf Gen 3,23 (ἐκ τοῦ παρ. τῆς τρυφῆς cf ex. gr. Diogn XII 1); II Thess 1,5 (καταξιωθῆναι τῆς βασ.); εὐφροσύνη cf ex. gr. Ps 15,11 simil 19 cf Joh 3, 29.

ERª ΛYSΘ Σ PVT CN Syr 1 ποτε om PVSyr φιλήματος: θελήματος SΘP 2 τῆς παρθενίας ΛY om Syr 3 τε om EPªΛY νομοθέτου N δίκαιοι πάντες οἱ πρότεροι Syr προήγαγον PVSyr 5 ἦν om E(add E^2)Y scr in ras$Λ^2$ 6 ἀμνηστεία ΣVNv ἀμνησία SΘ 7 ἀφθάρτου P 8 (μετα)ποίησις — εὐφροσύνη om Y τρυφή om P post τρυφὴ 1 litt eras C 11 προσαγόντων SΘPV 12 καὶ alt om P 14 δὲ om PVCNv αὐτῆς coll ante καὶ SΘ τινὲς συνήθεις ERªΛYSΘ 16 δὲ: δὴ ΛY αὐτῇ PV χορὸν om Θ 17 ἐπαγόμενος: ἑπομένων Θ εἶεν: εἰσιν v ἢ: οἱ ΛYS om PVTCNv πνεῦμα E(corr E^2)πνεύματατω Y 18 οἳ om Θ 19 ἀκούσαντες v χαίρονταί SΘ ἀγαλλιῶνται Σ

τῷ κυρίῳ ψυχὴ ἓν πνεῦμα γίνεται, καθώς φησιν ὁ ἀπόστολος.

Πάλιν τοίνυν τὸν ἐν τοῖς προοιμίοις ἐπαναλήψομαι λόγον· μή τις ἐμπαθὴς καὶ σαρκώδης ἔτι τῆς νεκρᾶς τοῦ παλαιοῦ ἀνθρώπου δυσωδίας ἀπόζων πρὸς τὰς κτηνώδεις ἀλογίας κατασυρέτω τὰς τῶν θεοπνεύστων νοημάτων τε καὶ ῥημάτων ἐμφάσεις, ἀλλ᾽ ἐκβὰς ἕκαστος αὐτὸς ἑαυτοῦ καὶ ἔξω τοῦ ὑλικοῦ κόσμου γενόμενος καὶ ἐπανελθὼν τρόπον τινὰ
773 M. δι᾽ἀπαθείας εἰς τὸν παράδεισον καὶ διὰ καθαρότητος ὁμοιωθεὶς τῷ θεῷ οὕτως ἐπὶ τὸ ἄδυτον τῶν προφαινομένων ἡμῖν διὰ τοῦ βιβλίου τούτου μυστηρίων χωρείτω. εἰ δέ τισιν ἀπαρασκεύαστός ἐστιν ἡ ψυχὴ πρὸς τὴν τοιαύτην ἀκρόασιν, ἀκουσάτωσαν τοῦ Μωϋσέως νομοθετοῦντος μὴ κατατολμῆσαι τῆς ἐπὶ τὸ ὄρος τὸ πνευματικὸν ἀναβάσεως, πρὶν πλῦναι τῶν καρδιῶν ἡμῶν τὰ ἱμάτια καὶ τοῖς καθήκουσι τῶν λογισμῶν περιρραντηρίοις τὰς ψυχὰς ἀφαγνίσασθαι. ὥστε νῦν ἐν ᾧ χρόνῳ προσεδρεύομεν τῇ θεωρίᾳ ταύτῃ, λήθην τῶν γαμικῶν νοημάτων ποιήσασθαι κατὰ τὸ παράγγελμα τοῦ Μωϋσέως τοῦ καθαρεύειν ἀπὸ τῶν γάμων τοῖς μυσταγωγουμένοις νομοθετήσαντος καὶ διὰ πάντων ἀναλαβεῖν

1 I Cor 6, 17 3-4 cf II Cor 2, 16; cf Ps 37, 6; cf Origen Hom in Cant I 2 p 30, 15 sqq 6 sqq cf II Cor 12, 2-4; cf De inst p 40, 1 sqq; De virg p 290, 4 (Vol VIII, 1 Jaeger) 8-9 cf Plat Theaet 176 b/c Resp 613 b 9 Plat Theaet 162 a (τὸ ἄδυτον τῆς βίβλου) 12 cf Luc 16, 29 13-15 cf Exod 19, 10-14 18 cf Exod 19, 15

ERª ΛYSΘ Σ PVT CN Syr 1 καθώς — ἀπόστολος om Syr 2 τὸν: τῶν Θ τὸν coll ante λόγον v τοῖς om SΘ ταῖς παροιμίαις T(corr T^2)CN v 3 ἔτι: ἢ Σ τῆς om P 4 ἀλογίας: ἐνεργείας TCN 5 νοημάτων: ὀνομάτων Θ post ῥημάτων eras 12 fere litt Σ 6 ἐκβὰς: ἐκστὰς RªV ἑαυτὸν ERªΛY SΘP de C non liquet καὶ om S(add m fort pr) Θ 9 θεῷ: κυρίῳ ΣTCN οὗτος ΘP φαινομένων V 10 τούτου μυστηρίων om V 11 τισιν: τις εἴη et om ἐστιν ἡ ERªΛYS ἀπαράσκευός SΘPVT ψυχὴν ΛY 12 ἀκουσάτωσαν ΘΣSyr: ἀκούσεται ΛYS ἀκουσάτω cett v 13 τοῦ ὄρους P τὸ alt om PV τῆς Θ πνευματικῆς ΘPV 14 πρὶν ex corr T ὑμῶν ERªΛYC om Σ ἱμάτια: νοήματα ERªΛY 15 τὸν λογισμὸν P ἀφανίσασθαι Y(sed corr)Θ(eras γ ut vid)C(add γ m ut vid pr) 18 γαμικῶν Σ 18-19 τοὺς μυσταγωγουμένους ERª v 19 μυσταγωγημένοις N

οἶμαι δεῖν ἡμᾶς τὰ τοῦ νομοθέτου προστάγματα μέλλοντας προσβαίνειν τῷ πνευματικῷ τῆς θεογνωσίας ὄρει, ἐν ᾧ τὸ θῆλυ γένος τῶν λογισμῶν μετὰ τῆς ὑλικῆς ἀποσκευῆς τῷ κάτω καταλείπεται βίῳ. πᾶν δὲ ἄλογον νόημα εἰ περὶ τὸ τοιοῦτον ὄρος ὀφθείη, τοῖς στερροτέροις λογισμοῖς οἱόν τισι λίθοις καταφονεύεται. μόγις γὰρ ἂν οὕτω χωρήσαιμεν τὴν φωνὴν τῆς σάλπιγγος ταύτης μέγα τι καὶ ἐξαίσιον καὶ ὑπὲρ τὴν δύναμιν τῶν δεχομένων ἠχούσης, ἣν αὐτὸς ὁ γνόφος τῆς ἀσαφείας προΐεται, ἐν ᾧ ἐστιν ὁ θεὸς ὁ τὸ ὑλικὸν ἅπαν ἐπὶ τοῦ τοιούτου ὄρους τῷ πυρὶ καταφλέγων.

Ἤδη τοίνυν ἐντὸς τοῦ ἁγίου τῶν ἁγίων γενώμεθα, ὅπερ ἐστὶ τὸ ᾆσμα τῶν ᾀσμάτων. ὡς γὰρ ἐν τῷ ἁγίῳ τῶν ἁγίων πλεονασμόν τινα καὶ ἐπίτασιν τῆς ἁγιότητος διὰ τῆς ὑπερθετικῆς ταύτης φωνῆς διδασκόμεθα, οὕτω καὶ διὰ τοῦ ᾄσματος τῶν ᾀσμάτων μυστηρίων μυστήρια διδάσκειν ἡμᾶς ὁ ὑψηλὸς λόγος κατεπαγγέλλεται. πολλῶν γὰρ ὄντων κατὰ τὴν θεόπνευστον διδασκαλίαν ᾀσμάτων, δι᾽ ὧν τὰ μεγάλα νοήματα περὶ τοῦ θεοῦ διδασκόμεθα παρά τε τοῦ μεγάλου Δαβὶδ καὶ Ἠσαΐου καὶ Μωϋσέως καὶ ἄλλων

2 cf Exod 19, 21 6 cf Exod 19, 13 7 Exod 19, 16 10 cf Exod 19, 18 11 sqq cf Orig Comm Prol p 79, 21-83, 20

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ὑμᾶς ΣCN παραγγέλματα SΘΣ πράγματα V μέλλοντες V 2 προβαίνειν R^aS(corr S^2)P ante τῆς add τῷ C(corr τούτω C^2)N add τούτῳ T θεογνωσίας: νομοθεσίας ΣTCN 3-4 ἀποσκευῆς τῷ κάτω om V 4 καταλύπτεται R^a 5 ὠφθείη C(corr C^2)N 6 τισι: τις Σ καταφονεύετε E(corr in marg E^2) μόγις ER^aΛYΣ: μόλις cett v γὰρ om Λ(sscr $Λ^2$)Y χωρήσωμεν Y 7 τ(ὴν) ex σ ut vid corr Θ 8 τὴν om ER^aΛY δεομένων Θ ἔχουσης R^a 9 (τ)ῆ(ς) ex α ut vid corr Θ ἀσ///αφείας (αφ in ras)S ὁ alt om Θ 10 τοῦ τοιούτου: τούτου τοῦ P Syr τοιούτου V 11 γενόμεθα Σ γινόμεθα Θ 13 super (πλεονασμ)όν sscr ων P ἁγνότητος Y 14 ὑπερθετικῆς: ὑπερθέου Λ(corr $Λ^2$)Y φωνῆς ταύτης ΣTCN 15 διδάσκει R^a 17 θεοπνεύστων κατὰ τὴν διδ. Syr ante ᾀσμάτων add τῶν v 18 περὶ: παρὰ Θ om PVTCN τοῦ pr om ER^aΛYΣv διδασκόμεθα ante περὶ coll v τε om PV 19 καὶ alt om V Μωυσέος ΛSV

πολλῶν, τοῦτο παρὰ τῆς ἐπιγραφῆς ταύτης μανθάνομεν, ὅτι ὅσον ἀπέχει τῶν τῆς ἔξω σοφίας ᾀσμάτων τὰ τῶν ἁγίων ᾄσματα, τοσοῦτον ὑπέρκειται τῶν ἁγίων ᾀσμάτων τὸ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων μυστήριον, οὗ τὸ πλέον εἰς κατανόησιν οὔτε εὑρεῖν οὔτε χωρῆσαι ἡ ἀνθρωπίνη δύναται φύσις. καὶ τούτου χάριν τὸ σφοδρότατον τῶν καθ᾽ ἡδονὴν ἐνεργουμένων (λέγω δὲ τὸ ἐρωτικὸν πάθος) τῆς τῶν δογμάτων ὑφηγήσεως αἰνιγματωδῶς προεστήσατο, ἵνα διὰ τούτου μάθωμεν, ὅτι χρὴ τὴν ψυχὴν πρὸς τὸ ἀπρόσιτον τῆς θείας φύσεως κάλλος ἐνατενίζουσαν τοσοῦτον ἐρᾶν ἐκείνου, ὅσον ἔχει τὸ σῶμα τὴν σχέσιν πρὸς τὸ συγγενὲς καὶ ὁμόφυλον, μετενεγκοῦσαν εἰς ἀπάθειαν τὸ πάθος, ὥστε πάσης κατασβεσθείσης σωματικῆς διαθέσεως μόνῳ τῷ πνεύματι ζέειν ἐρωτικῶς ἐν ἡμῖν τὴν διάνοιαν διὰ τοῦ πυρὸς ἐκείνου θερμαινομένην, ὃ βαλεῖν ἐπὶ τὴν γῆν ἦλθεν ὁ κύριος.

Ἀλλὰ ταῦτα μέν, ὅπως χρὴ διακεῖσθαι τὴν ψυχὴν τῶν μυστικῶν ῥημάτων ἀκούοντας, ἱκανῶς ἔχειν φημί. καιρὸς δὲ ἂν εἴη καὶ αὐτὰς τὰς θείας τοῦ ᾄσματος τῶν ᾀσμάτων φωνὰς ἤδη προσθεῖναι τῇ θεωρίᾳ τοῦ λόγου. καὶ πρότερόν γε τὴν τῆς ἐπιγραφῆς κατανοήσωμεν δύναμιν· οὐ γὰρ
776 M. ἀργῶς μοι δοκεῖ τῷ Σολομῶντι τὸ βιβλίον ἐκ τῆς ἐπιγραφῆς

5 cf Plato Tim 28 c 6-7 cf Plato Resp 573 e 9-12 cf Plato Conv 211 b-e 13 cf Plato Phaedr 251 b/c 14-15 Luc 12, 49

ER^a ΛYSΘ Σ PVT CN(post 17 ῥημάτων deff 2 foll) Syr 1 τοῦτο: τοῦ R^a γραφῆς V 2 τὰ post ἁγίων coll et uncinis secl v om Θ 3 ante ᾄσματα add ἀσμάτων ER^a 4 ἀσωμάτων Y 5 εὑρεῖν: λαβεῖν P χωρῆσαι: εὑρεῖν P ante φύσις add ἀκοὴ καὶ ΣTCN v post φύσις eras 1 litt E 7 super (δ)ὲ sscr η E^2 δὴ R^aSΘΣPv εἰσηγήσεως E(sscr ὑφη E^2)ΛY 10 ἀτενίζουσαν TC ἐρᾶν: ὁρᾶν V ἐκεῖνον v ὅσην ER^aΛYΘ 11 τὴν om T μετενεγκοῦσα SΘC(sscr ν C^2) 13 ἐνωτικῶς Y 14 θερμαίνειν C(corr C^2) 17 ἀκούοντες $Λ^2$(corr ex -τας) ἀκουόντων v 18 καὶ αὐτὰς om Θ et τῆς et 19 φωνῆς Θ ᾀσμάτων om E(adscr E^2) 19 προσθῆναι C προθεῖναι ER^aT προθῆναι V τοῦ λόγου om Syr προτέραν ΣC 20 γε: τε P γραφῆς PVCv 21 σολομῶνι S (sic passim) post βιβλίον add τοῦτο Σ

ἀνατεθεῖσθαι, ἀλλ' ὥστε γενέσθαι διάνοιαν τοῖς ἐντυγχάνουσι τοῦ μέγα τι καὶ θεῖον ἐν τοῖς λεγομένοις προσδέχεσθαι. ἐπειδὴ γὰρ ἀνυπέρβλητόν ἐστι παρ' ἑκάστῳ διὰ τῆς περὶ αὐτοῦ μαρτυρίας ἐπὶ τῇ σοφίᾳ τὸ θαῦμα, τούτου χάριν εὐθὺς ἐκ προοιμίων ἡ τοῦ ὀνόματος μνήμη παραλαμβάνεται, ὥστε τι μέγα καὶ τῆς περὶ αὐτοῦ δόξης ἐπάξιον ἐλπισθῆναι διὰ τοῦ βιβλίου τούτου τοῖς ἐντυγχάνουσιν. ὥσπερ δὲ κατὰ τὴν γραφικὴν ἐπιστήμην ὕλη μέν τις πάντως ἐστὶν ἐν διαφόροις βαφαῖς ἡ συμπληροῦσα τοῦ ζῴου τὴν μίμησιν, ὁ δὲ πρὸς τὴν εἰκόνα βλέπων τὴν ἐκ τῆς τέχνης διὰ τῶν χρωμάτων συμπληρωθεῖσαν οὐ ταῖς ἐπιχρωσθείσαις τῷ πίνακι βαφαῖς ἐμφιλοχωρεῖ τῷ θεάματι, ἀλλὰ πρὸς τὸ εἶδος βλέπει μόνον, ὃ διὰ τῶν χρωμάτων ὁ τεχνίτης ἀνέδειξεν, οὕτω προσήκει καὶ ἐπὶ τῆς παρούσης γραφῆς μὴ πρὸς τὴν ὕλην τῶν ἐν τοῖς ῥήμασι χρωμάτων βλέπειν, ἀλλὰ καθάπερ τι βασιλέως εἶδος ἐν αὐτοῖς καθορᾶν τὸ διὰ τῶν καθαρῶν νοημάτων ἀνατυπούμενον. λευκὸν γὰρ ἢ ὠχρὸν ἢ μέλαν ἢ ἐρυθρὸν ἢ κυάνεον ἢ ἄλλο τι χρῶμά ἐστι τὰ ῥήματα ταῦτα κατὰ τὰς προχείρους ἐμφάσεις, στόμα καὶ φίλημα καὶ μύρον καὶ οἶνος καὶ τὰ τῶν μελῶν ὀνόματα καὶ κλίνη καὶ νεάνιδες καὶ τὰ τοιαῦτα· ἡ δὲ διὰ τούτων ἀποτελουμένη μορφὴ μακαριότης ἐστὶ καὶ ἀπάθεια καὶ ἡ πρὸς τὸ θεῖον συνάφεια καὶ ἡ τῶν κακῶν ἀλλοτρίωσις καὶ ἡ πρὸς τὸ ὄντως καλόν

4 cf III Reg 3, 12; cf III Reg 5, 9-14 5 cf Cant 1,1 22-23 cf Plato Theaet 176 b sqq.

ER^a ΛYSΘ Σ PT C V(post 4 μαρτυρίας vacant 10 foll) Syr 1 ante γενέσθαι add ἀπ' ἀρχῆς Syr 3 ἑκάστου E(corr E^2) R^a ΛYP περὶ: παρ' T 4 τῇ om ΛY 6 ὥστε: ὥς P post ὥστε add ὡς ἔλεγον Syr 7 διὰ — τούτου om Syr δὲ: γὰρ Θ 8 ζωγραφικὴν T τις post ἐστί coll ER^a om Λ(add $Λ^2$)YP ἐστι πάντως v 8-9 ἐν διαφόροις βαφαῖς om T(adscr pr ut vid m in marg post 9 συμπληροῦσα) 9 τοῦ ζῴου om Syr 12 τῷ θεάματι om T Syr βλέπειν R^a 13 προσήκει coll post 14 παρούσης ΛY 14 τῶν: τὴν v 15 ante χρωμάτων add τῶν E (exp E^2)ΛY βασίλειον ΛY βασιλείας v 15-16 εἶδος βασιλέως PC 16 αὐτη P(sscr οἷς) 18 post ἔστι (sic) add γὰρ ΛYSΘ 19 στόμα om P 20 καὶ pr om P 21 ἐπιτελουμένη T

τε καὶ ἀγαθὸν ἐξομοίωσις. ταῦτά ἐστι τὰ νοήματα τὰ μαρτυροῦντα τῷ Σολομῶντι τὴν σοφίαν ἐκείνην τὴν ὑπερβαίνουσαν τοὺς ὅρους τῆς ἀνθρωπίνης σοφίας. τί γὰρ ἂν γένοιτο τούτου παραδοξότερον ἢ τὸ αὐτὴν ποιῆσαι τὴν φύσιν τῶν ἰδίων παθημάτων καθάρσιον διὰ τῶν νομιζομένων ἐμπαθῶν ῥημάτων τὴν ἀπάθειαν νομοθετοῦσάν τε καὶ παιδεύουσαν; οὐ γὰρ λέγει τὸ δεῖν ἔξω τῶν τῆς σαρκὸς γίνεσθαι κινημάτων καὶ νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς καὶ καθαρεύειν ἀπὸ τῶν ἐμπαθῶν ῥημάτων τῷ στόματι, ἀλλ' οὕτω διέθηκε τὴν ψυχήν, ὡς διὰ τῶν ἀπεμφαίνειν δοκούντων πρὸς τὴν καθαρότητα βλέπειν, διὰ τῶν ἐμπαθῶν ῥήσεων τὴν ἀκήρατον ἑρμηνεύων διάνοιαν. ἓν μὲν δὴ τοῦτο διὰ τῶν προοιμίων ἡμᾶς παιδευσάτω ὁ λόγος, τὸ μηκέτι ἀνθρώπους εἶναι τοὺς ἐπὶ τὰ ἄδυτα τῶν τοῦ βιβλίου τούτου μυστηρίων εἰσαγομένους ἀλλὰ μεταποιηθῆναι τῇ φύσει διὰ τῆς τοῦ κυρίου μαθητείας πρὸς τὸ θειότερον, καθὼς μαρτυρεῖ τοῖς ἑαυτοῦ μαθηταῖς ὁ λόγος, ὅτι κρείττους ἦσαν ἢ κατὰ ἄνθρωπον, οὓς διέκρινεν ἀπὸ τῶν ἀνθρώπων ἡ γενομένη πρὸς αὐτοὺς παρὰ τοῦ κυρίου διαστολή, ὅτε φησί· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀληθῶς

2-3 cf III Reg 5, 10 sq 8 cf Col 3, 5 14 cf Plato Theaet 162 a 15 cf ex. gr. Rom 12, 2 19-20 Marc 8, 27 et 29

ER^a ΛYSΘ Σ PT C Syr 1 τε om v post ἀγαθὸν add ἐστιν (ut vid)C(eras) νοήματα: ὀνόματα $Λ^2$(corr ὀνό- in ras) 2 τῷ om ΛYSΘ τῷ σολομῶντι coll post ἐκείνην ER^a 3 σοφίας: φύσεως Λ(ex corr ?) ἂν om ER^a 4 ἢ τὸ: τοῦ Syr(ut vid) ἢ: εἰ Λ(corr $Λ^2$)YS τὸ αὐτὴν: τοιαύτην E^2(e τὸ αὐ-)R^a 5 καθαρισμὸν P Syr(ut vid) 6 τε om v 7 ἔξω τὸ δεῖν τῶν E(ἔξω (α') τὸ (β') δεῖν τῶν (γ') E^2)R^a τὸ: τω T(sed corr) γενέσθαι ER^aΣCv ante κινημάτων add παθητικῶν TCv post κινημάτων add καὶ ὀνομάτων παθητικῶν Syr 8 νεκροῦντα E(eras -τα) R^a v 9 διέθεικεν E 10 διὰ: δι' αὐτῶν P 11 ante διὰ add καὶ E^2R^a v 12 ἑρμηνεύειν ER^a τῶν προοιμίων: τῆς ἐπιγραφῆς ταύτης τῆς γραφῆς Syr (scil recte explicans) 13 ἡμᾶς om S(sscr m fort pr)Θ τὸ: τοῦ E(eras -ῦ)R^a 15 τὴν φύσιν P 16 κυρίου: χριστοῦ ΣCv 17 κρείττονες Θ 19 παρὰ: διὰ Σ διαστολή, ὅτε: διαστολῆς φωνὴ ὅτι Λ(ante διαστ. sscr τῆς $Λ^2$)YSΘ λέγουσιν coll post 20 ἄνθρωποι Σ 20 ὑμεῖς δὲ: καὶ ὑμεῖς Θ εἶναι alt om Σ

γὰρ ὁ διὰ τῶν τοιούτων ῥημάτων, ὧν ἡ πρόχειρος ἔμφασις τὰς σαρκώδεις ἡδυπαθείας ἐνδείκνυται, μὴ κατολισθαίνων εἰς τὴν ῥυπῶσαν διάνοιαν ἀλλὰ πρὸς τὴν τῶν θείων φιλοσοφίαν, ἐπὶ τὰς καθαρὰς ἐννοίας διὰ τῶν ῥημάτων τούτων χειραγωγούμενος δείκνυσι τὸ μηκέτι ἄνθρωπος εἶναι μηδὲ σαρκὶ καὶ αἵματι συμμεμιγμένην τὴν φύσιν ἔχειν, ἀλλὰ τὴν ἐλπιζομένην 777 M. ἐν τῇ ἀναστάσει τῶν ἁγίων ζωὴν ἐπιδείκνυται ἰσάγγελος διὰ τῆς ἀπαθείας γενόμενος. ὡς γὰρ μετὰ τὴν ἀνάστασιν τὸ μὲν σῶμα μεταστοιχειωθὲν πρὸς τὸ ἄφθαρτον τῇ ψυχῇ τοῦ ἀνθρώπου συμπλέκεται, τὰ δὲ νῦν διὰ σαρκὸς ἡμῖν ἐνοχλοῦντα πάθη τοῖς σώμασιν ἐκείνοις οὐ συνανίσταται ἀλλά τις εἰρηνικὴ κατάστασις τὴν ζωὴν ἡμῶν διαδέξεται, μηκέτι τοῦ φρονήματος τῆς σαρκὸς πρὸς τὴν ψυχὴν στασιάζοντος μηδὲ διὰ τοῦ ἐμφυλίου πολέμου τῶν ἐμπαθῶν κινημάτων ἀντιστρατευομένου τῷ νόμῳ τοῦ νοὸς καὶ ὥσπερ αἰχμάλωτόν τινα τῇ ἁμαρτίᾳ προσάγοντος τὴν ἡττηθεῖσαν ψυχήν, ἀλλὰ πάντων τῶν τοιούτων καθαρεύσει τότε ἡ φύσις καὶ ἓν δι' ἀμφοτέρων ἔσται τὸ φρόνημα (τῆς σαρκός φημι καὶ τοῦ πνεύματος) πάσης σωματικῆς διαθέσεως ἐξαφανισθείσης ἀπὸ τῆς φύσεως, οὕτω παρακελεύεται καὶ διὰ τοῦ βιβλίου

5 cf Eph 2, 19; I Cor 15, 42-50 6-7 cf Joh 5, 24 simil 7 cf Luc 20, 35/6 8-9 cf I Cor 15, 42 sqq; Phil 3, 21 10 cf Rom 8, 11 12-14 cf De beatit p 1289 C (Migne); cf Philo De opif 81 13 cf ex. gr. Plato Resp 586 e (στασιαζούσης τῆς ψυχῆς) 15 cf Rom 7, 23 17-19 cf Eph 2, 16

$E R^a$ ΛΥSΘ Σ PT C Syr 1 ὁ: ὡς C v ῥητῶν P (corr e ῥημάτων) ὧν om C 2 ἡδυπαθείας: ἐπιθυμίας Θ (in marg ἡδυπ. $Θ^2$) ἐνδείκνυνται v ex μὴ κατολισθαίνων corr σφᾶς ὑπερβεβηκέναι μὴ κατολισθαίνοντας C^2 4 ῥητῶν T τούτων om E (adscr E^2) P διὰ — τούτων om Syr 4-5 χειραγωγουμένους (ex -ος) et τε (ex τὸ) et ἀνθρώπους (ex -ος) et 7 ἰσαγγέλους (ex -ος) et 8 γενομένους (ex -ος) C^2 5 ἀνθρώπους PT (corr pr m) 6 μεμιγμένην P 7 ἐν om v 8 γινόμενος $E R^a$ γὰρ: ἂν ΥΛ (ut vid, eras et corr $Λ^2$) 9 τὸ om ΛΥ 10 συνανίστανται C (corr C^2) συνίσταται ΘP 13 τὴν eras Σ 14 διὰ hoc loco Jaeger: coll post πολέμου codd v 15 ἀντιστρατευομένω C^2 (ex -νου ut vid) 16 ἡττηθεῖσαν: αἰχμαλωτισθεῖσαν Θ 17 καθαρεύει ΛΥΤ 18 δι': δὲ E^2 (exp δι' et sscr δὲ) R^a 20 καὶ om $E R^a$PTC v

τούτου ὁ λόγος τοῖς ἐπαΐουσι, κἂν ἐν σαρκὶ ζῶμεν, μηδ' ἐν τοῖς νοήμασι πρὸς αὐτὴν ἐπιστρέφεσθαι, ἀλλὰ πρὸς μόνην τὴν ψυχὴν βλέπειν καὶ τὰς ἀγαπητικὰς τῶν ῥημάτων ἐμφάσεις καθαράς τε καὶ ἀμολύντους ἀνατιθέναι τῷ ὑπερέχοντι πάντα νοῦν ἀγαθῷ, ὃ μόνον ἐστὶν ὡς ἀληθῶς γλυκύ τε καὶ ἐπιθυμητὸν καὶ ἐράσμιον, οὗ ἡ ἀπόλαυσις ἡ ἀεὶ γινομένη ἀφορμὴ μείζονος ἐπιθυμίας γίνεται τῇ μετουσίᾳ τῶν ἀγαθῶν τὸν πόθον συνεπιτείνουσα. οὕτως ὁ Μωϋσῆς, ἡ νύμφη, τὸν νυμφίον ἐφίλει κατὰ τὴν ἐν τῷ Ἄισματι παρθένον τὴν λέγουσαν Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ, ὃς διὰ τῆς στόμα κατὰ στόμα γινομένης αὐτῷ παρὰ τοῦ θεοῦ ὁμιλίας, καθὼς μαρτυρεῖ ἡ γραφή, ἔτι ἐν ἐπιθυμίᾳ μείζονι τῶν τοιούτων φιλημάτων ἐγίνετο μετὰ τοσαύτας θεοφανείας

1 cf Gal 2, 20; II Cor 10, 3; Rom 8, 9; I Petr 4, 2 4-5 cf Phil 4, 7; cf Plato Resp 508 e sqq 5 cf Plato Resp 583 a sqq 6-8 cf Aristoteles Eth Nic H, 13 (p 1153 a 22): ἐπεὶ αἱ ἀπὸ τοῦ θεωρεῖν καὶ μανθάνειν (sc. ἡδοναί) μᾶλλον ποιήσουσιν θεωρεῖν καὶ μανθάνειν. 8-9 cf Exod 33, 11 11 cf Deut 34, 10 (πρόσωπον κατὰ πρόσωπον) 13 sqq cf Exod 33, 13 et 18; cf Vita Moys p 404 D (Migne)

$E R^a$ ΛΥSΘ Σ PT C Syr 1 ὁ λόγος ante 30, 20 διὰ coll $E R^a$ τοῖς ἐπαΐουσι: ἡμῖν Syr 1-2 μηδ' ἐν: μηδὲν ΣPC v 2 ante πρὸς alt add καὶ v 3 βλέπει Σ (corr $Σ^2$) ante τὰς add πάσας Cv τῶν ῥημάτων: τούτων $E R^a$v post ῥημάτων add τούτων T 4 et καθαρῶς et ἀμολύντως Syr 5 post ἀγαθῷ add θεῷ ΣCv ὃ: ᾧ v ἐπιθυμητικὸν P 5-6 ἐράσμιον καὶ ἐπιθυμητὸν ΣSyr 6 ἡ alt om $E R^a$Θ γενομένη T 7 post γίνεταί add τισι C 8 Ne in ὁ Μωϋσῆς, ἡ νύμφη offendas cf supra p 23, 1 sqq; infra p 48, 15. ἡ νύμφη $E R^a$ΘΣT (ἣ) Syr: om ΛΥS (spatio 6 litt rel) ante ἡ νύμφη add οὕτως P add ἐφίλει τὸν θεόν, οὕτως ὁ Ἠλίας, οὕτως ὁ Ἰωάννης ἐφίλει τὸν νυμφίον λέγων Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου, οὕτως ὁ Πέτρος ἐρωτηθείς, εἰ φιλεῖ καὶ ἀγαπᾷ, ὁμολογεῖ μετὰ παρρησίας λέγων Σὺ οἶδας, κύριε, ὅτι φιλῶ σε, οὕτως οἱ λοιποὶ ἀπόστολοι, οὕτως ὁ Παῦλος ὁ πρὶν διώκτης καὶ ἀγαπήσας, ὃν μὴ ἑώρακεν (οὐχ ἑώρα v), Χριστὸν ἔγραφε λέγων Ἡρμοσάμην ὑμᾶς παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ, οὕτως ἡ νῦν ἐκκλησία Cv 9 ἐφίλει ante 8 τὸν coll ΛΥ τὴν alt ante παρθένον coll C (eras C^2) 10 ὃς: ὡς P οὕτως ὁ v 11 στόμα pr om v γενομένης C τῷ θεῷ $E R^a$C (corr C^2) 12 καθὼς om T ἔτι: ὅτι PCv 13 ante τοιούτων eras 5 vel 6 litt C^2 ἐγένετο v (τοσ)αύτας ex corr Θ τοσαύτης Υ

ὡς μήπω τεθεαμένος ἰδεῖν ἀξιῶν τὸν ποθούμενον, οὕτως οἱ λοιποὶ πάντες, οἷς ὁ θεῖος πόθος διὰ βάθους ἐνέκειτο, οὐδαμοῦ τῆς ἐπιθυμίας ἵσταντο πᾶν τὸ θεόθεν αὐτοῖς εἰς ἀπόλαυσιν τοῦ ποθουμένου γινόμενον ὕλην καὶ ὑπέκκαυμα τῆς σφοδροτέρας ἐπιθυμίας ποιούμενοι. ὥσπερ δὴ καὶ νῦν ἡ τῷ θεῷ συναπτομένη ψυχὴ ἀκορέστως ἔχει τῆς ἀπολαύσεως, ὅσῳ δαψιλέστερον ἐμφορεῖται τοῦ κάλλους, τοσούτῳ σφοδρότερον τοῖς πόθοις ἀκμάζουσα. ἐπειδὴ γὰρ τὰ ῥήματα τοῦ νυμφίου πνεῦμά ἐστι καὶ ζωή ἐστι, πᾶς δὲ ὁ τῷ πνεύματι κολλώμενος πνεῦμα γίνεται καὶ ὁ τῇ ζωῇ συναπτόμενος ἀπὸ θανάτου εἰς ζωὴν μεταβαίνει κατὰ τὴν τοῦ κυρίου φωνήν, διὰ τοῦτο ποθεῖ προσεγγίσαι [780 M.] τῇ πηγῇ τῆς πνευματικῆς ζωῆς ἡ παρθένος ψυχή. ἡ δὲ πηγή ἐστι τοῦ νυμφίου τὸ στόμα, ὅθεν τὰ ῥήματα τῆς αἰωνίου ζωῆς ἀναβρύοντα πληροῖ τὸ στόμα τὸ ἐφελκόμενον, καθὼς ἐποίει ὁ προφήτης διὰ τοῦ στόματος ἕλκων τὸ πνεῦμα. ἐπειδὴ τοίνυν χρὴ προσθεῖναι τὸ στόμα τῷ στόματι τὸν ἐκ τῆς πηγῆς ποτὸν ἐφελκόμενον, πηγὴ δὲ ὁ κύριος ὁ εἰπὼν Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω, διὰ τοῦτο ἡ ψυχὴ ἡ διψῶσα προσαγαγεῖν τὸ ἑαυτῆς στόμα τῷ τὴν ζωὴν πηγάζοντι

4 cf Xenophon Conv IV, 25 6 cf Xenophon Conv VIII, 15 8-9 Joh 6, 63 9 cf I Cor 6, 17 10-11 cf Joh 5, 24 12 cf Joh 4, 14 13 cf Joh 6, 68 15 cf Ps 118, 131; cf Origen Comm I p 91, 27 17 Joh 7, 37

ER^a ΛYSΘ Σ PT C Syr 1 μήπω: μή S(add πω pr ut vid m)Θ μήπω τεθεαμένος corr in μήποτε θεάμενος C^2 μήποτε θεασάμενος ΣP 4 γενόμενον E(corr E^2) 5 θείῳ ΛY προσαπτομένη S(litt πρ et πτο vix legi possunt) 7 τοῦ κάλλους: τῆς ἀπολαύσεως Cv τοσοῦτον ΛY v 8 ἐστι om v 9 ἐστι PTC v Syr: om cett κολλώμενος ante τῷ coll T 10 post εἰς add τὴν SΘΣPT v 11 κυρίου: νυμφίου Syr 11-12 post προσεγγίσαι add τῇ ψυχῇ E(exp E^2)Λ(eras $Λ^2$)YC(eras C^2) add τὴν ψυχὴν P v 12 τῇ πνευματικῇ πηγῇ τῆς ζωῆς Syr τὴν πηγὴν EC(corr E^2C^2) ἡ παρθένος ψυχή om Syr παρθενικὴ Θ δὲ om C 13 ἐστὶ post νυμφίου coll P 14 τὸ στόμα τὸ: τῷ στόματι Y τὸ alt om YC 16 προθεῖναι ΣT(ex corr)C(-θῆν-) τὸ στόμα om PC τῷ στόματι ΣC(corr τὸ στόμα C^2) Syr (add τῆς πηγῆς): τῷ ὕδατι cett v τὸν: τὸ Σ 17 ὁ alt om ΛYSΘ 18 ἡ ψυχὴ ἡ διψῶσα ER^a Syr: ἡ διψῶσα ψυχὴ cett ἡ διψῶσα om v 19 προσάγειν ΛYSΘ προσάγει Syr (om 33, 1 βούλεται) αὑτῆςE αὑτῆςR^aT

στόματι βούλεται λέγουσα Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. καὶ ὁ πᾶσι τὴν ζωὴν βρύων καὶ πάντας σωθῆναι θέλων οὐδένα βούλεται τῶν σῳζομένων τοῦ τοιούτου φιλήματος εἶναι ἀμέτοχον· καθάρσιον γάρ ἐστι ῥύπου παντὸς τοῦτο τὸ φίλημα. διό μοι δοκεῖ τῷ λεπρῷ Σίμωνι τὸ τοιοῦτον ὀνειδιστικῶς προφέρειν ὁ κύριος, ὅτι Φίλημά μοι οὐκ ἔδωκας. ἦ γὰρ ἂν ἐκαθαρίσθης τοῦ πάθους τῷ στόματι σπάσας τὴν καθαρότητα. ἀλλ' ἐκεῖνος μὲν εἰκότως ἀνέραστος ἦν ὑπερσαρκήσας διὰ τῆς νόσου καὶ πρὸς τὴν θείαν ἐπιθυμίαν μένων ὑπὸ τοῦ πάθους ἀκίνητος, ἡ δὲ κεκαθαρμένη ψυχὴ μηδεμιᾶς σαρκώδους λέπρας ἐπιπροσθούσης βλέπει τὸν τῶν ἀγαθῶν θησαυρόν. ὄνομα δέ ἐστι τῷ θησαυρῷ ἡ καρδία, ἀφ' ἧς ἐστι τοῖς μαζοῖς ἡ χορηγία τοῦ θείου γάλακτος, ᾧ τρέφεται ἡ ψυχὴ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως ἐφελκομένη τὴν χάριν. διὰ τοῦτό φησιν ὅτι Ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον, ἐκ τῆς τοπικῆς θέσεως διὰ τῶν μαζῶν τὴν καρδίαν ὑποσημαίνουσα. πάντως δὲ καρδίαν μὲν τὴν κεκρυμμένην τε καὶ ἀπόρρητον τῆς θεότητος δύναμιν νοῶν τις οὐχ ἁμαρτήσεται. μαζοὺς δὲ τὰς ἀγαθὰς τῆς θείας δυνάμεως ὑπὲρ ἡμῶν ἐνεργείας εἰκότως ἄν τις ὑπονοήσειε, δι' ὧν τιθηνεῖται τὴν ἑκάστου ζωὴν ὁ θεὸς κατάλληλον ἑκάστῳ τῶν δεχομένων τὴν τροφὴν χαριζόμενος.

1 Cant 1, 2 2-3 cf I Tim 2, 4 5-6 Luc 7, 45; cf Matth 26, 6 (λεπρῷ) 11-12 cf Luc 6, 45; cf Col 2, 3; cf Origen Comm I p 93, 13-15; 25 13 cf I Petr 2, 2; cf I Cor 3, 2; Hebr 5, 12 13-14 cf Origen Comm I p 102, 8-10

ER^a ΛYSΘ Σ PT C Syr 1 με om C post ἀπὸ add τῶν v 3 τοῦ om Σ 3-4 τοιοῦτο φίλημα Σ(corr τοιούτου $Σ^2$) 5 τοῦτο τὸ: τὸ τοιοῦτον S μοι corr in ras C^2(eras εὖ ?) inter colum adscr εὖ E^2 λεπρῷ: Φαρισαίῳ Syr 6 προσφέρειν ΛYPC 7 ἦ: ἣ YΘ εἰ PC(corr C^2) ἐκαθαρίσθη v 8 εἰκότως om P ἀπέραστος C (corr C^2) 8-9 ὑπερσαρκίσας ΛYP 9 καὶ om v θείαν: οἰκείαν C(corr τῆς ἁγείας C^2)v de Syr non liquet 10 ἀκίνητος: ἀκένωτος v μιᾶς Θ 11 λέπρας: ἐπιθυμίας Syr τῶν ἀγαθῶν: ἀγαθὸν ER^a θησαυρῶν Σ (corr pr m) 12 post καρδία add καὶ ὁ προφήτης καθαρὰν κτισθῆναι καρδίαν παρεκάλει Cv, cf Ps 50,12 15 post ἀγαθοὶ add οἱ PCv μασθοί ΣCv 16 τῇ καρδίᾳ C(corr C^2) δὲ om P 17 μὲν om ER^a τε om Σ 18 νοῶν τις: νοῶν τος Λ(corr $Λ^2$)Y 21 super τροφὴν scr ζωὴν P

Μανθάνομεν δέ τι κατὰ πάροδον καὶ ἕτερον δόγμα διὰ τῆς τοῦ βιβλίου τούτου φιλοσοφίας, ὅτι διπλῆ τίς ἐστιν ἐν ἡμῖν ἡ αἴσθησις, ἡ μὲν σωματικὴ ἡ δὲ θειοτέρα, καθώς φησί που τῆς Παροιμίας ὁ λόγος ὅτι αἴσθησιν θείαν εὑρήσεις· ἀναλογία γάρ τίς ἐστιν ἐν τοῖς ψυχικοῖς ἐνεργήμασι πρὸς τὰ τοῦ σώματος αἰσθητήρια. καὶ τοῦτο ἐκ τῶν παρόντων <ῥημάτων> μανθάνομεν· ὁ μὲν γὰρ οἶνός τε καὶ τὸ γάλα τῇ γεύσει κρίνεται, νοητῶν δὲ ὄντων ἐκείνων νοητὴ πάντως καὶ ἡ ἀντιληπτικὴ τούτων τῆς ψυχῆς ἐστι δύναμις. τὸ δὲ φίλημα διὰ τῆς ἁπτικῆς αἰσθήσεως ἐνεργεῖται· ἐφάπτεται γὰρ ἀλλήλων τὰ χείλη ἐν τῷ φιλήματι. ἔστι δέ τις καὶ ἁφὴ τῆς ψυχῆς ἡ ἁπτομένη τοῦ λόγου διά τινος ἀσωμάτου καὶ νοητῆς ἐπαφήσεως ἐνεργουμένη, καθὼς εἶπεν ὁ εἰπὼν ὅτι Αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. ὡσαύτως δὲ καὶ ἡ τῶν θείων μύρων ὀσμὴ οὐ μυκτήρων ἐστὶν ὀσμή, ἀλλά τινος νοητῆς καὶ ἀΰλου δυνάμεως τῇ τοῦ πνεύματος ὁλκῇ τὴν τοῦ Χριστοῦ συνεφελκομένης εὐωδίαν. οὕτω γὰρ ἡ ἀκολουθία τῆς παρθενικῆς εὐχῆς ἐν προοιμίοις ἔχει Ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον καὶ ὀσμὴ

2 sqq cf Origen Comm I p 105, 3 sqq; in Joh p 386, 23 sqq 4 cf Prov 2, 3-5; 10 14 I Joh 1, 1 17-18 cf II Cor 2, 15; Eph 5, 2; Ezech 20, 41

ER^a ΛΥSΘ Σ PT C Syr 1 περίοδον E(corr E^2)T(in marg γρ πάροδον T^2) κατὰ πάροδον om Syr 3 ἡ ante αἴσθησις om Σ Tv 4 ὅτι om P 5 ἐν om Ev ἐνεργήμασι: κινήμασι C κινήμασι καὶ ἐνεργήμασι E^2(adscr κιν. κ. in marg) R^{a}ΣvSyr 6 τῶν παρόντων: τῆς τῶν παροιμιῶν γραφῆς Syr (scil interpres de coniectura sua) 7 ῥημάτων supplevi (cf ex. gr. supra p 28, 17-20 post μανθάνομεν add λογίων τοῦ πνεύματος Cv, displicet supplementum quamvis pervetustum μὲν om Cv τὸ om v 8 post γεύσει add καὶ τῇ ὄψει Syr δὲ: τε Θ νοητικὴ C(corr C^2) 9 ἀντιλη . . πτικη (post η 2 litt eras) Σ τούτων coll post ἐστι Σ ἐστι om P 10 (ἐφάπτ)εται corr in ras C^2 γὰρ: δὲ T om P 11 ἀλλήλων coll post χείλη P ἐν τῷ φιλήματι om Syr τῆς om T 12 ἡ om ER^{a}ΛΥ 13 ἐπαφῆς E^2(exp -εως) R^{a}ΣCv ἐνεργουμένης Y ὅτι om PC 14 inter col adscr ἐν E^2(ad ἐψηλάφησαν ?) ζωῆς: ἀληθείας ER^{a}ΛΥSΘP(sscr ζωῆς)T, fort recte 15 ὀδμὴ ER^a 16 ὀσμή Cv Syr: ἡδονὴ cett scil corruptum ex ('ECTI) ΝΟΔΜΗ (sic!) νοητῆς τινὸς Σ 17 συνεφελκομένη E^2(eras -ς) R^a(corr R^{a2}) ΣTC 18-19 ἐν προοιμίοις om Syr 19 ἀγαθοὶ om E (adscr in marg E^2) μασθοί Σv

μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. δηλοῦται δὲ διὰ τούτων,
781 M. καθὼς ἡμεῖς ὑπειλήφαμεν, οὐ μικρόν τι οὐδὲ εὐκαταφρόνητον νόημα· τάχα γὰρ ἐν τῷ ὑπερθεῖναι διὰ συγκρίσεως τὸ ἐκ τῶν θείων μαστῶν γάλα τῆς ἐκ τοῦ οἴνου γινομένης ἡμῖν εὐφροσύνης μανθάνομεν διὰ τῶν εἰρημένων, ὅτι πᾶσα ἀνθρωπίνη σοφία καὶ ἐπιστήμη τῶν ὄντων καὶ πᾶσα δύναμις θεωρητικὴ καὶ καταληπτικὴ φαντασία ἀδυνάτως ἔχει παρισωθῆναι διὰ συγκρίσεως τῇ ἁπλουστέρᾳ τῶν θείων μαθημάτων τροφῇ. ἐκ γὰρ τῶν μαστῶν τὸ γάλα φέρεται· νηπίων δέ ἐστι τὸ γάλα τροφή. ὁ δὲ οἶνος δι' εὐτονίαν τε καὶ θερμότητα τῶν τελειοτέρων ἀπόλαυσις γίνεται. ἀλλ' ὅμως τὸ ἐν τῇ ἔξω σοφίᾳ τέλειον τῆς νηπιώδους τοῦ θείου λόγου διδασκαλίας ἐστὶ μικρότερον. διὰ τοῦτο κρείττους οἱ θεῖοι μαστοὶ τοῦ ἀνθρωπίνου οἴνου. ἡ δὲ ὀσμὴ τῶν θείων μύρων καλλίων ἐστὶ πάσης τῆς ἐν τοῖς ἀρώμασιν εὐωδίας. ὅπερ τοιοῦτόν μοι δοκεῖ νοῦν ὑποδεικνύειν· ἀρώματα νοοῦμεν τὰς ἀρετὰς οἷον σοφίαν σωφροσύνην δικαιοσύνην ἀνδρείαν φρόνησιν καὶ τὰ τοιαῦτα, οἷς προσχρωννύμενος κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ προαίρεσιν ἕκαστος ἄλλος ἄλλως ἐν εὐωδίᾳ γινόμεθα· ὁ

6 σοφία καὶ ἐπιστήμη: cf ex. gr. Aristoteles Met Λ 10 (1075 b 20) 7 spectat ad Stoicos 8 cf I Cor 1, 25 16 sqq ἀρώματα-ἀρετάς: cf Xenophon Conv II, 4; cf Origen Comm I p 100, 17 sqq

ER^a ΛΥSΘ Σ PT C Syr 1 σου om R^a δὲ: δὴ ER^a 3 super (ὑπ)ερ(θῆναι) sscr τε C^2 τὸ: τῷ C(corr C^2) 4 μασθῶν Pv ἐκ om P γενομένης v 5 μανθάνωμεν ΣC(corr C^2) ante διὰ eras 1 vel 2 litt E ἀνθρωπικὴ P 6 post σοφία add τε Σ ante ἐπιστήμη add πᾶσα Syr 7 κατανοητικὴ v 8 θείων: οἰκείων R^a E(ut vid, corr E^2) 9 μασθῶν ΣPv ἐκφέρεται P 10 ἐστι om Θ τε om RE^a 11 γίνεται ἀπόλαυσις Σ post τὸ 1 litt eras E 13 add καὶ ante διὰ Syr κρείττονες Θ μασθοὶ Pv 14 ἀνθρωπίνου om P τοῦ θείου μύρου ER^a θείων om P 15 πᾶσι T τῆς: τοῖς R^a τοῖς om v ὅπερ: ὅθεν Cv τοιοῦτον coll post 16 δοκεῖ ΣCv μοι om v 16 ante νοῦν add τὸν v νοῦν ex corr E ἀποδεικνύειν E(corr E^2)v 17 δικαιοσύνην om Cv φρόνησιν coll ante σωφροσύνην P 18 προσχρωνύμενος C προσχωννύμενος S προχρωννύμενος E(corr E^2) προχωννύμενος Λ(ο pr in ras)Y 19 ἄλλως: ἄλλω ΛΥ ἄλλως ἄλλος P ἐν om ΛΥSΘ

μὲν ἐκ σωφροσύνης ἢ σοφίας, ὁ δὲ ἐκ δικαιοσύνης ἢ ἀνδρείας ἢ ἄλλου τινὸς τῶν κατ᾽ ἀρετὴν νοουμένων, ὁ δὲ τυχὸν καὶ ἐκ πάντων τῶν τοιούτων ἀρωμάτων συγκεκραμένην ἔχει ἐν ἑαυτῷ τὴν εὐωδίαν. ἀλλ᾽ ὅμως ταῦτα πάντα οὐκ ἂν εἰς σύγκρισιν ἔλθοι τῆς παντελοῦς ἀρετῆς ἐκείνης, ἣν τοὺς οὐρανοὺς διειληφέναι φησὶν Ἀμβακοὺμ ὁ προφήτης εἰπὼν Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, ἥτις ἐστὶν αὐτοσοφία καὶ αὐτοδικαιοσύνη καὶ αὐτοαλήθεια καὶ τὰ καθ᾽ ἕκαστον πάντα. τῶν οὖν σῶν μύρων ἡ ὀσμή, φησίν, ἀπαράθετον ἔχει τὴν χάριν πρὸς ταῦτα τὰ ἀρώματα τὰ παρ᾽ ἡμῶν γινωσκόμενα.

Πάλιν ἐν τοῖς ἐφεξῆς ὑψηλοτέρας ἅπτεται φιλοσοφίας ἡ ψυχή, ἡ νύμφη, τὸ ἀπρόσιτόν τε καὶ ἀχώρητον λογισμοῖς ἀνθρωπίνοις τῆς θείας δυνάμεως ἐνδεικνυμένη, ἐν οἷς φησι Μύρον ἐκκενωθὲν ὄνομά σοι· τοιοῦτον γάρ τι δοκεῖ μοι διὰ τοῦ λόγου τούτου σημαίνεσθαι, ὅτι οὐκ ἔστιν ὀνοματικῇ σημασίᾳ περιληφθῆναι δι᾽ ἀκριβείας τὴν ἀόριστον φύσιν· ἀλλὰ πᾶσα νοημάτων δύναμις καὶ πᾶσα ῥημάτων τε καὶ ὀνομάτων ἔμφασις, κἂν τι μέγα καὶ θεοπρεπὲς ἔχειν δόξῃ, αὐτοῦ τοῦ ὄντος ἐφάψασθαι φύσιν οὐκ ἔχει· ἀλλ᾽ ὥσπερ ἐξ

4-5 cf ex. gr. Vita Moys p 301 A (Migne) 6-7 Hab 3,3 15 Cant 1,3 16 sqq cf Origen Comm I p 103, 8 sqq 17 cf Origen Comm I p 108, 1 18-20 cf Plato Resp 508 e

ER^a ΛYSΘ Σ PT C Syr 1-2 ἢ ter: καὶ ter Syr 2 τυχὼν ΘC (corr C^2) 3 συγκεκραμμένην T συγκεκραμένης Θ (corr $Θ^1$) συγκεχυμένην P ἐν om C 4 οὐκ ἂν εἰς: κἂν εἰς C εἰ πρὸς T εἰς: εἰ R^a 5 ἣν: ἧν Y (corr Y^2) Σ 6 ἀββακοὺμ ΣSP(ἀβ.)Tv ὁ προφήτης ἀμβακοὺμ ΛYS(ἀββ.)Θ 7 αὐτοῦ om P ἥτις: ὅς Syr 8 καὶ pr om ΛY καὶ αὐτοαλήθεια om et post πάντα (9) add ἐν ἀληθείᾳ Syr 9 οὖν σῶν: οὐσῶν T οὐρανίων Cv 10 ἀσώματα Λ (corr $Λ^2$) YΘ ἡμῖν YSΘ 12 ἑξῆς ΛYSΘ σοφίας P 13 post ἀχώρητον eras 6 litt C 15 σου CvSyrLXX (plurimi codd) τοιοῦτο T τοῦτο C τι: τοι v μοι δοκεῖ T μοι: μη R^a 16 ὀνομαστικὴ ΛYC (-ῇ)v 16-17 ὀνομαστικῆς σημασίας T 'nomine quodam' Syr (id est ὀνοματικῇ σημ.) 17 ἀόριστον: ἀμέτρητον C 18 δύναμις — ῥημάτων om Σ 19 ὀνομάτων: νοημάτων YΛ (ut vid, corr $Λ^2$) v 20 ante ὄντως (sic!) add ῥήματος v ὄντως R^aΘ C (corr C^2)

ἰχνῶν τινων καὶ ἐναυσμάτων ὁ λόγος ἡμῶν τοῦ ἀδήλου καταστοχάζεται διὰ τῶν καταλαμβανομένων εἰκάζων ἔκ τινος ἀναλογίας τὸ ἀκατάληπτον. ὅ τι γὰρ ἂν ἐπινοήσωμεν, φησίν, ὄνομα γνωριστικὸν τοῦ τῆς θεότητος μύρου, οὐκ αὐτὸ τὸ μύρον διὰ τῆς ἐμφάσεως τῶν λεγομένων σημαίνομεν, ἀλλὰ βραχύ τι λείψανον ἀτμοῦ τῆς θείας εὐωδίας τοῖς θεολογικοῖς ὀνόμασιν ἐνδεικνύμεθα. ὡς ἐπὶ τῶν ἀγγείων, ὧν ἂν ἐκκενωθῇ τὸ μύρον, αὐτὸ μὲν τῇ ἑαυτοῦ φύσει ἀγνοεῖται τὸ μύρον τὸ ἐκκενωθὲν τῶν ἀγγείων, οἷόν ἐστιν· ἐξ ἀμυδρᾶς δέ τινος τῆς ὑπολειφθείσης ἐκ τῶν ἀτμῶν τῷ ἀγγείῳ ποιότη-
784 M. τος στοχασμόν τινα περὶ τοῦ ἐκκενωθέντος μύρου ποιούμεθα. τοῦτο οὖν ἐστιν ὃ διὰ τῶν εἰρημένων μανθάνομεν, ὅτι αὐτὸ μὲν τὸ τῆς θεότητος μύρον, ὅ τί ποτε κατ᾽ οὐσίαν ἐστίν, ὑπὲρ πᾶν ἐστιν ὄνομά τε καὶ νόημα· τὰ δὲ τῷ παντὶ ἐνθεωρούμενα θαύματα τῶν θεολογικῶν ὀνομάτων τὴν ὕλην δίδωσι, δι᾽ ὧν σοφόν, δυνατόν, ἀγαθόν, ἅγιον, μακάριόν τε καὶ ἀΐδιον καὶ κριτὴν καὶ σωτῆρα καὶ τὰ τοιαῦτα κατονομάζομεν· ἅπερ πάντα ποιότητά τινα βραχεῖαν τοῦ θείου μύρου ἐνδεί-

1-2 ad dictum Anaxogorae ὄψις τῶν ἀδήλων τὰ φαινόμενα (frgt 21 a Diels) et, qui illum secuti sunt, Stoicorum magistros spectat, cf ex.gr. Sext Emp VII 140 et 374; Jambl Protrept 116, 21 (Pistelli); cf Origen Comm III p 208, 5-12; 212, 1-3

ER^a ΛYSΘ Σ PT C Syr 1 ἰχνῶν: ἐχθρῶν YΛ (ut vid, corr $Λ^2$) ἐναυσμάτων ER^av: ἑαυσμάτων Σ (corr $Σ^2$) ἐναυτομάτων YΛ (corr $Λ^2$) ἐνδυμάτων SΘ ἐνηδυσμάτων T ἀπαυγασμάτων C^2 (sscr γ) αἰνιγμάτων P ἀδήλου: λόγου v 2 διὰ ex corr Θ 4 ὄνομά φησιν T γνωστικὸν P post τῆς add σῆς E (eras) YΛ (eras) TCv 6 καὶ ἀτμὸν Syr (an errore scribae?) 7 (ὡ)ς ex corr E^2 ἐπὶ om Syr (errore scribae ut vid) ἀγγίων Σ ἁγίων C (corr C^2) 8 ἑαυτοῦ: αὐτοῦ C 9 τὸ om P τῶ ἀγγείω Λ (eras bis ν) ἀγγίων Σ ἁγίων C (corr C^2) τῶν ἀγγείων om Syr οἵών Y 10 τῷ ἀγγείῳ ER^aPTv Syr: τῶν ἀγγείων cett (C ἁγίων, corr C^2 ἀγγείων) 12 μανθάνωμεν C (corr C^2) 12-13 αὐτὴ μὲν ἡ θεότης (om τὸ μύρον) Syr 14 ὄνομα ἔστι C τε om ER^a C δὲ: δ᾽ἐν C θεωρούμενα C 15 θαύματι P τὴν om SΘ 16 et δυνατόν et τε καὶ om Syr ἀγαθόν om R^a 17 et καὶ pr et alt om et post σωτῆρα add ζωοποιόν Syr κατονομάζομεν: αὐτὸν (sc Θεὸν) ὀνομάζομεν Syr 18 ποιότητά τινα: ἀτμὸν (vel πνοὴν) Syr (in paraphrasi) βραχεῖαν om Θ

κνυται, ἣν πᾶσα ἡ κτίσις διὰ τῶν ἐνθεωρουμένων θαυμάτων σκεύους τινὸς μυρεψικοῦ δίκην ἐν ἑαυτῇ ἀπεμάξατο. Διὰ τοῦτο, φησί, νεάνιδες ἠγάπησάν σε, εἵλκυσάν σε. εἶπε τὴν αἰτίαν τῆς ἐπαινετῆς ἐπιθυμίας καὶ τῆς ἀγαπητικῆς διαθέσεως. τίς γὰρ τοῦ τοιούτου κάλλους ἀνέραστος γίνεται, εἰ μόνον ὀφθαλμὸν ἔχοι τὸν ἐνατενίσαι τῇ ὥρᾳ δυνάμενον, οὗ πολὺ μὲν τὸ καταλαμβανόμενον κάλλος, ἀπειροπλάσιον δὲ τὸ διὰ τοῦ φαινομένου στοχαστικῶς εἰκαζόμενον; ἀλλ' ὥσπερ ὁ ὑλικὸς ἔρως τῶν ἔτι νηπιαζόντων οὐχ ἅπτεται (οὐ γὰρ χωρεῖ τὸ πάθος ἡ νηπιότης), οὐδὲ μὴν τοὺς ἐν ἐσχάτῳ γήρᾳ πεπονηκότας ἐν τοῖς τοιούτοις ἔστιν ἰδεῖν, οὕτω καὶ ἐπὶ τοῦ θείου κάλλους ὅ τε νήπιος ἔτι καὶ κλυδωνιζόμενος καὶ περιφερόμενος παντὶ ἀνέμῳ τῆς διδασκαλίας καὶ ὁ παλαιὸς καὶ γηράσας καὶ τῷ ἀφανισμῷ προσεγγίσας ἀκίνητοι πρὸς τὴν ἐπιθυμίαν ταύτην εὑρίσκονται· οὐ γὰρ ἅπτεται τῶν τοιούτων τὸ ἀόρατον κάλλος, μόνη δὲ ἡ τοιαύτη ψυχὴ ἡ διαβᾶσα μὲν τὴν νηπιώδη κατάστασιν καὶ διὰ τῆς πνευματικῆς ἡλικίας ἀκμάσασα, μὴ προσλαβοῦσα δὲ σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἡ μήτε ὑπὸ νηπιότητος ἀναισθητοῦσα μήτε ὑπὸ παλαιότητος ἀδρανοῦσα, ἣν νεᾶνιν ὀνομάζει ὁ λόγος, αὕτη πείθεται τῇ μεγάλῃ καὶ πρώτῃ ἐντολῇ τοῦ νόμου ἐξ ὅλης καρδίας τε καὶ δυνάμεως ἀγαπῶσα τὸ κάλλος ἐκεῖνο, οὗ ὑπογραφὴν καὶ ὑπόδειγμα καὶ ἑρμηνείαν οὐχ

2-3 Cant 1, 3   12-13 cf Eph 4, 14   14 cf Hebr 8, 13   18-19 cf Eph 5, 27; cf Origen Comm I p 101, 21 sqq   21-22 cf Matth 22, 37/8; Deut 6, 5

ER^a ΛYSΘ Σ PT C Syr   1 ἡ om P   θεωρουμένων ER^a 2 ἑαυτῷ C   αὐτῇ ἀνεμάξατο P   3 εἵλκυσάν σε om P   5 διαθέσεως om E(add E^2)   τοῦ om ER^{a}SΘTv   ἀνέραστος γίνεται om P   6 ἔχει R^a(corr R^{a2})ΘC (corr C^2)T   δυνάμενον τῇ ὥρα Σ   7 οὐ v   8 διὰ: δὴ YΛ(corr Λ^2)   9 ὁ om v   ἔτι: ἤδη E(corr E^2)   10 τοῦτο τὸ Syr   οὐδὲ Jaeger: οὔτε codd v   μὴν corr e μὲν S   τοὺς: τῷ E(corr E^2)   11 γήρει P   ἐν — ἰδεῖν om T   12 καὶ pr om T   ὅ τε: ὅτι R^a ἔτι: ἔστι E(corr E^2)R^a καὶ alt om ΛY   14 τῷ om C   17 ἡ om ΛYSΘ   μὲν om Cv   18 δὲ om v   σπίλην R^a 19 post τῶν 3 vel 4 litt eras C   ἡ om C   20 ἣν: ὃν Y   21 αὐτὴ P   πρώτῃ καὶ μεγάλῃ ER^a 22 καί: αἱ Y   post τὸ sscr τοῦ νυμφίου Λ^2

εὑρίσκει ἡ ἀνθρωπίνη διάνοια. αἱ τοιαῦται τοίνυν νεάνιδες αἱ διὰ τῶν ἀρετῶν αὐξηθεῖσαι καὶ καθ' ὥραν ἤδη τῶν μυστηρίων τοῦ θείου θαλάμου γενόμεναι ἀγαπῶσι τοῦ νυμφίου τὸ κάλλος καὶ διὰ τῆς ἀγάπης πρὸς ἑαυτὰς ἐπιστρέφουσι. τοιοῦτος γὰρ ὁ νυμφίος, ὡς ἀντιδιδόναι τοῖς ἀγαπῶσι τὸν πόθον, ὁ οὕτως εἰπὼν ἐκ προσώπου τῆς σοφίας ὅτι Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· καὶ ὅτι Μεριῶ τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν (αὐτὸς δέ ἐστιν ἡ ὕπαρξις) καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν. ἕλκουσι τοίνυν αἱ ψυχαὶ πρὸς ἑαυτὰς τοῦ ἀφθάρτου νυμφίου τὸν πόθον ὀπίσω, καθὼς γέγραπται, κυρίου τοῦ θεοῦ πορευόμεναι. τῆς δὲ ἀγάπης αὐτῶν αἰτία ἡ τοῦ μύρου εὐωδία γίνεται, πρὸς ἣν ἀεὶ τρέχουσαι τοῖς ἔμπροσθεν ἐπεκτείνονται τοῦ κατόπιν λήθην ποιούμεναι. Ὀπίσω γάρ σου, φησίν, εἰς ὀσμὴν μύρων σου δραμούμεθα. ἀλλὰ αἱ μὲν οὔπω τῆς ἀρετῆς τὸ τέλειον ἔχουσαι καὶ καθ' ἡλικίαν ἔτι νεάζουσαι δραμεῖσθαι πρὸς τὸν σκοπόν, ὃν ὑποδείκνυσιν ἡ ὀσμὴ τῶν μύρων, κατεπαγγέλλονται (λέγουσι γὰρ ὅτι Εἰς ὀσμὴν μύρων
785 M. σου δραμούμεθα), ἡ δὲ τελειοτέρα ψυχὴ σφοδρότερον ἐπεκταθεῖσα τοῖς ἔμπροσθεν ἤδη τυγχάνει τοῦ σκοποῦ, δι' ὃν ὁ δρόμος ἀνύεται, καὶ τῶν ἐν τοῖς ταμείοις θησαυρῶν

1 sqq cf Origen Comm I p 102, 29 sqq   7 Prov 8, 17   7-9 Prov 8, 21   10-11 Osee 11, 10   13-14 cf Phil 3, 13   13 sqq cf Origen Comm I p 103, 12 sqq   14 Cant 1, 4   17 cf Origen Comm I p 106, 4/5   21 cf Origen Comm I p 108, 18; 109, 23/4; cf Col 2, 3

ER^a ΛYSΘ Σ PT C Syr   2 αἱ om ER^a v   διὰ om C(sscr C^2)   ἀρετῶν: ἐρώτων T   καθ' ὥραν: ἄξιαι P   3 ante μυστηρίων add θείων v   θαλάμου: ὀφθαλμοῦ YΛ(ut vid, corr Λ^2)SΘ   post θαλάμου add ἐντὸς ΣCvSyr(post 3 μυστ. add τῶν ἐντὸς)   4-5 post ἐπιστρέφουσιν add αὐτόν Syr   8 ἡ om ΛYST(sscr)   9 ἕλκουσαι Y   αἱ ψυχαὶ coll post 10 ἑαυτὰς ER^a 10 post ἑαυτὰς add τὸν ἔρωτα T   ἀφθάρτου om T   ante τὸν add καὶ T   11 πορευόμεναι: σου πορεύσῃ E(corr E^2)   12 αὐτοῦ ER^a post μύρου add αὐτοῦ P   γίνεται εὐωδία Σ   14 σου γὰρ Σ   15 μύρου ΛY   δραμοῦμεν LXX   οὔτω P   15-16 τὸ τέλειον coll ante τῆς ER^a (τέλεος)   16 καί: αἱ ΛY   ἔτι: ἤδη E (corr E^2)   17 σκοπόν: καρπὸν P   ὃν ὑποδείκνυσιν: ὅπου δείκνυσιν ER^a 20 ἐπεκτανθεῖσα YC(eras ν)   21 τῶν om P   ταμιείοις Σ

ἀξιοῦται. φησὶ γὰρ ὅτι Εἰσήγαγέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ. ἡ γὰρ ἄκροις χείλεσι τοῦ ἀγαθοῦ ψαῦσαι ποθήσασα καὶ τοσοῦτον μόνον ἐφαψαμένη τοῦ κάλλους, ὅσον ἡ τῆς εὐχῆς ἐνδείκνυται δύναμις (ηὔξατο δὲ οἷόν τινος φιλήματος ἀξιωθῆναι διὰ τῆς τοῦ λόγου ἐλλάμψεως), αὕτη δι' ὧν ἔτυχε καὶ ἐπὶ τὸ ἐνδότερον τῶν ἀπορρήτων τῷ λογισμῷ διαδυεῖσα βοᾷ τὸ μὴ μόνον ἐν προθύροις τῶν ἀγαθῶν εἶναι τὸν δρόμον, ἀλλὰ τῇ ἀπαρχῇ τοῦ πνεύματος, οὗ διὰ τῆς πρώτης χάριτος οἷον διά τινος φιλήματος ἠξιώθη, διερευνᾶν τοῦ θεοῦ τὰ βάθη καὶ ἐν τοῖς ἀδύτοις γενομένη τοῦ παραδείσου κατὰ τὸν μέγαν Παῦλον ὁρᾶν τέ φησι τὰ ἀθέατα καὶ τῶν ἀλαλήτων ἐπακροᾶσθαι ῥημάτων.

Ἡ δὲ ἐφεξῆς ῥῆσις τὴν ἐκκλησιαστικὴν οἰκονομίαν ἐκκαλύπτει τῷ λόγῳ. οἱ γὰρ πρῶτοι μαθητευθέντες τῇ χάριτι καὶ αὐτόπται τοῦ λόγου γενόμενοι οὐκ ἐν ἑαυτοῖς τὸ ἀγαθὸν περιώρισαν, ἀλλὰ καὶ τοῖς μετ' ἐκείνους ἐκ διαδόσεως τὴν αὐτὴν ἐνεποίησαν χάριν. διὰ τοῦτο πρὸς τὴν νύμφην φασὶν αἱ νεάνιδες τὴν πρώτην διὰ τοῦ κατὰ στόμα γενέσθαι τοῦ λόγου τῶν ἀγαθῶν πληρωθεῖσαν καὶ τῶν κεκρυμμένων μυστηρίων ἀξιωθεῖσαν ὅτι Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί (κοινὴ γὰρ ἡμῶν ἐστι χαρὰ

4-5 cf Cant 1, 2   7 cf Prov 8, 34   8 cf Rom 8, 23   9-10 cf I Cor 2, 10   10-12 cf II Cor 12, 4; cf Origen Comm I p 109, 8 sqq   15 cf Luc 1, 2

ER^a ΛYSΘ Σ PT C Syr   1 ἀξιοῦνται C(eras ν)   εἰσήνεγκέ ΣCv LXX(text rec)   τὸ om v   2 ταμιεῖον ΣΘ   ἡ in ras C^2 post ἄκροις add τοῖς T   χείλεσιν coll post ἀγαθοῦ ER^a τοῦ om v   4 εὐχῆς: ἐσχάτης YΛ(ut vid, eras et corr ψυχῆς $Λ^2$) ψυχῆςR^a εὔξατο ER^aΛY νυξάτοΣ ὕηξατο(sic) P 6 τῷ om E(sscr E^2) τῶν ΛY   λογισμῶν E (corr E^2)ΛY   7 διαδῦσα T διαδύσα C^2(σ e corr)   τὸ om TC v   9 πρώτης om v 10 τὰ βάθη τοῦ θεοῦ ΛY   γενομένη om v   15 αὐτόπται SΘ Syr: αὐτόπται καὶ ὑπηρέται (scil de Luc 1, 2) cett v   τοῦ λόγου om v   ἐν: ἂν ΛYSΘ   16 τοῖς: τῆς Y   ἐκείνοις Σ 17 ἐποίησαν ER^aΛYSΘCv   18 post πρώτην add τὴν TE(ut vid, eras)   19 καὶ — 20 ἀξιωθεῖσαν om T   20 ἀγαλλιασόμεθα ΛYΘΣ   21 post γὰρ add καὶ ER^a ἐστὶν ἡμῶν Σ ἐστιν ἡμῖν T   ἐστι om ΛY

τὸ σὸν ἀγαλλίαμα) καὶ ὅτι ὡς σὺ ἀγαπᾷς ὑπὲρ οἶνον τοὺς μαζοὺς τοῦ λόγου, οὕτω καὶ ἡμεῖς σὲ μιμησώμεθα καὶ τοὺς σοὺς μαζούς, δι' ὧν τοὺς νηπίους ἐν Χριστῷ γάλα ποτίζεις, ὑπὲρ τὸν ἀνθρώπινον ἀγαπήσωμεν οἶνον. καί, ὡς ἄν τις ἐπὶ τὸ σαφέστερον προαγάγοι τὸ νόημα, τοιοῦτόν ἐστι τὸ λεγόμενον· ἠγάπησε τοὺς μαζοὺς τοῦ λόγου ὁ ἐπὶ τὸ στῆθος τοῦ κυρίου ἀναπεσὼν Ἰωάννης καὶ οἷόν τινα σπογγιὰν τὴν ἑαυτοῦ καρδίαν παραθεὶς τῇ πηγῇ τῆς ζωῆς καὶ πλήρης ἔκ τινος ἀρρήτου διαδόσεως τῶν ἐγκειμένων τῇ τοῦ κυρίου καρδίᾳ μυστηρίων γενόμενος καὶ ἡμῖν ἐπέχει τὴν πληρωθεῖσαν ὑπὸ τοῦ λόγου θηλὴν καὶ πλήρεις ποιεῖ τῶν ἐντεθέντων αὐτῷ παρὰ τῆς πηγῆς ἀγαθῶν κηρύσσων ἐν μεγαλοφωνίᾳ τὸν ἀεὶ ὄντα λόγον. ὅθεν εἰκότως καὶ ἡμεῖς πρὸς αὐτὸν ἐροῦμεν ὅτι Ἀγαπήσωμεν μαστούς σου ὑπὲρ οἶνον, εἴπερ δὴ τοιοῦτοι γεγόναμεν, ὡς νεάνιδες εἶναι καὶ μήτε ταῖς φρεσὶ νηπιάζειν ὑπὸ τῆς τῇ ματαιότητι συνεζευγμένης νεότητος μήτε ῥυτιδοῦσθαι δι' ἁμαρτίας ἐν παλαιότητι τῇ εἰς ἀφανισμὸν καταληγούσῃ· διὰ τοῦτο δὲ ἀγαπῶμεν τὴν τῶν σῶν

1-3 cf Origen Comm I p 111, 1 sqq ('tamquam imitatrices perfectionis eius')   3 cf I Cor 3, 1/2   6-7 cf Joh 13, 25; 21, 20 15 cf I Cor 14, 20   16 cf Eccles 11, 10   17-18 cf Eph 5, 27; Hebr 8, 13

ER^a ΛYSΘ Σ PT C Syr   1 τὸ σὸν ἀγαλλίαμα om E(add inter col E^2)   καὶ coll ante ἀγαπᾷς v   ὅτι om Syr   ὥσπερ ER^aT   2 μασθοὺς P   λόγου: νυμφίου Syr   σὲ μιμησώμεθα: ἐμιμησώμεθα Σ ἐμιμησάμεθα ΛYSΘ om Syr   καὶ alt P Syr: om cett v   τοὺς om v   3 σοὺς om C   μασθοὺς P   ante νηπίους eras 4 vel 5 litt, deinde ∼∼∼∼ Σ   (ποτί)ζεις corr in ras C^2 4 ἄνθρωπον C(corr C^2)v   ἀγαπήσομεν ΕΛYΣΘΤ ἀγαπησόμενον R^a 4-6 καί, ὡς — λόγου om Syr   5 ἐπὶ τὸ om ΛY προαγάγοι: ποιῇ ΛY   6 μαστοὺς YΛ(corr $Λ^2$) μασθοὺς P 7 καὶ om P   9 τῶν ἐγκειμένων om P   ἐγκεκρυμμένων T κυρίου: χριστοῦ R^a(ut vid, corr R^{a2})ΣCv θεοῦ Syr   10 καρδίᾳ om v   ἐπήχει Σ ὑπέχει TC^2(ex ἐπ-)   11 πλήρης ΣC (corr C^2)   ἐντευχθέντων C   12 post πηγῆς add τῆς ζωῆς E^2 (in marg)R^a ante ἀγαθῶν add τῶν CT   13 εἰκότως om P πρὸς αὐτὸν coll ante καὶ Θ   14 ἀγαπήσομεν E(corr E^2)Λ (corr $Λ^2$)Θ   μασθούς v τοὺς μασθοὺς P   15 μὴκ ἔτι Θ 16 τῇ om ΛYΣ   17 τῇ om E(sscr E^2)   τῆς et 18 καταληγούσης C T   18 ἀγαπήσωμεν Σ   τὴν in ras Σ τῇ C(corr C^2)

διδαγμάτων ἐπιρροήν, ὅτι Σὲ ἡ εὐθύτης ἠγάπησεν. οὗτος γάρ ἐστιν ὁ μαθητής, ὃν ἠγάπα ὁ Ἰησοῦς. Ἰησοῦς δέ ἐστιν ἡ εὐθύτης. κάλλιον δὲ καὶ θεοπρεπέστερον ὁ λόγος οὗτος παρὰ τὸν προφήτην Δαβὶδ ὀνομάζει τὸν κύριον· ὁ μὲν γάρ φησιν ὅτι Εὐθὺς κύριος ὁ θεός, οὗτος δὲ εὐθύτητα
788 M. ὀνομάζει, ᾧ πᾶν τὸ σκολιὸν πρὸς τὸ ὀρθὸν ἀπευθύνεται, ἀλλὰ γένοιτο καὶ ἡμῖν πᾶν τὸ σκολιὸν εἰς εὐθεῖαν καὶ τὰ τραχέα εἰς ὁδοὺς λείας χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος β'

Μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἰερουσαλήμ, (I, 5)
ὡς σκηνώματα κηδάρ, ὡς δέρρεις Σολομών.
Μὴ βλέψητέ με ὅτι ἐγώ εἰμι μεμελανωμένη, (6)
ὅτι παρέβλεψέ με ὁ ἥλιος·
υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί,
ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν·
ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα.
Ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου, (7)

2 Joh 21, 20 5 Ps 91, 16 7 cf Origen Comm I p 112, 24 7-8 Luc 3, 5 = Isai 40, 4

ER^a ΛΥSΘ Σ PT CN(inde a 10) Syr 1 δογμάτων R^aP et σε post ἠγάπησέν coll et om ἡ LXX 2 ἐστιν pr om v ἐστι alt C^2 in ras 4 προφήτην om Θ Δαβὶδ om P 4-6 τὸν κύριον — ὀνομάζει om Y 5 εὐθὴς ER^aΘC^2(ex -ὐ-)T LXX εὐθῆς Σ εὐθύτα Σ 6 πᾶν τὸ: παντὸς Y 7 γένοιτο coll post ἡμῖν ΛΥSΘ εὐθέον Θ 8 τραχεῖα E(corr E^2)Σ τραχεία PC(corr C^2) αἱ τραχεῖαι Luc 3, 5 ἡ τραχεῖα Isai 40, 4 9 post δόξα add καὶ τὸ κράτος ER^aSΣ τῶν αἰώνων om ΛΥΘPTC τῶν om Σ ἀμήν om P post ἀμήν add ἐτελειώθη λόγος δεύτερος Syr 10 λόγος β' R^a (post lemma) Λ$Y^2$$Σ^2$(in marg)N: add τοῦ αὐτοῦ εἰς τὰ λοιπά ER^a add τοῦ αὐτοῦ Γρηγορίου ἐπισκόπου Νύσης εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων Σ (et in marg sup λόγος $\overline{β}$) λόγος α' (sic) C λόγος γ' Syr ὁμιλία β' Y(δευτέρα) S τοῦ αὐτοῦ ὁμιλία β' P(in marg) β' (om λόγος vel ὁμιλία)Θ titul om T (sed post p 43, 7 ποιμνίων in marg λόγος $\overline{β}$) 11 post εἰμι add ἐγὼ Σ 12 δέρρις E(sscr ε E^2)Σ(in ras)S^2(e δέρεις), pars codd LXX σαλομών ER^a σολομῶν ΘCT(corr e ὠ) σολομῶντος P σαλωμων LXX 13 βλέψετέ ER^aΛ βλέψηταί Σ βλέπητέ P 14 παρέβλαψε TC^2(α alt e corr) 15 μητρί T 16 ἐν om Λ(sscr $Λ^2$)Y ἀμπελῶνι Λ(corr $Λ^2$)P

ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ,
μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέλαις
ἑταίρων σου.
Ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν, (8)
ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων
καὶ ποίμαινε τὰς ἐρίφους
ἐπὶ σκηνώμασι τῶν ποιμνίων.

Τῆς ἱερᾶς τοῦ μαρτυρίου σκηνῆς οὐχ ὁμότιμον ἦν τῷ ἔνδοθεν κεκρυμμένῳ κάλλει τὸ ἐκτὸς προφαινόμενον· αὐλαῖαι μὲν γὰρ ἐκ λινῶν ὑφασμάτων καὶ αἱ διὰ τῶν τριχῶν τῶν αἰγῶν δέρρεις καὶ αἱ τῶν ἐρυθρῶν δερμάτων περιβολαὶ τὸν ἔξωθεν τῆς σκηνῆς κόσμον ἐπλήρουν καὶ οὐδὲν ἦν μέγα καὶ τίμιον τοῖς τὰ ἐκτὸς ὁρῶσι παρὰ ταῦτα φαινόμενον, ἔσωθεν δὲ χρυσῷ καὶ ἀργύρῳ καὶ τοῖς τιμίοις τῶν λίθων πᾶσα ἡ τοῦ μαρτυρίου σκηνὴ κατελάμπετο· οἱ στῦλοι, αἱ βάσεις, αἱ κεφαλίδες, τὸ θυμιατήριον, τὸ θυσιαστήριον,

8 σκηνὴ τοῦ μαρτυρίου cf Act 7, 44; Exod 27, 21 ad totum locum cf Hebr 8 et 9 et Exod 26 et 27 9-10 cf Exod 26, 1 10-11 cf Exod 26, 7; 25, 4/5 14 sqq cf Hebr 9, 2-5 15-16 cf Exod 26, 33 sqq

ER^a ΛΥSΘ Σ PT CN Syr 1 ποιμένης C^2 (η corr ex ει) μένεις Θ ποιμαίνει N κοιτάζης EC^2(ex ει) κοιτάζει N 2 ἐπ': ἐν P 3 ἑτέρων E^2(ε in ras)R^aΛ(corr $Λ^2$)YSΘ(corr)ΣC(corr C^2)N 4 εἰ N 5 σὺ om v 6 ποίμαιναι E(corr E^2) ποίμεναι C τὰς: τοὺς v post ἐρίφους add σου LXX 7 ποιμνίων codd v Syr: ποιμένων LXX 8 Τῆς — μαρτυρίου: ///ι/ τῶν μαρτυρίων (vel -αν)C(et eras et corr τῆς τοῦ μαρτυρίου et add in fine lin ἱερᾶς et ante τῆς add ἀρ C^2) τῆς ἱερᾶς τοῦ eadem man ex corr Θ, subesse videtur alia lectio (τῆ.α.ω...?). non vertit ἱερᾶς, sed post σκηνῆς add ἣ ὀνομάζεται σκηνὴ τοῦ αἰῶνος Syr, quod poterat ex Sir 24, 8-9 sumere. lectionem variam pervetustam (num eadem apud 3 testes?) restituere non potui. οὐχ ὁμότιμον ἦν: οὐχ ὅτι μόνην Σ οὐ μόνον τιμία ἦν Syr (e coniect scil interpretatus est: ἡ ... σκηνή) 8-9 τὸ et κεκρυμμένον N 9 post ἔνδοθεν add μὲν ΛΥ ἐγκεκρυμμένω T post κάλλει add ἀλλὰ καὶ Syr τὸ: τῷ C^2 N Syr προφαινομένη Syr αὐλαία v 10 ante ἐκ add αἱ ΛΥ ἐκ λινῶν: αἱ κλεινῶν N ἐκ καινῶν P ἐκ πολυχρωμάτων Syr (paraphr ut vid) ὑφασμένων ΛΥ αἱ om E(sscr E^2)P καὶ αἱ διὰ in ras Σ 11 αἰγείων ER^aΣPT δέρρις P αἱ om E (sscr E^2) 11-12 ἔξωθεν τὸν T 14 ἔξωθεν ΥΛ(ut vid, corr $Λ^2$) ἀργυρίῳ v 15 σκηνή: κατασκευή P 16 τὸ θυμιατήριον om Σ

ἡ κιβωτός, ἡ λυχνία, τὸ ἱλαστήριον, οἱ λουτῆρες, τὰ τῶν εἰσόδων καταπετάσματα, οἷς τὸ κάλλος ἐκ παντὸς εἴδους τῆς εὐχροούσης βαφῆς συνεκίρνατο, νῆμα χρύσεον ὑακίνθῳ καὶ πορφύρᾳ καὶ βύσσῳ καὶ κόκκῳ διά τινος τεχνικῆς λεπτουργίας εὐκόσμως συνυφαινόμενον, σύγκρατον ἐκ πάντων, καθάπερ ἐν ἴριδος αὐγαῖς ἀποστίλβειν ἐποίει τὴν αὐγὴν τοῦ ὑφάσματος. πρὸς ὅ τι δὲ βλέπων ἐντεῦθεν προοιμιάζομαι, πρόδηλον ὑμῖν πάντως ἐκ τῶν ῥηθησομένων γενήσεται. πάλιν πρόκειται ἡμῖν τὸ Ἆισμα τῶν Ἀισμάτων εἰς πᾶσαν φιλοσοφίας τε καὶ θεογνωσίας ὑφήγησιν. αὕτη ἐστὶν ἡ ἀληθινὴ τοῦ μαρτυρίου σκηνή, ἧς προκαλύμματα μὲν καὶ δέρρεις καὶ ἡ τῆς αὐλαίας περιβολὴ ἐρωτικοί τινες γίνονται λόγοι καὶ ῥήματα τὴν πρὸς τὸ ποθούμενον σχέσιν ἐμφαίνοντα καὶ κάλλους ὑπογραφὴ καὶ μνήμη σωματικῶν μελῶν, τῶν τε προφαινομένων ἐν τῷ προσώπῳ καὶ τῶν ὑποκεκρυμμένων τῇ τῆς ἐσθῆτος περιβολῇ. τὰ δὲ ἐντὸς πολύφωτός τίς ἐστιν ὡς ἀληθῶς λυχνία καὶ κιβωτὸς μυστηρίων πλήρης. καὶ τὸ τῆς εὐωδίας θυμιατήριον καὶ τὸ καθάρσιον τῆς ἁμαρτίας, τὸ πάγχρυσον ἐκεῖνο τῆς εὐσεβείας θυσιαστήριον, τό τε τῶν καταπετασμάτων κάλλος, τὸ διὰ τῆς τῶν ἀρετῶν εὐχροίας εὐσχημόνως ἐξυφαινόμενον, καὶ οἱ ἀκλινεῖς τῶν λογισμῶν στῦλοι καὶ αἱ ἀμετάθετοι τῶν δογμάτων βάσεις

2 cf Exod 26, 31   11 cf Hebr 8, 2   17 sqq cf Origen Hom in Exod IX 4 (p 240, 22 sqq); cf Vita Moys p 385 (Migne) 18-19 cf Exod 29, 36/7

ER^a ΛYSΘ Σ PT CN Syr   2 οἷς: ὧν $Λ^2$(in ras)   3 τῆς om v   συνεκιρνᾶτο R^aYSΣP   υἱακίνθω C(corr C^2)N   4 κοκκίνω Σ (secundum LXX)   5 εὐκόσμω PC(corr C^2)N   συνυφασμένον ER^a v   συγκρατῶν N   6 αὐγαῖς: αὐταῖς Θ   ἀποστίλβον P   8 δῆλον T   ὑμῖν SΘT Syr: ἡμῖν cett v   9 εἰς: πρὸς ΣCN   10 φιλοσοφίαν ΛΣC(corr C^2)N   θεογνωσίαν C(corr C^2) θεογνωσίας καὶ φιλοσοφίας v   11 σκηνὴ τοῦ μαρτυρίου C   καὶ om ΛYSΘ   12 δέρρις P   γίνονται coll post 13 ῥήματα v   13 προθοῦμενον E   14 μνήμη: σχήματα P   15 φαινομένων Λ (corr $Λ^2$)YSΘ   τῶν alt: τὸν N   15-16 ἀποκεκρυμμένων C ἐγκεκρυμμένων ΛYSΘ κεκρυμμένον N   16 ante τῇ add ἐν T   τῇ om C(sscr C^2)N   17 τίς om ΛYSΘ   λυχνία coll ante ὡς T   18 τὸ pr: τῶ C(corr C^2)   καὶ — θυμιατήριον om P   καὶ alt — 19 θυσιαστήριον om T   19 θυμιατήριον v(sec Hebr 9, 4)   20 τε om CN   22 αἱ om E(sscr E^2)   ἀμετάθυτοι C(corr C^2)

τό τε τῶν κεφαλίδων κάλλος, δι' ὧν ἡ περὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἑρμηνεύεται χάρις καὶ οἱ τῶν ψυχῶν λουτῆρες καὶ πάντα ὅσα πρὸς τὴν οὐρανίαν τε καὶ ἀσώματον πολιτείαν βλέπει, ἃ δι' αἰνιγμάτων ὁ νόμος διακελεύεται, ἐν τοῖς ὑποκεκρυμμένοις τῇ λέξει νοήμασιν ἔστιν εὑρεῖν, εἰ μόνον
789 M. ἐπιτηδείους πρὸς τὴν εἰς τὰ ἅγια τῶν ἁγίων εἴσοδον ἑαυτοὺς δι' ἐπιμελείας ποιήσαιμεν τῷ λουτῆρι τοῦ λόγου πάντα ῥύπον αἰσχρᾶς ἐννοίας ἀποκλυσάμενοι, μήποτε θιγόντες παρὰ τὸ παράγγελμα τοῦ νόμου θνησιμαίου νοήματος ἤ τινος τῶν ἀκαθάρτων ἐνθυμίων ἁψάμενοι ἀθέατοι τῶν ἐντὸς τῆς σκηνῆς θαυμάτων ἀποκλεισθῶμεν. οὐ γὰρ παραδέχεται τῶν τοιούτων τὴν εἴσοδον ὁ τοῦ πνεύματος νόμος, ἐὰν μή τις πλύνῃ τὸ τῆς συνειδήσεως ἑαυτοῦ ἱμάτιον κατὰ τὸ Μωϋσέως παράγγελμα ὁ νεκρᾶς τινος καὶ βδελυκτῆς ἐννοίας ἁψάμενος.

Ἄγει δὲ τὸν λόγον ἡ ἀκολουθία τῶν προεξητασμένων πρὸς τὴν θεωρίαν τῶν παρὰ τῆς νύμφης πρὸς τὰς νεάνιδας εἰρημένων. ἔστι δὲ ταῦτα· Μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἰερουσαλήμ, ὡς σκηνώματα κηδάρ, ὡς δέρρεις Σολομών. καλῶς ἡ διδάσκαλος ἀφ' ὧν ἔδει ταῖς μαθητευομέναις ψυχαῖς

6 sqq cf Num 19, 6-10; cf Hebr 9, 13   8 cf I Petr 3, 21   9 sqq cf Num 19, 11 sqq; cf Hebr 9, 14   18 Cant 1, 5

ER^a ΛYSΘ Σ PT CN Syr V(inc 20 καλῶς)   1-2 περὶ coll ante τῆς E(corr E^2)   2 τῶν ψυχῶν: τῶν τῆς ψυχῆς P   3 οὐράνιόν ER^aΣCNv   ἀσώματόν τε καὶ οὐρανίον (sic)T   4 post ἃ add καὶ P   λόγος παρακελεύεται CN   5 εὑρεῖν om v   6 ἐπιτηδείως ER^aT   7 post ἐπιμελείας add τοῦ βίου ΣCNv, non vert Syr   ποιήσωμεν ER^a λουτρῷ P.   τῶ λόγω E (corr E^2)   8 θήγοντες ΣP(corr)T(corr)C(corr C^2) θίγγοντες Θ (corr) θνήσκοντες Nv   9 τοῦ νόμου om Θ   post θνησιμαίου add τινὸς P   10 ἐνθυμιῶν ΘN ἐννοιῶν ΛY ἐπιθυμιῶν Syr   11 ἀποκλισθῶμεν θαυμάτων Σ   οὐ iterat E(alt del E^2)   οὐ γὰρ: ὅτι οὐ CN   13 τις om P   πλύνει ΣC(corr C^2)   αὐτοῦ Θ αὑτοῦ ER^aΛYSPT   14 τὸ: τοῦ C(sscr τὸ C^2)   μωϋσέος PT μωσέως ΛYSΘ   ὁ: τὸ C(ut vid, corr C^2)   βδελυρᾶς ΛY   17 τῶν: τὴν ΛY τὸν C(ut vid, corr C^2)   18 post ταῦτα add κείμενον man rec N   19 δέρρις ΛYP δέρϊς N   σαλομών ER^a σολομῶν ΘT σωλομῶν C

ἄρχεται ποιεῖσθαι τῶν ἀγαθῶν τὴν ὑφήγησιν· αἱ μὲν γὰρ προθύμως ἔχουσι, δι' ὧν ἐπαγγέλλονται, παντὸς ἀνθρωπίνου λόγου, ὃν οἶνον τροπικῶς ὀνομάζουσι, προτιμοτέραν ποιεῖσθαι τὴν ἐκ τῶν λογικῶν αὐτῆς μαζῶν ἀπορρέουσαν χάριν οὕτως εἰποῦσαι τῷ ῥήματι ὅτι Ἀγαπήσωμεν μαστούς σου ὑπὲρ οἶνον, ἐπειδὴ σὲ ἡ εὐθύτης ἠγάπησεν, ἡ δὲ προσθήκην ποιεῖ ταῖς μαθητευομέναις τοῦ περὶ αὐτὴν θαύματος, ὡς ἂν μᾶλλον μάθοιμεν τὴν ἀμέτρητον τοῦ νυμφίου φιλανθρωπίαν τοῦ διὰ τῆς ἀγάπης ἐπιβάλλοντος τῇ ἀγαπηθείσῃ τὸ κάλλος· μὴ θαυμάσητε γάρ φησι, ὅτι ἐμὲ ἡ εὐθύτης ἠγάπησεν, ἀλλ' ὅτι μέλαιναν οὖσαν ἐξ ἁμαρτίας καὶ προσῳκειωμένην τῷ ζόφῳ διὰ τῶν ἔργων καλὴν διὰ τῆς ἀγάπης ἐποίησε τὸ ἴδιον κάλλος πρὸς τὸ ἐμὸν αἶσχος ἀνταλλαξάμενος. μεταθεὶς γὰρ πρὸς ἑαυτὸν τὸν τῶν ἐμῶν ἁμαρτιῶν ῥύπον μετέδωκέ μοι τῆς ἑαυτοῦ καθαρότητος κοινωνόν με τοῦ ἑαυτοῦ κάλλους ἀπεργασάμενος, ὃς πρῶτον ἐποίησεν ἐξ εἰδεχθοῦς ἐρασμίαν καὶ οὕτως ἠγάπησεν. μετὰ ταῦτα προτρέπεται τὰς νεάνιδας καὶ αὐτὰς γενέσθαι καλὰς τὸ καθ' ἑαυτὴν προδεικνύουσα κάλλος καθ' ὁμοιότητα τοῦ μεγάλου Παύλου τοῦ λέγοντος Γίνεσθε ὡς ἐγώ, ὅτι καὶ ἐγὼ ὡς ὑμεῖς· καὶ Μιμηταί μου

11 cf Plato Theaet 176 e sq 13 cf Isai 53, 2/3; cf Phil 2, 7 14-15 cf Eph 5, 25-27 20 Gal 4, 12 20 sq I Cor 11, 1

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τῶν ἀγαθῶν om Syr 2 ἔχουσαι SΘ 3 ὅν: οἷον E(corr E^2) 4 τὴν ἐκ om C(sscr τὴν C^2)N ἐκ om T μαζῶν om V ἀπορρέουσαι Θ 5 ὑποῦσαι N τοῖς ῥήμασιν ΣCN ὅτι om V ἀγαπήσομεν ΘVNvLXX(plurimi codd) μασθούς ΘNv 6 ἡ alt ex ras E^2 προθήκη C(corr C^2)N ποιεῖται Σ 7 αὐτὴν correxi: αὑτὴν codd v 8 μᾶλλον om E(adscr in marg E^2)ΛY μάθωμεν ΛYΘ ἄμετρον T τοῦ νυμφίου coll post φιλανθρωπίαν ΛYSΘ 9 ἐπιβάλλοντα V 10 θαυμάσῃ Σ ἐμὲ CN: μὲ cett v ἡ om ER^aPv 11 προσοικειωμένην ΣC (corr C^2)N 14 αὐτὸν V τὸν coll ante ῥῦπον(sic) T om P τῶν om ΣY(e priore τὸν corr τῶν Y^2) ἁμαρτημάτων T post ἁμαρτιῶν add χειρόγραφον καὶ V μεταδέδωκε SΘP 15 ἑαυτοῦ alt: ἐν αὐτῷ ΣPVT 16 ἀπεργασάμενον Λ(corr $Λ^2$) ἐράσμιον P 17 καὶ om V 18-19 κάλλος προδεικνύουσα ER^av 19 τοῦ alt om ER^aΛYΣ v 20 γίνεσθαι CN ἐγώ pr: κἀγὼ V ἡμεῖς N

γίνεσθε καθὼς κἀγὼ Χριστοῦ. διὰ τοῦτο γὰρ οὐκ ἐᾷ τὰς μαθητευομένας αὐτῇ ψυχὰς πρὸς τὸ παρῳχηκὸς τοῦ βίου βλεπούσας ἀπελπίζειν τοῦ γίνεσθαι καλάς, ἀλλὰ πρὸς αὐτὴν ὁρώσας τοῦτο μανθάνειν διὰ τοῦ ὑποδείγματος, ὅτι τὸ παρὸν γίνεται τοῦ παρῳχηκότος προκάλυμμα, ἐὰν ἄμωμον ᾖ. λέγει γὰρ ὅτι κἂν νῦν μοι ἐπιλάμπῃ τὸ κάλλος, ὅ μοι διὰ τοῦ ἀγαπηθῆναι παρὰ τῆς εὐθύτητος ἐπεμορφώθη, ἀλλ' οἶδα ἐμαυτὴν οὐ λαμπρὰν οὖσαν τὸ κατ' ἀρχὰς ἀλλὰ μέλαιναν. τὸ δὲ τοιοῦτον εἶδος περὶ ἐμέ, τὸ σκοτεινὸν καὶ ζοφῶδες, ὁ προλαβὼν βίος ἐποίησεν. ἀλλ' ὅμως ἐκεῖνο οὖσα τοῦτό εἰμι. μετεσκευάσθη γὰρ τὸ ὁμοίωμα τοῦ σκότους εἰς κάλλους μορφήν. καὶ ὑμεῖς τοίνυν, ὦ θυγατέρες Ἰερουσαλήμ, ἀναβλέψατε πρὸς τὴν μητέρα ὑμῶν Ἰερουσαλήμ. κἂν 792 M. σκηνώματα τοῦ κηδὰρ ἦτε διὰ τοῦ ἐνοικῆσαι ὑμῖν τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκότους (σκοτασμὸς γὰρ ἡ τοῦ κηδὰρ λέξις διερμηνεύεται), δέρρεις τοῦ Σολομῶντος γενήσεσθε, τουτέστι ναὸς τοῦ βασιλέως ἔσεσθε ἐνοικήσαντος ὑμῖν

4-5 cf Isai 65, 17; 43, 18; cf II Cor 5, 17; I Petr 4, 8 7 cf II Cor 3, 18 11-12 cf Eph 5, 8; Phil 3, 21; I Joh 3, 2 15 cf Eph 2, 2; Col 1, 13 15-16 Origen Comm II p 113, 19 17 cf I Cor 3, 16

ER^a ΛYSΘ Σ PVT CN Syr 1 γίνεσθαι CN τούτων SΘΣPN 2 αὐτῇ om P παρωχηκὼς C(corr C^2) παρωχικὼς Σ παρωγικῶς N παροχηκός V 3 ἀφελπίζειν YΛ(ut vid, corr $Λ^2$)N (ἀπε)λπ(ίζειν) C^2(corr in ras) τοῦ om P γενέσθαι SΘΣPVT γινέσθαι (sic) R^a 4 τοῦτο: τοῦ Y 5 παροχηκότος VC παρεσχηκότος Y 6 κἂν: καὶ CN μοι pr: μου v ἐπιλάμπει E (corr E^2)ΣPVCN 7 τοῦ iterat V εὐθύτητος: ἀγαθότητος ΛY ἐμορφώθη ΛYSΘ 9 post εἶδος add τὸ CN 10 ἐπόνησεν N οὖσαι Θ (ut vid) εἰμι: ἡμῶν N 11 σκότους: αἴσχους v in marg adnot γράφεται αἴσχους E^2 12 ἡμεῖς N(sscr ὑ) 13 ἀναβλέψατε — Ἰερουσαλήμ om V τὴν om Σ Ἰερουσαλήμ E Syr: ante Ἱερ. add τὴν ἄνω E^2 cett v κἂν: εἰ καὶ ER^av 14 τοῦ alt ΣPCN: τὸ cett v ὑμῖν PVCN: ἐν ὑμῖν cett v 15 τῆς ἐξουσίας om ΛY τοῦ: τοὺς Θ σκότους: αἴσχους CNv σκοτασμὸς ER^aVTv: σκοτασμὸν Σ σκοτισμὸν PCN σκότος ΛYSΘ 16 διερμηνεύεται ER^aT Syr(vel ἑρμηνεύεται)v: ἑρμηνεύεται ΛYSΘ διερμηνεύει ΣPVCN 16 δέρρις SP$Θ^1$(sscr ι, δέρρεις Θ)$Λ^2$(corr ϊ ex ει) σαλομῶντος E (corr E^2)V 16-17 γενήσεσθαι CN 17 τῷ βασιλεῖ Syr ἔσεσθαι ΣCN γενήσεσθε ΛYSΘ ἐν ὑμῖν ἐνοικήσαντος ER^a ἐν ὑμῖν οἰκήσαντος v ante ὑμῖν add ἐν Σ

τοῦ βασιλέως Σολομῶντος. Σολομὼν δὲ ὁ εἰρηνικός ἐστιν, ὁ τῇ εἰρήνῃ ἐπώνυμος. δέρρεις γὰρ Σολομῶντος ἀπὸ μέρους πᾶσαν τὴν βασιλικὴν σκηνὴν κατωνόμασεν. τούτοις μοι δοκεῖ τοῖς νοήμασιν ὁ μέγας Παῦλος προσεχέστερον ἐν τῷ πρὸς Ῥωμαίους φιλοχωρῆσαι λόγῳ, ἐν οἷς συνίστησι τοῦ θεοῦ τὴν περὶ ἡμᾶς ἀγάπην, ὅτι ἁμαρτωλοὺς ὄντας ἡμᾶς καὶ μέλανας φωτοειδεῖς τε καὶ ἐρασμίους διὰ τοῦ ἐπιλάμψαι τὴν χάριν ἐποίησεν. ὥσπερ γὰρ ἐν νυκτὶ πάντα τῷ ἐπικρατοῦντι συμμελαίνεται ζόφῳ, κἂν λαμπρὰ κατὰ φύσιν ὄντα τύχῃ, φωτὸς δὲ ἐπιλαβόντος οὐ παραμένει τοῖς ἐν τῷ ζόφῳ σκοτισθεῖσιν ἡ πρὸς τὸ σκότος ὁμοίωσις, οὕτω μετατεθείσης τῆς ψυχῆς ἀπὸ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν καὶ ἡ σκοτεινὴ τοῦ βίου μορφὴ πρὸς τὴν φωτεινὴν χάριν συμμεταβάλλεται. ταὐτὰ καὶ πρὸς τὸν Τιμόθεον, ὡς αὐτὴ πρὸς τὰς νεάνιδας, λέγει ἡ τοῦ Χριστοῦ νύμφη, ὁ Παῦλος, ὁ λαμπρὸς ἐκ μέλανος μετὰ ταῦτα γενόμενος ὅτι καλὸς ἠξιώθη καὶ αὐτὸς γενέσθαι τὸ πρότερον βλάσφημος ὢν καὶ διώκτης καὶ ὑβριστὴς καὶ μέλας καὶ ὅτι Χριστὸς εἰς τὸν κόσμον ἦλθε

1 cf Origen Comm II p 124, 19 5-6 Rom 5, 8 12 cf Plato Resp 518 c/d; 532 b/c 17 sqq I Tim 1, 13 et 15; cf Luc 5, 32

ER^a ΛYSΘ Σ PVT CN Syr 1 σαλομῶντος E (corr E^2) σολομῶνος SVN ὁ om Nv 1-2 σολομὼν — γὰρ om C (δέρριν δὲ add C^2) 2 τῆς εἰρήνης ΣPTN$Λ^2$ (ex -ῆ et -νη) δέρρεις R^aV Syr v: δέρρις E (sscr ε E^2) δέρριν cett γὰρ: δὲ T σαλομῶντος E (corr E^2) σολομῶνος TC (corr C^2) ἀπὸ μέρους om Syr 3 τὴν βασιλικὴν σκηνὴν T Syr: τῆς βασιλικῆς σκηνῆς τὴν περιβολὴν cett v, maluit Jaeger 4 ὁ μέγας: ὁ ἀπόστολος P ὁμοίως v 5 τῷ: τῇ PC (corr C^2) NE^2 (e τῶ) v ἐμφιλοχωρῆσαι TC^2 (sscr ἐμ) λόγῳ: λέγω E (add -ν E^2) R^a λέγων Yv 5-6 ἐν — ἀγάπην om Θ 6-7 ἡμᾶς ὄντας ER^aΣPVTv 7 μέλαινας N τε om ER^aΛYVv τοῦ: τὸ Λ (corr $Λ^2$) YSΘ om N (contr. δϊεπιλάμψαι) 8 περιλάμψαι ER^av 9 συμμελήνεται Θ (corr $Θ^1$) 10 τύχοι ΣV τέχνη N 11 τῷ om ΛYSΘ τοὺς σκότους C (corr C^2) 13-14 συμμεταβάλλεται χάριν V 14 συμβάλλεται Λ (corr $Λ^2$) ταὐτὰ Syr: ταῦτα codd v καὶ om R^a (sscr R^{a2}) ὡς αὕτη Σ: ὡς αὐτὴ EΛYSΘPVT τὰ CN ἃ E^2R^av 15 τοῦ om ΛYSΘ ὁ pr om P 16 καλῶς ΛYΘC (corr C^2) καθὸς P 16-17 καὶ αὐτὸς ἠξιώθη Σ 17 τὸ: ὁ v 18 καὶ ὑβριστὴς om P καὶ ante ὅτι om ER^a v καὶ ὅτι — p 49, 1 μέλανας om Y ἦλθεν coll ante εἰς V

λαμπροὺς ποιῆσαι τοὺς μέλανας, οὐ δικαίους πρὸς ἑαυτὸν καλῶν ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, οὓς τῷ λουτρῷ τῆς παλιγγενεσίας λάμπειν ὡς φωστῆρας ἐποίησε τὸ ζοφῶδες αὐτῶν εἶδος ἀποκλύσας τῷ ὕδατι· τὸ αὐτὸ τοῦτο καὶ ὁ τοῦ Δαβὶδ ὀφθαλμὸς ἐν τῇ ἄνω πόλει ὁρᾷ καὶ ἐν θαύματι ποιεῖται τὸ θέαμα, πῶς ἐν τῇ πόλει τοῦ θεοῦ, περὶ ἧς τὰ δεδοξασμένα λελάληται, Βαβυλὼν οἰκίζεται καὶ ἡ πόρνη Ῥαὰβ μνημονεύεται, ἀλλόφυλοί τε καὶ Τύρος καὶ ὁ τῶν Αἰθιόπων λαὸς ἐν αὐτῇ γίνονται, ὡς μηκέτι τῶν ἀνθρώπων τινὰ τῇ πόλει ταύτῃ τὴν τῶν οἰκητόρων ἐρημίαν ἐπονειδίζειν λέγοντα Μή τις ἔτι τῇ Σιὼν ἐρεῖ· ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ; κἀκεῖ γὰρ φυλέται τῆς πόλεως γίνονται οἱ ἀλλόφυλοι καὶ Ἱεροσολυμῖται οἱ Βαβυλώνιοι καὶ παρθένος ἡ πόρνη καὶ λαμπροὶ οἱ Αἰθίοπες καὶ Τύρος ἡ ἄνω πόλις· οὕτω καὶ ἐνταῦθα τὰς θυγατέρας Ἰερουσαλὴμ προθυμοποιεῖται ἡ νύμφη συνιστῶσα τοῦ νυμφίου τὴν ἀγαθότητα, ὅτι κἂν μέλαινάν τινα λάβῃ ψυχήν, τῇ πρὸς ἑαυτὸν κοινωνίᾳ καλὴν ἀπεργάζεται, κἄν τις σκήνωμα ᾖ κηδάρ, φωτὸς οἰκητήριον γίνεται τοῦ ἀληθινοῦ Σολομῶντος, τουτέστι τοῦ εἰρηνικοῦ

2 cf Tit 3, 5 3 cf Phil 2, 15 5-9 Ps 86, 3/4 11 Ps 86, 5 (secundum Octapla): Μὴ τῇ Σιὼν ἐρεῖ ἄνθρωπος καί (?) ἄνθρωπος ἐγενήθη (vel ἐγεννήθη ?) ἐν αὐτῇ; 16 cf Rom 5, 8

ER^a ΛYSΘ Σ PVT CN Syr 4 τὸ: κατ' P om ER^a v 6 ὅπως CN 7 ἐλαλήθη T (secundum Ps 86, 3) εἰσοικίζεται C 8 ὁ om ΣCN 9 λαὸς coll ante 8 τῶν Σ γίνεται CN 10 τινὰ om T ἐπονειδίζει Σ 11-12 Gregorius usus est text LXX secundum Octapla, non secundum Tetrapla. quod non intelligentes et codd et Syr hic illic aut variant aut addunt versus sqq Ps 86. μή τις ἔτι τῇ: μήτηρ PV μή τις ἔτι μητέρα καλείτω τὴν σιὼν καὶ γὰρ μήτηρ T (in ras ut vid) C^2 (in marg) post ἄνθρωπος add καὶ ἄνθρωπος PVTC^2 ἐγενήθη ER^aS (?an ἐγενήσθη?) ΣPVN ante ἐν add καὶ C (eras C^2) N post αὐτῇ add καὶ αὐτός CN add καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος VTC^2 12 (κ)ἀκεῖ corr in ras E (pr m ut vid) οἱ om V 13 οἱ om ER^a v 15 ἐν ταῦτα N τὰς om Θ θυγατέρες Θ (sscr α $Θ^1$) 16 τῶ νυμφίω E (corr E^2) 17 μέλαινα Θ S (corr S^2) τινα: οὖσαν ΣCN λάβοι V v αὐτὸν VCN ἑαυτὴν YΛ (corr $Λ^2$) SΘT (corr pr man) κοινωνίαν C (corr C^2) καλὸν N 18 τι ΘPVCN σκηνώματα E (corr E^2) ᾖ om PVCN 19 σαλομῶντος E (corr E^2) σολομῶνος C (corr C^2) N τουτέστι coll post p 50, 1 βασιλέως V

βασιλέως ἐν αὐτῇ κατοικήσαντος. διὰ τοῦτό φησι Μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἰερουσαλήμ, ἵνα πρὸς ἐμὲ βλέπουσαι καὶ ὑμεῖς γένησθε δέρρεις Σολομῶντος, κἂν σκηνώματα ἦτε κηδάρ.

Εἶτα ἐπάγει τοῖς εἰρημένοις τὰ ἐφεξῆς, δι' ὧν ἀναγκαίως ἀσφαλίζεται τὴν τῶν μαθητευομένων διάνοιαν μὴ τῷ δημιουργῷ τὴν αἰτίαν τοῦ σκοτεινοῦ εἴδους ἀνατιθέναι ἀλλὰ τὴν ἑκάστου προαίρεσιν τοῦ τοιούτου εἴδους τὰς ἀρχὰς καταβάλλεσθαι. Μὴ βλέψητε γάρ πρός με, φησίν, ὅτι ἐγώ εἰμι μεμελανωμένη. οὐ τοιαύτη γέγονα παρὰ τὴν πρώτην·
793 M. οὐδὲ γὰρ εἰκὸς ἦν ταῖς φωτειναῖς τοῦ θεοῦ χερσὶ πλασσομένην σκοτεινῷ τινι καὶ μέλανι περιχρωσθῆναι τῷ εἴδει. οὐκ ἤμην τοίνυν τοιαύτη, φησίν, ἀλλὰ γέγονα. οὐ γὰρ ἐκ φύσεώς εἰμι μεμελανωμένη, ἀλλ' ἐπείσακτόν μοι τὸ τοιοῦτον αἶσχος ἐγένετο τοῦ ἡλίου πρὸς τὸ μέλαν ἐκ λαμπροῦ τὴν μορφὴν μεταχρώσαντος. Ὁ ἥλιος γάρ, φησί, παρέβλεψέ με. τί οὖν ἐστιν ὃ διὰ τούτων μανθάνομεν; λέγει διὰ παραβολῆς τοῖς ὄχλοις ὁ κύριος ὅτι ὁ σπείρων τὸν λόγον οὐ τὴν ἀγαθὴν

7 sqq cf Origen Comm II (p 125, 19); cf Plato Resp 617 d/e; Aristoteles Nic Eth Γ 7 et passim   14 ad terminum ἐπείσακτον, quo nisi theologi Alexandrini contra doctrinam Gnosticorum certant, cf ex. gr. Origen De princ I 8, 3 (p 100, 20): 'non ex sua natura hoc possidens, sed accidens sibi'   17 sqq cf Matth 13, 3-7 ∼ Luc 8, 5-7

ERª ΛYSΘ Σ PVT CN Syr   2 post εἰμι add ἐγὼ ΣV   3 καὶ ὑμεῖς om T   ἡμεῖς N   γένησθαι N γενήσεσθαι ΣC   δέρρϊς E (corr E²)SΘ²(sscr ϊ)PC(corr C²)   σαλομῶντος E(corr E²) σολομῶνος C(corr C²)N   post κἂν add τε CN   σκήνωμα Θ   6-7 τοῦ σκοτεινοῦ εἴδους τὴν αἰτίαν τῶ δημιουργῶ ΛY   7 σκοτεινοειδοῦς T   8 τῇ et προαιρέσει V   τοῦ om V   9 καταβαλέσθαι PV(-ά-)   βλέπητε P   γὰρ om v   πρός om V   ἐμὲ Σ   10 εἰμι om V   post πρώτην add πλάσιν ΛYSΘ add ἡλικίαν P   11 ἦν om P   χερσὶ coll ante τοῦ V post πλασσομένην Σ   πλασσομένη PV   12 περϊχρωθῆναι N προσχρωσθῆναι ΛYSΘ   post εἴδει add τοιαύτη P   13 ἤμην: εἴμην C(corr C²) εἰμὶ ΛYSΘPT(ut vid, sed corr)   τοίνυν coll post τοιαύτη T om ERªΛYPVv habet Syr   15 γέγονε ΛY   16 παρέβλεψέ: sscr γρ κατέκαυσέ με P παρέβλαψε TC προσέβλεψέ Vv   17 ἐστιν om N(add N²)v   τοῦτον N τούτου ΛYΘ   μανθάνωμεν C(corr C²)   ante παραβολῆς add τῆς ΛYS(ut vid)Θ   18 ὁ alt: οὐYΛ(corr Λ²)   οὐ: οὐχὶ Σ

μόνον κατασπείρει καρδίαν, ἀλλὰ κἂν λιθώδης τις ᾖ κἂν ταῖς ἀκάνθαις ὑλομανοῦσα κἂν παρόδιός τε καὶ πεπατημένη, πᾶσιν ὑπὸ φιλανθρωπίας ἐπιβάλλει τοῦ λόγου τὰ σπέρματα. καὶ ἑκάστου τὰ ἰδιώματα ἑρμηνεύων τῷ λόγῳ τοῦτό φησιν ἐπὶ τῆς λιθώδους συμβαίνειν ψυχῆς, ὅτι οὐκ ἐν βάθει ῥιζοῦται τὸ ἐσπαρμένον, ἀλλὰ παραχρῆμα μὲν δι' ἐπιπολαίου βλάστης τὸν στάχυν κατεπαγγέλλεται, θερμότερον δὲ τοῦ ἡλίου τὸ ὑποκείμενον θάλψαντος τῷ μὴ ὑποκεῖσθαι ταῖς ῥίζαις ἰκμάδα καταξηραίνεται. πειρασμὸν δὲ διὰ τῆς ἑρμηνείας ὀνομάζει τὸν ἥλιον. οὐκοῦν τοῦτο παρὰ τῆς διδασκάλου τὸ δόγμα μανθάνομεν, ὅτι γέγονε μὲν ἡ ἀνθρωπίνη φύσις τοῦ ἀληθινοῦ φωτὸς ἀπεικόνισμα πόρρω τῶν σκοτεινῶν χαρακτήρων τῇ τοῦ ἀρχετύπου κάλλους ὁμοιότητι στίλβουσα, ὁ δὲ πειρασμὸς τὸν φλογώδη καύσωνα δι' ἀπάτης ἐπιβαλὼν ἁπαλὴν ἔτι καὶ ἄρριζον τὴν πρώτην βλάστην κατέλαβε καί, πρὶν ἕξιν τινὰ τοῦ ἀγαθοῦ κτήσασθαι καὶ διὰ τῆς τῶν λογισμῶν γεωργίας δοῦναι ταῖς ῥίζαις τόπον ἐπὶ τὸ βάθος, εὐθὺς διὰ τῆς παρακοῆς ἀποξηράνας τὸ χλοερόν τε καὶ εὐθαλὲς εἶδος διὰ τῆς καύσεως μέλαν ἐποίησεν. εἰ δὲ ἥλιος ἡ ἀντικειμένη τοῦ πειρασμοῦ προσβολὴ ὀνομάζεται, μηδεὶς

4 sqq cf Luc 8, 12/13   11-19 cf Method Conv VI p 64, 8-65, 16   12-13 cf Gen 1, 27   18 διὰ τῆς παρακοῆς: cf Rom 5, 19

ERª ΛYSΘ Σ PVT CN Syr   1 μόνην ΘS(ut vid)   ante λιθώδης add λίαν ΛYS   ᾖ: ἡ E εἴ Σ εἴη C²(ex corr) ἦν Pv   2 κἂν — πεπατημένη om Syr   3 ἅπασιν ΣCN   ὑπὸ: ἐπὶ Nv ὑπὲρ V   ἐπικάλλει N   4 καὶ — ἰδιώματα om Σ   ante ἑρμηνεύων add ἐπιφέρων καὶ V   διερμηνεύων S   post τοῦτο add γάρ YV   5 συμβαίνει E(corr E²)RªVN   ῥιζοῦσαι V   6 βλαστοῦ P   7 post στάχυν add προκαλλόμενον C²   post κατεπαγγέλλεται add θερισμὸν ταχύν C add θερισμὸν καὶ στάχυν N   8 τῷ: τὸ S (corr S²)ΣC(corr C²)N   μὴ τῶ V   10 τῆς om Λ(sscr Λ²)Y   διδασκαλίας ERªΘV   10-11 μανθάνομεν τὸ δόγμα T   14 πειρασμὸν Θ   15 ἁπαλὴν: ἁπλῆ Λ ἀτελῆ YSΘCN ἀ(α)πλῆ (sic) Rª(π(α) in corr ut vid) om Syr(om καὶ)   ἔτι coll ante ἄρριζον V post ἄρριζον T   κατέβαλε Rª(in marg λαβὲ pr ut vid m)TCNv   16 τινὰ coll post ἀγαθοῦ ΛY   κτίσασθαι CN   17 post δοῦναί add τε T   post δοῦναι coll τόπον Σ   τόπον: πότον v   ἐπὶ: ἐν ᾗ CN   18 διὰ τῆς παρακοῆς om Syr   χλωερόν N χλωρόν v   19 post διὰ add τὸ T   εἰ δὲ: ὁ δὲ Y εἰ δὲ ὁ Λ²(δὲ in ras)

ξενιζέσθω τῶν ἀκουόντων ἐν πολλοῖς τὸ τοιοῦτον παρὰ τῆς θεοπνεύστου γραφῆς διδασκόμενος. καὶ γὰρ ἐν δευτέρᾳ τῶν ἀναβαθμῶν ᾠδῇ ταύτην ποιεῖται τὴν εὐλογίαν τῷ τὴν βοήθειαν ἔχοντι παρὰ κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, τὸ μὴ συγκαίεσθαι αὐτὸν ὑπὸ τοῦ ἡλίου διὰ τῆς ἡμέρας. καὶ ὁ προφήτης Ἠσαΐας τὴν τῆς ἐκκλησίας κατάστασιν προφητεύων ὥσπερ τινὰ πομπὴν ὑπογράφει τὴν πολιτείαν φαιδρύνων τὸν λόγον τῷ διηγήματι. λέγει γὰρ θυγατέρας ἐπ' ὤμων αἰρομένας καὶ παῖδας ἐν λαμπήναις κομιζομένους καὶ σκιαδείοις τὸν φλογμὸν ἀποκρούοντας· δι' ὧν ἐν αἰνίγμασι τὸν ἐν ἀρετῇ διαγράφει βίον διὰ μὲν τῆς νηπιώδους ἡλικίας ὑποδεικνύων τὸ ἀρτιγενές τε καὶ ἄκακον, διὰ δὲ τῶν σκιαδείων τὴν ἐξ ἐγκρατείας τε καὶ καθαρότητος προσγινομένην ταῖς ψυχαῖς παραμυθίαν τοῦ καύσωνος. δι' ὧν μανθάνομεν ὅτι χρὴ ἐπ' ὤμων αἴρεσθαι τὴν τῷ θεῷ νυμφοστολουμένην ψυχήν, οὐ πατουμένην ὑπὸ τῆς σαρκὸς ἀλλ' ἐπικαθημένην τῷ ὄγκῳ τοῦ σώματος. λαμπήνην δὲ ἀκούοντες τὴν ἐκλαμπτικὴν τοῦ φωτίσματος χάριν μανθάνομεν, δι' ἧς παῖδες γινόμεθα οὐκέτι

4 Ps 120, 2 5 Ps 120, 6; cf Origen Comm II p 129, 18 8-9 cf Isai 60, 4; 49, 22; 66, 12 9-10 cf Isai 66, 20

ER^a ΛYSΘ Σ PVT CN Syr 3 τοιαύτην Syr 4 παρὰ κυρίου om ER^aPVTv κυρίου sscr Θ 5 τὸ: τῷ Θ 7 τὴν πολιτείαν ΛY Laur VII 30 Matrit Bibl nac 4593: τῇ πολιτείᾳ cett v, scilicet idem (ΤΗ̄ ΠΟΛΙΤΕΙᾹ), om Syr. ne offendas in ὑπογράφει cum dupl acc cf ex. gr. Strabo I, 1, 6. sensus est: Isai describit vitam Christianam (τὴν πολιτείαν) ut pompam, cf infra 11 sqq 8 τῷ λόγῳ ΘVv τὸ διήγημα Θ 9 ἐρωμένας ΣC(corr C^2)E (ut vid, corr E^2) λαμπίναις R^aΛYSC^2 (corr ϊ ex η) λαπήναις Θ λαμπάνησι P 10 σκιαδείοις ΛYΘ: σκιαδίοις cett v LXX φωτισμὸν v ἀποκρύοντας Λ(corr $Λ^2$) ἀποκρούσαντας v ἐν om ΛYS 12 ἀρτιγενές: ἀρτιπαγές ΛYSΘ παλιγγενές Syr τε om N δὲ: τε E(corr E^2) om v 12-13 σκιαδείων ΛYΘV: σκιαδίων cett v LXX 13 τὴν: τὸν Y προγινομένην N 14 καύματος ΛY 15 χρὴ coll post ὤμων T ἐπαίρεσθαι ἐπ' ὤμων N τοῦ θεοῦ C(corr C^2)Tv ψυχὴν om R^a 16 πατουμένην: inter τ et ο lac 3 fere litt, in marg γρ et 18 fere litt eras E τῶν ὄγκων V 17 λαμπίνην R^aΛYSTC^2(ϊ ex η) λαπήνην ΘV ἀκούοντες N: ἀκούσαντες cett v, maluit Jaeger ἐκλαμπικὴν P ἐλλαμπτικὴν C$Λ^2$(λ pr corr) ἐλαμπτικὴν N 18 φωτίσματος: βαπτίσματος v

τῇ γῇ τὸ ἴχνος ἐρείδοντες, ἀλλ' ἀπ' ἐκείνης πρὸς τὴν οὐρανίαν ζωὴν κομιζόμενοι. σκιερὸς δὲ γίνεται ἡμῖν καὶ δροσώδης
796 M. ὁ βίος διὰ τῶν τῆς ἀρετῆς σκιαδείων κατασβεννυμένου τοῦ καύσωνος. οὗτος οὖν ἐστιν ὁ παραβλάπτων ἥλιος, ὅταν μὴ διατειχίζηται ὁ παρ' αὐτοῦ φλογμὸς τῇ νεφέλῃ τοῦ πνεύματος, ἣν διεπέτασε τοῖς τοιούτοις ὁ κύριος εἰς σκέπην αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ ἥλιος ὁ τὴν λαμπρὰν τοῦ σώματος ἐπιφάνειαν τῇ προσβολῇ τῶν πειρασμῶν ἐπικαίων καὶ μελαίνων ἐν δυσμορφίᾳ τὸ εἶδος.

Εἶτα διηγεῖται, ὅθεν τὴν ἀρχὴν ἔσχεν ἡ πρὸς τὸ μέλαν τῆς εὐχροίας ἡμῶν μεταποίησις. Υἱοὶ μητρός μου, φησίν, ἐμαχέσαντο ἐν ἐμοί, ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. καί μοι τοῦτο παρασχέσθω ἡ ἀκοή, μὴ λίαν ἀκριβολογεῖσθαι πρὸς τὴν τῆς λέξεως σύνταξιν ἀλλὰ πρὸς τὸν εἱρμὸν τοῦ νοήματος βλέπειν. εἰ δέ τι μὴ ἀκριβῶς συνηρτημένον ἐστὶν ἐκ τῆς συμφράσεως, τῇ ἀσθενείᾳ λογισάσθω τῶν τὴν Ἑβραίων γλῶτταν μεταβαλόντων εἰς τὴν Ἑλλάδα φωνήν· οἷς γὰρ ἐν ἐπιμελείᾳ γέγονε παιδευθῆναι τὴν Ἑβραίων διάλεκτον, οὐδὲν εὑρίσκεται τοιοῦτον, οἷον δοκεῖν ἀσυναρτήτως ἔχειν. ὁ δὲ σχηματισμὸς

2 δροσώδης: cf ex. gr. Zach 8, 12 vel Osee 14, 6 2-4 cf Sirac 18, 16 5-6 cf Isai 4, 5/6; Sirac 34, 16 11 Cant 1, 6 17-18 cf Sirac Prolog 15-22

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τὸ ἴχνος τῇ γῇ ΘPVCN ἐνερείδοντες P ἀπ' ER^aΣPT: ὑπ' ΛY ἐπ' SΘVCN v ἀπ' ἐκείνης om Syr οὐρανίαν VTCN: οὐράνιον cett v 3 σκιαδείων ΛYΘV: σκιαδίων cett v LXX 4 οὕτως S οὖν om PVCN 4-7 ὅταν — ἥλιος om P 5 ὁ om V φλογγὸς YΛ(corr $Λ^2$) 6 τοῖς τοιούτοις: αὐτοῖς v τοῖς δούλοις αὐτοῦ Syr 7 γάρ om V Syr ὁ παραβλάπτων ἥλιος Syr σώματος: πν(εύματο)ς T(scil e coniectura) ψυχῆς Syr(explic) 8 περιβολῇ P 9 ἐν om ΛYSΘ 11 μετάστασις ΛYSΘ ante υἱοὶ add καὶ φησὶ V φησίν om V 12 ἐμαχεύσαντο C(corr C^2) ἀμπελῶσιν: ἀμπελῶνι P 13 μοι om PV παρασχέτω P 15-16 τι μή: μή τι ΛY 16 ἐστὶν om v ἐκ τῆς om Pv 16-17 τῆς ἀσθενείας N 17 τὴν τῶν C(corr C^2) Ἑβραίαν Syr γλῶσσαν V 17-18 μεταβαλόντων SΘTCN: μεταβαλλόντων ER^aΛ(corr $Λ^2$)YΣPv om V 18 ἐν: ἂν v om ΛYSyr ἐπιμέλεια Syr v ἐπιμελὲς ΛY 19 Ἑβραίαν ER^aΛ(corr $Λ^2$)YVCN Syr v, sed cf 17 20 τοιούτων Θ(corr $Θ^1$) ἀσυναρτίστως V

τῆς ἡμετέρας γλώττης μὴ συμβαίνων τῷ σχήματι τῆς Ἑβραϊκῆς εὐγλωττίας σύγχυσίν τινα ποιεῖ τοῖς ἐπιπολαιότερον ἀκολουθοῦσι τῇ σημασίᾳ τῆς λέξεως. ἡ μὲν οὖν διάνοια τῶν προκειμένων ῥημάτων αὕτη ἐστίν, ὅσον ἡμεῖς κατειλήφαμεν, ὅτι· γέγονε τὸ κατ' ἀρχὰς ὁ ἄνθρωπος οὐδενὸς τῶν θείων ἀγαθῶν ἐνδεής, ᾧ ἔργον ἦν φυλάξαι μόνον τὰ ἀγαθά, οὐχὶ κτήσασθαι. ἡ δὲ τῶν ἐχθρῶν ἐπιβουλὴ γυμνὸν αὐτὸν τῶν προσόντων ἐποίησε μὴ φυλάξαντα τὴν δοθεῖσαν αὐτῷ φύσει παρὰ τῷ θεῷ εὐκληρίαν. αὕτη μὲν οὖν ἐστιν ἡ τῶν ῥημάτων διάνοια, ἡ δὲ διὰ τῶν αἰνιγματικῶν λόγων τοῦ νοήματος τούτου παράδοσις τοῦτον ἔχει τὸν τρόπον· Υἱοὶ μητρός μου, φησίν, ἐμαχέσαντο ἐν ἐμοί, ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. πολλὰ δι' ὀλίγων δογματικῶς ἡμᾶς ἐκπαιδεύει ὁ λόγος. πρῶτον μὲν ὅπερ καὶ ὁ μέγας ἀποφαίνεται Παῦλος, ὅτι τὰ πάντα ἐκ τοῦ θεοῦ καὶ Εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ οὐδὲν τῶν ὄντων ἐστὶν ὃ μὴ δι' ἐκείνου τε καὶ ἐξ ἐκείνου τὸ εἶναι ἔχει

15-17 I Cor 8, 6; cf Rom 11, 36

ἂν εἴη μηκύνειν διὰ τῶν ὁμολογουμένων τὸν λόγον. τούτων τοίνυν καὶ τῶν τοιούτων κρείττους γενόμενοι καὶ τῷ θεῷ πλησιάσαντες καὶ αὐτοὶ πάντως ἀκουσόμεθα ὅτι Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε, ἡ πλησίον μου.

Ἀλλὰ λυπεῖ τυχὸν τοὺς τὸν σώφρονα καὶ καθαρὸν ἐξησκηκότας βίον ἡ πρὸς τὸν ἵππον ὁμοίωσις, διότι πολλοὶ τῶν προφητῶν ἀπαγορεύουσιν ἡμῖν τὸ ὁμοιοῦσθαι τοῖς ἵπποις, τοῦ μὲν Ἰερεμίου τὴν μοιχικὴν λύσσαν τῷ ὀνόματι τῶν ἵππων διασημάναντος, ἐν οἷς φησιν Ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν, τοῦ δὲ μεγάλου Δαβὶδ φοβερὸν ποιουμένου τὸ ὡς ἵππον τινὰ καὶ ἡμίονον γίνεσθαι, ὧν κελεύει κατάγχειν ἐν κημῷ τε καὶ χαλινῷ τὰς σιαγόνας. διὰ τοῦτο παραμυθεῖται τῷ ἐφεξῆς λόγῳ τὴν τοιαύτην διάνοιαν λέγων ὅτι οὐ τοιαῦταί σού εἰσιν αἱ σιαγόνες, κἂν ἵππος ᾖς, ὡς κημοῦ χρῄζειν καὶ χαλινοῦ εἰς ἀγχόνην, ἀλλά σοι διὰ τῆς καθαρότητος 816 M. τῶν τρυγόνων ἡ σιαγὼν καλλωπίζεται. φησὶ γὰρ Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος; μαρτυρεῖται δὲ παρὰ τῶν τὰ

9 Ierem 5, 8 11-13 cf Ps 31, 9 17 Cant 1, 10

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἀνομολογουμένων ΛY 2 ante κρείττους add καὶ αὐτοὶ T 3 πάντες R^aΛ(corr Λ^2)YPV ἀκουσώμεθα ΛYPVTC(corr C^2) 5 τὸν σώφρονα: σώφρονας v 6 τὸν: τὴν Σ ἵππον: βίον P 7 τὸ: τῷ Σ τοῦ V 9 διασημήναντος (sed cf ex.gr. p 83, 11) ΛYSVTCN διασημαίνοντος Θ ἐγεννήθησαν N 11 ante τὸ add τὸ πρᾶγμα ΣCN 12 γενέσθαι ΣCN κατάγχειν κελεύει ΛYS(κατέχειν)Θ κατέχειν S κατασχεῖν ER^av ἐν om ΛYSΘ 12-13 χαλινῷ τε καὶ κημῷ Σ LXX κημῷ τε καὶ om Syr 13-14 et om τοιαύτην et coll τὴν διάνοιαν ante τῷ Θ 14 ταύτην τὴν Syr 15 κἂν ἵππος ᾖς: καὶ ἡ ἵππος NC(ut vid, corr καὶ εἰ ἵππος εἶ C^2) καὶ ἡ ἵππωσις T(in marg εἰ ἵππος εἶς) C^2 in marg cum nota γρ ᾖς ὡς iterat R^a 15-16 ὡς κημοῦ χρῄζειν καὶ χαλινοῦ R^aΘ v: ὡς κημῶν χρ. καὶ χαλινῶν E(corr E^2) SPVT ὡς κημὸν χρ. καὶ χαλινὸν ΛY ὡς χρῄζειν χαλινοῦ Syr ὡς χαληνῶν καὶ κημῶν χρῄζειν Σ χαλινῷ καὶ ὡς κημῷ χρῄζειν NC (ut vid, corr ὡς χαλινοῦ καὶ κημοῦ χρ. C^2) 17 τῆς τρυγόνος Syr 18 ante σιαγόνες add αἱ CN σου om N τρυγόνος codd (praeter ER^a) Syr, exemplar Origenis (cf Comm II p 153, 25): τρυγόνες ER^av LXX μαρτυρεῖ Θ παρὰ om P τὰ om P

τοιαῦτα τετηρηκότων τοῦτο τὸ ὄρνεον μένειν, εἰ διαζευχθείη τῆς συζυγίας, εἰς τὸ ἐφεξῆς ἀσυνδύαστον, ὡς φυσικῶς ἐν αὐτῷ κατορθοῦσθαι τὴν σωφροσύνην. διὰ τοῦτο τῷ αἰνίγματι τῶν ἐπαίνων συμπαρελήφθη ὑπὸ τοῦ λόγου τοῦτο τὸ ὄρνεον, ὡς ἀντὶ χαλινοῦ γενέσθαι τῇ σιαγόνι τῆς θείας ἵππου τὴν τῆς τρυγόνος ὁμοίωσιν, δι᾽ ἧς ἡ καθαρὰ ζωὴ ἐπιπρέπειν τῇ τοιαύτῃ ἵππῳ διασημαίνεται. διὸ θαυμαστικῶς φησι πρὸς αὐτὴν ὁ λόγος Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος.

Ἐπάγει δὲ τούτῳ καὶ ἕτερον δι᾽ ὁμοιώσεως ἔπαινον λέγων Τράχηλός σου ὡς ὁρμίσκοι. ἅπαξ γὰρ ἐμπεσὼν τῇ τροπικῇ σημασίᾳ διὰ τῶν περὶ τῶν ἵππων θεωρουμένων ἐπινοεῖ τῇ νύμφῃ τὸν ἔπαινον· ἐπαινεῖ γὰρ τὸν τράχηλον τὸν ἐν σχήματι κύκλου γυρούμενον, ὃ δὴ περὶ τοὺς γαύρους τῶν πώλων ὁρῶμεν γινόμενον· ἡ γὰρ τῶν ὁρμίσκων μνήμη τὸν κύκλον ἐνδείκνυται, οὗ τὸ σχῆμα ἐπὶ τοῦ αὐχένος δεικνύμενον εὐπρεπέστερον ἑαυτοῦ τὸν πῶλον ποιεῖ. ὅρμος δὲ λέγεται κυρίως μὲν ἐπὶ τῶν παραλίων τόπων, ἐν οἷς ἡ ὄχθη κατὰ τὸ ἐντὸς μηνοειδῶς κοιλανθεῖσα ὑποδέχεται τῷ κόλπῳ τὴν θάλασσαν καὶ ἀναπαύει δι᾽ ἑαυτῆς τοὺς ἐκ τοῦ πελάγους προσπλέοντας, ἐκ μεταφορᾶς δὲ διὰ τοῦ σχήματος

1-3 cf Origen Comm II p 155, 16-20 et quae adnot Baehrens. add velim et Aristot Hist Anim p 613 a 14: ἔχει δὲ τὸν ἄρρενα ἡ τρυγὼν τὸν αὐτὸν καὶ φάττα, καὶ ἄλλον οὐ προσίενται.

ER^a ΛYSΘ Σ PVT CN Syr 1 παρατετηρηκότων ER^aΣPv τοῦτο τὸ ὄρνεον coll ante p 78, 18 παρὰ ΣTCN 2 ἑξῆς N διηνεκὲς T 3 ἑαυτῷ Σ ante κατορθοῦσθαι add τὸ v τὸ αἴνιγμα ER^a v 4 litt ἐπ vocis ἐπαίνων ex corr C^2 5 γίνεσθαι ER^aPVv 6 ἐπιτρέπειν ΛYPC(corr C^2) 7-8 φησι coll ante ὁ ΛYSΘ om PV 8 αὐτὸν Θ(corr Θ^1) ante σιαγόνες add αἱ TC τρυγόνες ER^av 9 τοῦτο Λ(corr Λ^2)Y δι᾽ om PV 10 post ὡς add in marg αὐτοῦ ut vid Θ 11 περὶ: ἐπὶ P τῶν ἵππων ΣCNv Syr(in paraphr): τὴν ἵππον TC^2 τὸν ἵππον cett 12 τῆς νύμφης C(ut vid, eras bis ς) 13 ante περὶ add καὶ ΣCN 14 τῶν alt: τὸν Θ 15 οὗ: ὧν Syr 16 post τὸν add τῶν Σ ὁρμός P(scil secund doctr illam gramm, cf Eustath 1788, 46) et sic passim 18 κατὰ: καὶ P μονοειδῶς P μηνοειδὴς v post ὑποδέχεται add τε ER^av 19 αὐτῆς Θ αὐτῆς ΛYS τοῦ om ER^av 20 ἐν μεταφορᾷ P

ὁ περιτραχήλιος κόσμος ὅρμος λέγεται. ὅταν δὲ ὑποκοριστικῶς ὁρμίσκον ἀντὶ ὅρμου λέγωμεν, τὴν ἐν ὀλίγῳ τοῦ σχήματος ὁμοιότητα διὰ τῆς τοιαύτης φωνῆς ἐνδεικνύμεθα. πολλὰ τοίνυν εἰς ἐγκώμια συντελοῦντα τῇ νύμφῃ ἡ πρὸς τοὺς ὁρμίσκους ὁμοιότης τοῦ τραχήλου ἐνδείκνυται· πρῶτον μὲν ὅτι εἰς κύκλου σχῆμα κάμπτων ὁ πῶλος τὸν αὐχένα πρὸς τὰς ἰδίας τῶν ποδῶν βάσεις ὁρᾷ, δι᾽ ὧν ἀπρόσκοπόν τε καὶ ἀσφαλῆ ποιεῖται τὸν δρόμον μήτε τῷ λίθῳ προσπταίων μήτε κενεμβατῶν ἐν τῷ βόθρῳ (τοῦτο δὲ οὐ μικρὸν εἰς εὐφημίαν ἐστὶ ψυχῆς τὸ πρὸς ἑαυτὴν βλέπειν καὶ δι᾽ ἀσφαλείας πάσης πρὸς τὸν θεῖον δρόμον ἐπείγεσθαι πάντα τὰ ἐκ πειρασμῶν τινων ἐγγινόμενα πρὸς τὸν δρόμον ἐμπόδια διαλλομένην καὶ ὑπερβαίνουσαν), ἔπειτα δὲ καὶ αὐτὸ τὸ πρωτότυπον τῶν ὅρμων ὄνομα, ὅθεν διὰ τὴν τοῦ σχήματος ὁμοιότητα ὁ περιδέραιος κόσμος ὁρμίσκος ὠνόμασται, μεγάλων τινῶν ἐγκωμίων ὑπερβολὴν περιέχει, ὅταν ὁμοιωθῇ τοῖς ὁρμίσκοις ὁ τράχηλος. τίνα δέ ἐστι τὰ ἐγκώμια τὰ διὰ τούτων ἡμῖν ὑπὸ τοῦ λόγου δηλούμενα; ἡδύ τι καὶ σωτήριόν ἐστι τοῖς καταπλέουσιν ὁ λιμὴν καὶ τὸ μετὰ τὴν ἐν θαλάσσῃ κακοπάθειαν ὅρμον τινὰ καταλαβεῖν εὐδιάζοντα, ἐν ᾧ λήθην ποιησάμενοι τῶν ἐν θαλάσσῃ κακῶν ὅλοι τῆς ἀναπαύσεως γίνονται τοὺς μακροὺς πόνους δι᾽ ἡσυχίας

10-11 cf (Plat) Axioch 370 e: καὶ πάλαι μετεωρολογῶ καὶ δίειμι τὸν ἀίδιον καὶ θεῖον δρόμον, ἔκ τε τῆς ἀσθενείας ἐμαυτὸν συνείλεγμαι καὶ γέγονα καινός. 18 sqq cf De virg p 340,15-24 (Vol VIII, 1 Jaeger)

ER^a ΛΥSΘ Σ PVT CN Syr 1-3 ὅταν — ἐνδεικνύμεθα om Syr 2 ὁρμίσκος PV ante ὅρμου add τοῦ ΘP ante τοῦ add διὰ S (sed eras) ΘΛ^2 (sscr) 4 τὴν νύμφην v 6 εἰς: ἐν Σ σχήματι Σ πτωχὸς V 7 τε: τι V (add να V^2) 9 ἐν om ER^a v οὐ om R^a 9-10 ἐστιν coll ante εἰς ER^a v 10 ante ψυχῆς add τῆς ΣPV 11 πάντας C (eras ς) 12 γινόμενα CN 13 διαλεγομένην CN βαλλομένην P δραμουμένην T ἔπειτα δὲ om Λ (sscr Λ^2) Υ 14 τὴν om Θ (sscr Θ^1) 15 κόσμιος v ὁρμίσκος om T 16 post μεγάλων add δὲ Λ (eras Λ^2) ΥSΘ (eras) 17 ὡμοιώθη v ὅρμοις PTCN v τίνα: ποῖα V 19 τὸ καὶ Θ 20 θαλάττῃ N ante ὅρμον 1 vel 2 litt eras et spirit sscr C^{2}N^2 21 κακῶν: κακοπαθειῶν ΣCN 22 μακρούς: αὐτοὺς ΥΛ (corr αὐτῶν Λ^2) ἡσυχίαν v

παραμυθούμενοι. οὐκ ἔστιν αὐτοῖς οὐκέτι ναυαγίου φόβος οὔτε ἡ τῶν ὑφάλων ὑπόνοια οὔτε πειρατῶν κίνδυνος οὔτε πνευμάτων ταραχὴ οὔτε ἐκ βυθῶν ἀνοιδαίνει διὰ τῶν ἀνέμων ἡ θάλασσα, ἀλλὰ πάντων τῶν τοιούτων κινδύνων ἐκτὸς γίνονται οἱ χειμαζόμενοι τοῦ πελάγους ἐν τῷ ὅρμῳ γαληνιάζοντες. εἰ τοίνυν οὕτω τις τὴν ἑαυτοῦ ψυχὴν καταστήσειεν, ὡς αὐτήν τε γαλήνην ἔχειν ἐν ἀκύμονι τῇ ἡσυχίᾳ μηδὲν
817 M. παρακινουμένην ἐκ τῶν πνευμάτων τῆς πονηρίας μήτε δι᾽ ὑπερηφανίας οἰδαίνουσαν μήτε τοῖς τοῦ θυμοῦ κύμασιν ἐξαφρίζουσαν μήτε κατ᾽ ἄλλο τι πάθος κλυδωνιζομένην καὶ περιφερομένην παντὶ ἀνέμῳ τῷ τὰ ποικίλα κύματα τῶν παθημάτων ἐγείροντι, εἰ τοίνυν αὐτή τε οὕτως ἔχοι καὶ τοὺς ἐν τῷ πελάγει τοῦ βίου χειμαζομένους ἐν ταῖς παντοδαπαῖς τῶν κακῶν τρικυμίαις ἐν ἑαυτῇ καταστέλλοι λείαν αὐτοῖς καὶ ἀκύμαντον τὴν δι᾽ ἀρετῆς ζωὴν ὑφαπλώσασα, ὥστε τοὺς ἐν αὐτῇ γεγονότας ἐκτὸς γενέσθαι τῶν ἐκ ναυαγίου κακῶν, καλῶς ὑπὸ τοῦ λόγου τοῖς ὁρμίσκοις ὁμοιοῦται τῆς πληθυντικῆς σημασίας τὴν ἐν ἑκάστῳ εἴδει τῆς ἀρετῆς τελειότητα σημαινούσης· εἰ γὰρ ἦν ἑνὶ μόνῳ προσεικασμένη ὁρμίσκῳ, ἀτελὴς ἂν πάντως ὁ ἔπαινος ἦν ὡς οὐ τὴν αὐτὴν

3 cf Arat Phaenom 909: σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδαίνουσα θάλασσα 10-11 cf Eph 4, 14 13-14 cf IV Maccab 7, 1-3

ER^a ΛΥSΘ Σ PVT CN Syr 1 οὐκέτι: οὐκ ἔστι ΘV om PTCN 2 οὔτε pr: οὐδὲ TCN οὔτε alt: οὔ τε N ante πειρατῶν add ὁ ἐκ Σ 3 ἐκ TCN: ἡ ἐκ ER^{a}ΛΥPV (ut vid, eras ἡ) v εἰ ἐκ SΘ (eras εἰ) Σ ἂν οἰδαίνῃ P ἀνοιδαίνοι V ἀνοιδαίνουσα ER^{a}ΛΥ (-νυδ-) v 4 ἡ om ER^{a}ΛΥV v κινδύνων: κακῶν Syr 5 χειμαζομένου Σ τοῦ: διὰ R^{a}E^2 (ex corr) ΛΥS ἐκ του V πέλαγος E (corr E^2) 5-6 γαληνιάζοντος TCNv 6 οὕτω: ὄντως C (corr C^2) 7 ἐν om S (add S^2) Θ 8 ante ἐκ add ἔχειν V δι᾽: ἐξ T om C (ut vid, add ἐξ C^2) 9 τοῖς: τῆς V 10 μὴ δὲ P 12 post ἐγείροντι 1 litt eras C ἔχει ΣVT 13 παντοδαπῶν v 14 αὐτῇ ΛΥSΘN καταστέλλει T λίαν ΣC (corr C^2) N (corr N^2) v αὐτοῖς: αὐτῆς P αὐτῇ Λ^2 (-ῇ ex corr) 15 post διὰ add τῆς ΛΥSΘ 16 γενέσθαι TCN: γίνεσθαι cett v ἐκ om E (add E^2) 17 ante ὑπὸ add τοῖς R^{a}ΛΥTCNE^{2}S^2 v ὑπὸ τοῦ λόγου om Syr τοῖς E (ut vid, eras) ΘΣPV Syr: ἐπαινουμένοις R^{a}E^{2}ΛΥTCNv om S (in marg add ἐπαινουμένοις S^2) 18 ἐν: ἑνὶ P 19 ἑνὶ: ἐν C (eras) N προσεικασμένος CN 20 ἂν om ΣT τὴν αὐτὴν om Syr

καὶ ἐπὶ τῶν λοιπῶν ἀρετῶν μαρτυρίαν ἔχων· νῦν δὲ πασῶν συλλαμβάνει τῷ λόγῳ τῶν ἀρετῶν τὴν μαρτυρίαν ἡ πρὸς τὸ πλῆθος τῶν ὁρμίσκων ὁμοίωσις. καὶ τοῦτο συμβουλή τίς ἐστι παρὰ τοῦ λόγου τῷ κοινῷ τῆς ἐκκλησίας προσαγομένη τὸ μὴ δεῖν ἡμᾶς πρὸς ἕν τι τῶν ἀγαθῶν βλέποντας ἀμελῶς περὶ τὰ λοιπὰ τῶν κατορθωμάτων ἔχειν, ἀλλ' εἴ σοι γέγονεν ὅρμος ἡ σωφροσύνη καθάπερ τισὶ μαργαρίταις τῷ καθαρῷ βίῳ λαμπρύνων τὸν τράχηλον, ἔστω σοι καὶ ἕτερος ὅρμος ὁ τοὺς τιμίους λίθους τῶν ἐντολῶν ἐν ἑαυτῷ περιείργων <ζῆλος> καὶ δι' ἑαυτοῦ τῆς δέρης πλεονάζων τὸ κάλλος, ἔστω σοι καὶ ἄλλος κόσμος περιαυχένιος ἡ εὐσεβής τε καὶ ὑγιαίνουσα πίστις κύκλῳ τὸν τῆς ψυχῆς αὐχένα διαλαμβάνουσα. οὗτός ἐστιν ὁ κλοιὸς ὁ χρύσεος ὁ ἐκ τοῦ ἀκηράτου τῆς θεογνωσίας χρυσίου τῷ τραχήλῳ περιλαμπόμενος, περὶ οὗ φησιν ἡ Παροιμία ὅτι Στέφανον χαρίτων δέξῃ σῇ κορυφῇ καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.

Ἡ μὲν οὖν διὰ τῶν ὁρμίσκων συμβουλὴ τοιαύτη, καιρὸς δ' ἂν εἴη καὶ τὸν ἐφεξῆς λόγον προσθεῖναι τῇ θεωρίᾳ, ὃν οἱ φίλοι τοῦ νυμφίου πρὸς τὴν παρθένον πεποίηνται.

12 ὑγιαίνουσα πίστις: cf Tit 1, 13; 2, 2 15 Prov 1, 9 19 οἱ φίλοι cf Origen Comm II p 156, 30

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἀρετῶν om V μαρτυρίαν R^aE^2 (exp τὴν ante μ.)v: τὴν μαρτυρίαν cett πασῶν Syr: πᾶσαν codd v 2 συλλαμβάνειν C(eras ν) post τῶν add λοιπῶν P 3 συμβουλευτική P 5-6 ἀμελῶς coll ante ἔχειν Σ 6 post γέγονεν add in marg ὁ Θ 6-7 ὅρμησιν σωφροσύνην (sic) N 8 λάμπρυνον ER^a τὸν τράχηλον coll post 7 βίῳ ER^aNv καὶ om C(add C^2)N ὁ om PV 9 ἐντολῶν: ἀρετῶν ΛYSΘ αὐτῷ ΛYSΘ(αὑ-)VN 10 ζῆλος supplevi sequens Syr(ζῆλος vel ἔρως vel simile quid): δᾶδ (id est Δαβὶδ) ER^a om cett v. intellege ζῆλος θεοῦ vel ζῆλος καλῶν ἔργων (cf Tit 2, 14). scil δᾶδ est glossa, qua vocem plerumque sensu peiore (= ἔρις, φθόνος similia) usitatam et ideo a plerisque suppressam defendere voluit scriba pervetustus delegans ad Ps 68, 10 similia. δι' αὑτοῦ ΛYΘP δέρης ΘN: δέρρης cett(-ις YC)v post κάλλος eras in marg 26 litt Θ 11 σοι om P ἄλλος: ἕτερος Σ 13 ὁ pr om R^aΛYSΘ 14 περιλαμπόμενος τῷ τραχήλῳ T 15 χαρίτων om P ante σῇ add τῇ P κεφαλῇ ΛYSΘΣ 16 σῷ: τῷ v 18 δ' om v λόγον om V προθεῖναι TN 19 ὃν οἱ: οἷον E(corr E^2) οἷον οἱ SΘ

ἔστι δὲ ἡ λέξις αὕτη· Ὁμοιώματα χρυσίου ποιήσομέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου, ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ. τούτων δὲ τῷ μὲν πρὸς τὸν εἱρμὸν βλέποντι τῆς προαποδοθείσης ἡμῖν θεωρίας δοκεῖ πως ἡ διάνοια συνηρτῆσθαι καὶ τὸ ἀκόλουθον ἔχειν, ἡ δὲ λέξις ἐμβαθύνουσα ταῖς τροπικαῖς σημασίαις δυσκατανόητον ποιεῖ τὸ διὰ τῶν αἰνιγμάτων δηλούμενον. ἐπειδὴ γὰρ τὸ τῆς ψυχῆς κάλλος τῇ ἵππῳ τῇ καθαιρετικῇ τῶν Αἰγυπτίων ἁρμάτων ἀφωμοιώθη (τουτέστι τῇ ἀγγελικῇ στρατιᾷ), τῇ δὲ ἵππῳ ἐκείνῃ φησὶν ὁ καλὸς ἐπιβάτης χαλινὸν μὲν εἶναι τὴν καθαρότητα, ἣν διὰ τοῦ ὁμοιῶσαι τὰς σιαγόνας ταῖς τῆς τρυγόνος ἐσήμανε, κόσμον δὲ περιαυχένιον τοὺς ποικίλους ὅρμους τοὺς διὰ τῶν ἀρετῶν περιστίλβοντας, βούλονταί τινα καὶ οἱ φίλοι προσθήκην τῷ κάλλει τῆς ἵππου ποιήσασθαι ἐξ ὁμοιωμάτων χρυσίου κατακοσμοῦντες τὰ φάλαρα, οἷς ἐνστίζουσι καὶ τοῦ ἀργυρίου τὴν καθαρότητα, ὡς ἂν μᾶλλον διαλάμποι τὸ κάλλος τοῦ προκοσμήματος τῆς αὐγῆς τοῦ ἀργυρίου πρὸς τὴν λαμπηδόνα τοῦ χρυσίου συγκιρναμένης. ἀναγκαῖον δ' ἂν εἴη τὰς τροπικὰς

1 Cant 1,11/12; cf Origen Comm II p 156,27/8, qui eodem modo dist

ER^a ΛYSΘ Σ PVT CN Syr 1 post ἡ 1 vel 2 litt eras T ποιήσομέν ER^aS(-ο- in ras)ΘΣC^2(ex -ω-)N LXX: ποιήσω μὴν P ποιήσωμέν cett v 2 ἀργύρου P v οὗ om ER^a Σ v 3 τοῦτο Λ τὸν om P 5 ἔχει P 6 τὸ: τῷ C(corr C^2) 9 στρατείᾳ C(corr C^2)N φησιν ἐκείνη ΛYSΘ ἐκείνῃ om PV 11 τοῦ: τὸ Θ τὰς σιαγόνας ταῖς τῆς τρυγόνος Syr: ταῖς σιαγόσιν τῆς τρυγόνος Σ τὰς σιαγόνας ταῖς τρυγόσιν cett v τρυγόσιν ἐνεσήμηνεν E(litt -ιν ἐν- corr in ras ead ut vid man) ἐσήμανε ΛYPVT: ἐσήμηνεν Σ ἐσήμαινε SΘC(eras ι)N ἐνεσήμηνε R^a ἐνεσήμαινε v 12-13 τοὺς alt — περιστίλβοντας om T 13 post βούλονται add δὲ Θ$Λ^2$(litt-ται δὲ ex corr) προσθήκην coll ante τινὰ Σ 14 χρυσοῦ P(corr ex-ίου)V 15 κατακοσμοῦντας V et ante τὰ add τὰς προμετωπίδας et post φάλαρα add τὰ κατὰ μέσον τῆς περικεφαλαίας κρεμάμενα ΛY(μέσην) ad φάλαρα not in marg τὰς περὶ μετωπίδας $Σ^2$ φάλερα v λάφυρα R^a ἐνστήξουσι Y ἀργύρου P χρυσίου SΘ 16 ἂν om Θ διαλάμπῃ PVN -πει C 17 προσκοσμήματος Θ(corr $Θ^1$) κοσμήματος T ἀργύρου v τοῦ ἀργυρίου om ΛY λαμπρότητα SΘ 18 χρυσίου: ἡλίου Θ σκιρναμένης R^a συγκιρνομένης C(corr C^2)N

ἐμφάσεις καταλιπόντας τῆς ὠφελούσης ἡμᾶς διανοίας μὴ ἀποστῆσαι τὸν λόγον. προσεικάσθη μὲν ἐκείνη τῇ ἵππῳ ἡ
820 M. διὰ τῶν ἀρετῶν κεκαθαρμένη ψυχή· ἀλλ' οὔπω τοῦ λόγου γέγονεν ὑποχείριος οὐδὲ ἐβάσταξεν ἐφ' ἑαυτῆς τὸν ἐπὶ σωτηρίᾳ τοῖς τοιούτοις ἐποχούμενον ἵπποις· χρὴ γὰρ πρῶτον διὰ πάντων κατακοσμηθῆναι τὸν ἵππον, εἶθ' οὕτω τὸν βασιλέα ἔποχον δέξασθαι. εἴτε δὲ ἄνωθεν ἑαυτῷ ἐφαρμόζοι τὸν ἵππον ὁ κατὰ τὸν προφήτην ἐπιβαίνων ἐφ' ἡμᾶς τοὺς ἵππους καὶ ἐπὶ σωτηρίᾳ ἡμῶν ἐφ' ἡμῶν ἱππαζόμενος, εἴτε καὶ ἐν ἡμῖν γένοιτο ὁ ἐνοικῶν τε καὶ ἐμπεριπατῶν καὶ ἐπὶ τὰ βάθη τῆς ψυχῆς ἡμῶν διαδυόμενος, οὐδὲν διαφέρει κατὰ τὴν ἔννοιαν· ᾧ γὰρ ἂν τὸ ἓν ἐξ ἀμφοτέρων γένηται, συγκατωρθώθη καὶ τὸ λειπόμενον· ὅ τε γὰρ ἐφ' ἑαυτοῦ τὸν θεὸν ἔχων καὶ ἐν ἑαυτῷ πάντως ἔχει καὶ ὁ ἐν ἑαυτῷ δεξάμενος ὑπέβη τὸν ἐν αὐτῷ γεγονότα. οὐκοῦν μέλλει ὁ βασιλεὺς τῷ ἵππῳ τούτῳ ἐπαναπαύεσθαι. ταὐτὸν δέ ἐστιν ἐπὶ τῆς θείας δυνάμεως, καθὼς εἴρηται, καθέδρα τε καὶ ἀνάκλισις· ὁπότερον γὰρ ἂν ἐξ ἀμφοτέρων ἐν ἡμῖν γένηται, τὸ ἴσον

4-9 cf Habac 3, 8; Zachar 9, 9 10 cf II Cor 6, 16; cf Origen Comm II p 164, 26 sqq 10-11 ἐπὶ τὰ βάθη τῆς ψ. διαδυόμενος: unde? neque e philosophia Graecorum (cf Heracl frg B 45) neque ex usu LXX (cf ex. gr. Judith 8, 14) verbum διαδύεσθαι fluxisse videtur

ER^a ΛYSΘ Σ PVT CN Syr 1 καταλιπόντες P τῆς om v δ'ἀνοίας Θ (corr Θ^1) 2 ἀποστῆναι Θ τῇ ἵππῳ ἐκείνῃ T ἡ: καὶ C 3 οὔπου N 4 ὑπόχειρος V ἐβάσταζεν P ἐβάστασεν v ἐφ' om PV αὐτῆς PV 6 διακοσμηθῆναι PV 7 δέξασθαι om P εἴτε: εἴ τι Y ἑαυτὸν Θ ὑφαρμόζοι ER^{a}SΘΣP(-ει)VN, fort recte 9 ἐφ' ἡμῶν S (ut vid, eras) ΘΣPVT: ἐφ' ἡμᾶς N om ER^{a}ΛYv de Syr non liquet (paraphr) 8-9 τοὺς — ἡμῶν alt om C (scil leg idem quod N) 9 ἐφιππαζόμενος C 10 καὶ pr om PV ὁ om ER^{a}ΛYSΘ v Syr (ut vid) τε om P 12 ᾧ: ὧν Λ^2 (add ν) ὃ Syr τὸ ἓν om Syr τὸ om P ἓν om R^a (sscr R^{a2}) ΛYV γίνεται N γένοιτο T 14 αὐτῷ bis N πάντως — ἑαυτῷ om TC ὑπερέβη V 15 τὸν om S (add S^2) Θ ἐν αὐτῷ om PV μέλει Θ 17 δυνάμεως om P 18 ὁπότερον: ἀμφότερα ἀμφότερον P ἀμφότερα V ἂν om P post ἂν add ἓν N ἐν om PT γένηται ἐν ἡμῖν Σ γεγένηται καὶ PV

ἡ χάρις ἔχει. ἐπειδὴ τοίνυν οἱ ἑτοιμασταὶ τοῦ βασιλέως εὔθετον πρὸς ὑποδοχὴν αὐτῷ διὰ τῶν προκοσμημάτων τὸν ἵππον ποιοῦσι, ταὐτὸν δέ ἐστιν ἐπὶ θεοῦ τὸ ἔν τινι καὶ τὸ ἐπί τινος γενέσθαι, καταλιπόντες τὸ κατὰ τὴν τροπικὴν σημασίαν ἀκόλουθον οἱ παρασκευασταὶ καὶ θεράποντες κλίνην τὸν ἵππον ἐποίησαν· χρὴ γὰρ ἡμᾶς, φησίν, ὁμοιώματα χρυσίου ποιῆσαι μετὰ στιγμάτων τοῦ ἀργυρίου τὰ τοῦ ἵππου τὴν μορφὴν ὡραΐζοντα, ἵνα γένηται ὁ βασιλεὺς οὐκ ἐν καθέδρᾳ, φησίν, ἀλλ' ἐν ἀνακλίσει αὐτοῦ.

Ἡ μὲν οὖν ἀκολουθία τῆς λέξεως, καθὼς ὁ λόγος ὑπέδειξεν, τοῦτον ἔχει τὸν τρόπον, ἄξιον δὲ τοῦτο μὴ παραδραμεῖν ἀθεώρητον, τί δή ποτε οὐκ αὐτὸ τὸ χρυσίον εἰς κόσμον παραλαμβάνεται ἀλλὰ τοῦ χρυσίου τὰ ὁμοιώματα καὶ οὐκ αὐτὸς ὁ ἄργυρος ἀλλὰ τὰ ἐκ τῆς ὕλης ταύτης τῷ ὁμοιώματι τοῦ χρυσίου ἐγκροτούμενα στίγματα. ὃ τοίνυν περὶ τούτων ὑπενοήσαμεν τοιοῦτόν ἐστι· πᾶσα ἡ περὶ τῆς ἀρρήτου φύσεως διδασκαλία, κἂν ὅτι μάλιστα δοκῇ θεοπρεπῆ τινα καὶ ὑψηλὴν ἐμφαίνειν διάνοιαν, ὁμοιώματα χρυσίου ἐστίν, οὐκ αὐτὸ τὸ χρυσίον· οὐ γὰρ ἔστι παραστῆσαι δι' ἀκριβείας τὸ ὑπὲρ ἔννοιαν ἀγαθόν. κἂν Παῦλός τις ᾖ ὁ ἐν παραδείσῳ μυηθεὶς τὰ ἀπόρρητα, κἂν τῶν ἀλαλήτων ῥημάτων ἐπα-

16-20 cf Plato Epist VII p 341 b sqq 20 cf Plato Resp 508 e sqq 20-21 cf II Cor 12, 3/4

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἔχειν E (ut vid, eras ν) ἡτοίμασται (om οἱ) NC (corr αἱ ἑτ- C^2) 2 προσκοσμημάτων P τὸν om E (sscr E^2) 2-3 τῶν ἵππων Λ (corr Λ^2) 3 post ἐστι add καὶ ΛY ante θεοῦ add τοῦ P καὶ: κατὰ ΘS (? evan) τὸ alt om PT 4 τὸ: τὸν V κατὰ: ἐπὶ Θ τὴν om ΘC τροπὴν Θ 5 καὶ om CN θεραπεύοντες C 6 φησιν coll ante ἡμᾶς ΛYSΘ post ὁμοιώματα N ὁμοίωμα τί Y ante χρυσίου add τὰ N 7 τὴν τοῦ ἵππου coll PVN ταύτην τοῦ ἵππου (om et τὰ et τὴν) C 8 ὡραΐζεται C ὁ om V 9 φησίν om ΛYSΘ 10 οὖν om ΛY ἀπέδειξεν N 11 τοῦτο: τοῦτον T τοῦ YPV 13 ἀλλὰ — ὁμοιώματα om V χρυσίου: χθονίου Θ (ut vid, corr Θ^1) 14 τῆς om v 15 συγκροτούμενα E^2 (ex ἐγ-) R^a ἐνκρατούμενα C 16 ἡ om E (sscr E^2) ΘPVT 17 δοκεῖ ΣC^2 (ex -ῇ) v 18 ὁμοιώματα ΣPVCN Syr: ὁμοίωμα cett v ante χρυσίου add τοῦ ER^a T 19 διακριβείας παραστῆσαι Σ 20 ἀγαθῶν C (corr C^2) 21 ἄρρητα ΛYSΘ ῥημάτων om ΛY 21 κἂν — ἐπακροάσηται om Syr

κροάσηται, ἀνέκφραστα μένει περὶ θεοῦ τὰ νοήματα· ἄρρητα γάρ φησιν εἶναι τῶν νοημάτων τούτων τὰ ῥήματα. οἱ τοίνυν λογισμούς τινας ἡμῖν ἀγαθοὺς ἐντιθέντες περὶ τῆς τῶν μυστηρίων κατανοήσεως αὐτὸ μὲν εἰπεῖν ὅπως ἔχει φύσεως ἀδυνατοῦσι, λέγουσι δὲ ἀπαύγασμα δόξης, χαρακτῆρα ὑποστάσεως, μορφὴν θεοῦ, λόγον ἐν ἀρχῇ, λόγον θεόν· ἅπερ πάντα ἡμῖν μὲν τοῖς ἀθεάτοις ἐκείνου τοῦ θησαυροῦ χρυσίον δοκεῖ, τοῖς δὲ δυναμένοις ἀναβλέπειν πρὸς τὴν ἀλήθειαν ὁμοιώματά ἐστι χρυσίου καὶ οὐ χρυσὸς ἐν τοῖς λεπτοῖς τοῦ ἀργυρίου διαφαινόμενος στίγμασιν. ἀργύριον δὲ ἡ ῥηματικὴ σημασία ἐστί, καθώς φησιν ἡ γραφὴ Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου. τὸ τοίνυν διὰ τούτων δηλούμενον τοιοῦτόν ἐστιν ὅτι ἡ θεία φύσις πάσης ὑπέρκειται καταληπτικῆς διανοίας. τὸ δὲ περὶ αὐτῆς ἡμῖν ἐγγινόμενον νόημα ὁμοίωμά ἐστι τοῦ ζητουμένου· οὐ γὰρ αὐτὸ δείκνυσιν
821 M. ἐκείνου τὸ εἶδος, ὃ οὔτε τις εἶδεν οὔτε ἰδεῖν δύναται, ἀλλὰ δι' ἐσόπτρου καὶ δι' αἰνίγματος ἔμφασίν τινα σκιαγραφεῖ τοῦ ζητουμένου ἔκ τινος εἰκασμοῦ ταῖς ψυχαῖς ἐγγινομένην. πᾶς δὲ λόγος τῶν τοιούτων νοημάτων σημαντικὸς στιγμῆς

5-6 cf Hebr 1, 3 6 cf Phil 2, 6 cf Joh 1, 1 7 cf II Cor 4, 7 8 cf Plato Resp 516 b; Legg 897 d 10-11 cf Origen Comm II p 159, 19 sq 11 Prov 10, 20; cf Origen l. l. 26 13 sqq contra Origenem disputat, cf Origen Comm II p 161, 1 sqq 15 cf Plato Epist VII 343 b/c; Parm 132 d 16 cf Joh 1, 18; 5, 37 17 cf I Cor 13, 12; cf Origen in Joh XIII, 25 p 249, 29 sqq 17-18 cf Plato Critias 107 b-d; Resp 516 e (σκιὰς ἐκείνας)

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 μενεῖ Σ τὰ coll ante περὶ ΛYSΘ ante θεοῦ add τοῦ VTCN 2 τῶν — ῥήματα om Syr 3 ante λογισμοὺς add τοὺς v ἡμῖν τινὰς ΛYSΘ 4 ἐννοήσεως v εἰπεῖν om V (ante ἀδυνατοῦσι add V^{2}) ὅπερ Θ 5 λέγει CN λέγουσι in ras T ante χαρακτῆρα add καὶ ER^{a}v 6 ante ὑποστάσεως add τῆς Pv ἀρχῇ: αὐτῷ N θεόν ER^{a} ΣVN v Syr: θεοῦ cett 9 ὁμοιώματά ΘT Syr: ὁμοίωμα cett v οὐ: ὁ C χρυσὸς (cf p 85, 14 ἄργυρος): χρυσίον ER^{a}V v 10 ἀργύρου ΛPv διαφαινόμενον ER^{a}v 12 post δικαίου add ἐστί P 12-13 δηλούμενον: λαλούμενον V 15 ὁμοιώματά Θ 16 ἐκεῖνο ER^{a}ΛYSΘ v Syr (sed om τὸ εἶδος) τοῦ εἴδους C (corr C^{2}) οἶδεν ΛY οὔτε alt: οὐδὲ T 17 δι' alt om VT σκιογραφεῖ ΣPVT (corr ead m) CN v 18 ἐγγινομένη PTCN ἐγγινόμενον V 19 νοημάτων: ὀνομάτων P 19-p 87, 1 ἀμεροῦς τινος στιγμῆς P

τινος ἀμεροῦς δύναμιν ἔχει μὴ δυνάμενος ἐμφῆναι ὅπερ ἡ διάνοια βούλεται· ὡς εἶναι πᾶσαν μὲν διάνοιαν κατωτέραν τῆς θείας κατανοήσεως, πάντα δὲ λόγον ἑρμηνευτικὸν στιγμὴν βραχεῖαν δοκεῖν μὴ δυνάμενον τῷ πλάτει τῆς διανοίας συνεπεκτείνεσθαι. τὴν οὖν διὰ τῶν τοιούτων νοημάτων χειραγωγουμένην ψυχὴν πρὸς τὴν τῶν ἀλήπτων περίνοιαν διὰ μόνης πίστεως εἰσοικίζειν ἐν ἑαυτῇ λέγει δεῖν τὴν πάντα νοῦν ὑπερέχουσαν φύσιν. καὶ τοῦτό ἐστι τὸ παρὰ τῶν φίλων λεγόμενον, ὅτι σοὶ ποιήσομεν, ὦ ψυχή, τῇ καλῶς πρὸς τὴν ἵππον ἀπεικασθείσῃ ἰνδάλματά τινα τῆς ἀληθείας καὶ ὁμοιώματα (τοιαύτη γὰρ καὶ τοῦ τῶν λόγων ἀργυρίου ἡ δύναμις, ὡς ἐναύσματά τινα σπινθηροειδῆ δοκεῖν εἶναι τὰ ῥήματα μὴ δυνάμενα δι' ἀκριβείας ἐμφῆναι τὸ ἐγκείμενον νόημα), σὺ δὲ ταῦτα δεξαμένη ὑποζύγιόν τε καὶ οἰκητήριον γενήσῃ διὰ πίστεως τοῦ σοι ἐνανακλίνεσθαι μέλλοντος διὰ τῆς ἐν σοὶ κατοικήσεως· τοῦ γὰρ αὐτοῦ καὶ θρόνος ἔσῃ καὶ οἶκος γενήσῃ. τάχα δ' ἄν τις εἴποι τὴν τοῦ Παύλου ψυχὴν ἢ εἴ τις ἄλλη γέγονε κατ' ἐκείνην τῶν τοιούτων ἀξιοῦσθαι

2 cf Plato Resp 508 e sqq 7 cf Eph 3, 17 8 cf Phil 4, 7 17-18 cf Origen Comm II p 161, 10 sq

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 ἐμφᾶναι T 2 ὡς: ᾧ V ante διάνοιαν add τὴν V 4 δυναμένην ER^{a}TΛ^{2} (ex -ον) v τὸ πλάτος Λ^{2} (ex corr) 5 συνεκτείνεσθαι Σ νοημάτων: ῥημάτων PV 6 post ἀλήπτων 1 litt eras vid C διάνοιαν N 7 ante πίστεως add τῆς Σ ἐν ἑαυτῇ om P λέγειν δεῖν V (ν alt del) 8 τὸ: τῷ C (corr C^{2}) 9 post ὅτι sscr τί Λ^{2} ποιήσωμεν E (corr E^{2}) ΛYP (sed corr) VC (corr C^{2}) v τὴν ΣTCN: τὸν cett v 11 ὁμοιώματα: ἰδιώματα V (in marg ὁμοιώματα) καὶ om ER^{a} v τοῦ τῶν: τούτων τῶν CN τούτων v ante ἀργυρίου add τοῦ CN ἀργύρου v 12 ἐναύσματά ER^{a}SΘ (in marg ἐμπυρεύματα) ΣV Syr ('vestigia') v: ἐναυγάσματα TCN ἐναυγάσματι P ἐμπυρεύματα ΛY τινα ER^{a}v Syr: om cett σπινθηριοδῆ Y δοκεῖ N 13 ἐγκινόμενον R^{a} 15 ante πίστεως add τῆς P ἐπανακλίσει Θ (in marg νεσθαι) 16 ἔσῃ: εἶ ER^{a}v om Syr 17 τοῦ om ER^{a} v ἢ: καὶ ER^{a} v ἢ εἰ: ἡ ἥ N 17-18 ἢ — ἐκείνην om Syr 18 ἀξιοῦσθαι coll ante τῶν ΛYSΘ post ἀξιοῦσθαι add ἀκούειν Syr

ῥημάτων· ἐκεῖνος γὰρ σκεῦος ἐκλογῆς ἅπαξ γενόμενος καὶ ἐφ' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ εἶχε τὸν κύριον ἐν μὲν τῷ βαστάζειν αὐτοῦ τὸ ὄνομα ἐναντίον ἐθνῶν καὶ βασιλέων ἵππος γενόμενος, ἐν δὲ τῷ μηκέτι αὐτὸν ζῆν, ἀλλ' ἐν ἑαυτῷ δεικνύειν ζῶντα ἐκεῖνον καὶ δοκιμὴν διδόναι τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ οἶκος περιληπτικὸς τῆς ἀπεριλήπτου γενόμενος φύσεως.

Ταῦτα τῶν φίλων τοῦ νυμφίου τῇ καθαρᾷ καὶ παρθένῳ χαρισαμένων ψυχῇ (εἶεν δ' ἂν οὗτοι τὰ Λειτουργικὰ πνεύματα τὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν) τελειοτέρα πως γίνεται τῇ προσθήκῃ τῶν χαρισμάτων ἡ νύμφη. καὶ μᾶλλον προσεγγίσασα τῷ ποθουμένῳ, πρὶν τὸ κάλλος αὐτοῦ τοῖς ὀφθαλμοῖς ἐμφανῆναι, διὰ τῆς ὀσφραντικῆς αἰσθήσεως τοῦ ζητουμένου ἐφάπτεται οἷόν τινος χρωτὸς ἰδιότητα τῇ ὀσφραντικῇ δυνάμει κατανοήσασα καί φησιν ἐπεγνωκέναι αὐτοῦ τὴν ὀσμὴν τῇ εὐωδίᾳ τοῦ μύρου, ᾧ νάρδος ἐστὶ τὸ ὄνομα, ταύτῃ πρὸς τοὺς φίλους τῇ φωνῇ χρησαμένη Νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ. ὡς γὰρ ὑμεῖς, φησίν, οὐκ αὐτὸ τὸ ἀκήρατον τῆς θεότητος

1-3 cf Act 9, 15   4 cf Gal 2, 20   5 cf II Cor 13, 3   8 Hebr 1, 14; cf Origen Comm II p 156, 31; 160, 28   13 cf Plato Phaed 65 d   14 χρωτὸς ἰδιότητα: ad doctr Peripateticorum spectat. cf Aristox frg 132 (Wehrli, = Plutarch Alex IV) et quae Wehrli (l.l. p 87 sq) adnot   17 Cant 1, 12

ER^aΛYSΘ Σ PVT CN Syr 1 γενόμενος coll ante ἅπαξ ΛYS om Θ   post ἅπαξ add τῷ δεσπότῃ ER^aTv   2 ἐφ': ἀφ' P   κύριον: Χριστὸν Syr   τῷ: τὸ R^aΘ   βαστάζειν: σταλάζειν N (corr ead m, ut vid)   3 ἐναντίον: ἐνώπιον ΛYSΘ   post ἐθνῶν add τε Σ   γῐνόμενος C^2(ex -ε-)   4 ἑαυτῷ: αὐτῷ C   δεικνύναι ΣCN   4-5 ἐν αὐτῷ ζῆν ἐκεῖνον Syr (om δεικνύειν)   5 διδόναι δοκιμὴν V   διδόντα Θ   6 περιληπτικὸς E$R^a$$Λ^2$(-πτικὸς ex corr) Y(-κῶς) SΘΣv Syr (figur etym imit): περιεκτικὸς cett   γινόμενος E (corr E^2) PVT(ῐ ex ε corr) CN   8 χρησαμένων Θ   ἂν om v   ante τὰ 1 litt eras E   πνεῦμα C (corr C^2)   9 τὰ om P   10 σωτηρίαν: βασιλείαν P   τελειότερον v   πρόσθη (sic) P   11 καὶ: ὡς C^2(ex καὶ)   12 ἐκφανῆναι P   13 ὀσφρητικῆς ΛY   αἰσθήσεως om P   ἐφάπτεσθαι PVTCN   14 τῇ om ER^a v   16 ᾧ: οὗ ER^aCN v   ταύτης N   16-17 τῇ φωνῇ coll ante πρὸς Σ   17 μοι P   18 ὡς γάρ: ὥσπερ v   post φησίν add τὰ λειτουργικὰ πνεύματα V

χρυσίον ἀλλ' ὁμοιώματα διὰ τῶν χωρητῶν ἡμῖν νοημάτων τοῦ χρυσίου χαρίζεσθε, οὐ τηλαυγεῖ τῷ λόγῳ τὰ κατ' αὐτὸν ἐκκαλύπτοντες, ἀλλὰ διὰ τῆς βραχύτητος τῶν τοῦ λογικοῦ ἀργυρίου στιγμάτων ἐμφάσεις τινὰς παρασχόμενοι τοῦ ζητουμένου, οὕτω κἀγὼ διὰ τῆς εὐπνοίας τοῦ ἐμοῦ μύρου τὴν αὐτοῦ ἐκείνου εὐωδίαν τῇ αἰσθήσει
824 M. παρεδεξάμην. τοιοῦτον δέ τινα νοῦν δοκεῖ μοι τὸ λεγόμενον ἔχειν· ἐπειδὴ πολλῶν καὶ διαφόρων ἀρωμάτων ἄλλου κατ' ἄλλην ἰδιότητα εὐπνοούντων τεχνική τις καὶ ἔμμετρος μίξις τὸ τοιοῦτον ἀπεργάζεται μύρον μιᾶς τινος πόας εὐώδους ἐκ τῶν συνεμβαλλομένων, ᾗ ὄνομα νάρδος ἐστίν, ὅλῳ τῷ σκευάσματι παρεχομένης τὸ ὄνομα, τὸ δὲ ἐκ πάντων τῶν ἀρωματικῶν ἰδιωμάτων εἰς μίαν συνερανιζόμενον εὔπνοιαν ὡς αὐτὴν τοῦ νυμφίου τὴν εὐωδίαν ἡ κεκαθαρμένη αἴσθησις δέχεται, ταῦτα διὰ τῶν εἰρημένων παιδεύειν ἡμᾶς τὸν λόγον οἰόμεθα ὅτι ἐκεῖνο μέν, ὅ τί ποτε κατ' οὐσίαν ἐστί, τὸ πάσης ὑπερκείμενον τῆς τῶν ὄντων συστάσεώς τε καὶ διοικήσεως ἀπρόσιτόν τε καὶ ἀναφές ἐστι καὶ ἄληπτον, ἡ δὲ ἐν ἡμῖν διὰ τῆς τῶν ἀρετῶν καθαρότητος μυρεψουμένη εὐωδία ἀντ' ἐκείνου ἡμῖν γίνεται μιμουμένη τῷ καθ' ἑαυτὴν καθαρῷ τὸ τῇ φύσει ἀκήρατον καὶ τῷ ἀγαθῷ τὸ ἀγαθὸν καὶ τῷ ἀφθάρτῳ τὸ ἄφθαρτον καὶ τῷ ἀναλλοιώτῳ τὸ

18 cf ex. gr. Plato Phaedr 247 c

ER^a ΛYS Σ PVT CN Syr Θ(inde a 15 ταῦτα deff foll 12) 1 χωρητικῶν V   χαριτῶν N   ὑμῖν S (ὑ corr in ras)   2 τοῦ om V   χαρίζεσθαι Λ(corr $Λ^2$) Y^2(ex -εται) PVC(corr C^2) N   τη αὐγεῖ Σ   τηλαυγῆ C   τά: τὸ Θ   2-3 τὰ κατ' om Syr   3 αὐτῶν Θ   ἐγκαλύπτοντες P   τῆς om ΛY   βραδύτητος ER^av   4 ἀργύρου v   5 παρασχόμενος V   ζητουμένου: ζῆν C   ἐπινοίας ΛYSΘ   5-6 οὕτω — μύρου om V   6 τοῦ μύρου τοῦ ἐμοῦ Θ   αὐτὴν ER^aΘv   7-p 90, 5 τοιοῦτον — δίδωσι om V   8 ἀρμάτων R^a ἄλλου: ἀλλ' οὐ N v   9 σύμμετρος Σ   10 τοιοῦτος R^a εὐωδίας R^a 10-11 εὐώδους ἐκ: εὐωδούσης CN   12 παρεχομένη C παρερχομένη N   18 τε om ΣPTCN   ἀναφές: ἀφανὲς ΛYS ἀσαφές P   ἐστι om ER^a v   ἄληπτον ER^aΛYSPv: ἀκατάληπτον ΣTCN ἀκατάληπτον καὶ ἄληπτον Syr   19 τῶν ἀρετῶν coll post καθαρότητος Σ om P   20 τῷ: τὸ C(corr C^2)   21 τὸ pr: τῷ C(corr C^2) τὸν Syr (et sic quater masc pro neutr, scil secundum fidem scrupulosam eccl Syr)   τῇ om ΛYS   τὸ alt: τὸν N   22 φθαρτῷ S   τὸ pr: τὸν N   ἀλλοιωτῷ ΛYS

ἀναλλοίωτον καὶ πᾶσι τοῖς κατ' ἀρετὴν ἐν ἡμῖν κατορθουμένοις τὴν ἀληθινὴν ἀρετήν, περὶ ἧς φησιν Ἀμβακοὺμ ὁ προφήτης ὡς τοὺς οὐρανοὺς πάντας διαλαβούσης. οὐκοῦν ἡ ταῦτα πρὸς τοὺς φίλους τοῦ νυμφίου διεξιοῦσα, ὅτι τὴν ὀσμὴν αὐτοῦ ἡ ἐμὴ νάρδος ἐμοὶ δίδωσι, ταῦτά μοι καὶ τὰ τοιαῦτα δοκεῖ φιλοσοφοῦσα λέγειν ὅτι, εἴ τις πᾶν ἄνθος εὐωδίας ἢ ἄρωμα ἐκ τῶν ποικίλων τῆς ἀρετῆς λειμώνων ἀνθολογήσας καὶ πάντα ἑαυτοῦ τὸν βίον ἔμμυρον διὰ τῆς τῶν καθ' ἕκαστον ἐπιτηδευμάτων εὐοσμίας ἀπεργασάμενος διὰ πάντων γένοιτο τέλειος, πρὸς αὐτὸν μὲν τὸν θεὸν λόγον ὡς πρὸς ἡλίου κύκλον ἀτενῶς ἰδεῖν φύσιν οὐκ ἔχει, ἐν ἑαυτῷ δὲ καθάπερ ἐν κατόπτρῳ βλέπει τὸν ἥλιον· αἱ γὰρ τῆς ἀληθινῆς ἐκείνης καὶ θείας ἀρετῆς ἀκτῖνες τῷ κεκαθαρμένῳ βίῳ διὰ τῆς ἀπορρεούσης αὐτῶν ἀπαθείας ἐλλάμπουσαι ὁρατὸν ποιοῦσιν ἡμῖν τὸ ἀόρατον καὶ ληπτὸν τὸ ἀπρόσιτον τῷ ἡμετέρῳ κατόπτρῳ ἐνζωγραφοῦσαι τὸν ἥλιον. ταὐτὸν δέ ἐστιν ὡς πρὸς τὸ ἐγκείμενον νόημα ἢ ἀκτῖνας εἰπεῖν ἡλίου ἢ τῆς ἀρετῆς ἀπορροίας ἢ τὰς ἀρωματικὰς εὐωδίας· ὅ τι γὰρ ἂν ἐκ τούτων πρὸς τὸν τοῦ λόγου σκοπὸν ὑποθώμεθα, ἓν ἐξ ἁπάντων

3 cf Habac 3, 3   10 cf De Beatit VI p 1272 B (Migne); cf Plato Resp 516 a/b   11 cf II Cor 3, 18; I Cor 13, 12; Sap 7, 26

ER^a ΛYS Σ PVT CN Syr   1 ἐν om P   2 ἀληθινὴν: ἀλήθειαν ἣν P   post ἀρετὴν add νοοῦμεν PCN   ἀμβακοὺμ ER^{a}N LXX: ἀββακοὺμ cett v   3 ἡ: πρὸς Λ(eras)Y om ER^{a}v   4 τοῦ νυμφίου om P   ὀδμὴν ER^{a}v   5 ἐμοὶ om CN   καὶ τὰ τοιαῦτα om T   6 εἴ τις: εἰς v   εὐωδίας ἄνθος V   7 τῶν ἀρετῶν ΛYS   8 καὶ om v   ἔμμυρον E (exp et in marg scr ἓν μύρον pr m, corr in textu ἐμμῦρον et exp in marg ἓν μύρον E^2) R^{a}ΛYSTv Syr(ut vid): ἓν μύρον cett (C eras acc sup υ)   9 εὐοδμίας ER^a v   ἀπεργαζόμενος ΣTCN ante διὰ add καὶ T   10 ὡς πρὸς: ὥσπερ CN   11 ἐνιδεῖν ER^{a}ΣTv   αὐτῷ V   12 ἐκείνης om Σ   14 αὐτὸν P ἐνλάμπουσαι C(corr C^2)N ἐκλάμπουσαι ER^a v   τὸ: τὸν PV Syr 15 τὸ: τὸν Syr (vid supra)   16-18 ταὐτὸν — εὐωδίας om V 17 ἐγκείμενον: ἐκεῖνον N   ἢ pr om PCN Syr   ἀκτῖνα ΛYS(corr S^2)   ἔπειν NC(ut vid, corr C^2)   ante ἡλίου add τοῦ T   ἢ alt ex corr Λ(vel Λ^2) καὶ Syr om N   18 ante ἀπορροίας add τὰς CN   ἢ: καὶ Syr   ἂν ἐκ: ἄνευ V   τούτων: τούτου VTCN

ἐστὶ τὸ ἐγγινόμενον νόημα τὸ διὰ τῶν ἀρετῶν ἡμῖν τοῦ πάντα νοῦν ὑπερέχοντος ἀγαθοῦ τὴν γνῶσιν ἐγγίνεσθαι, ὥσπερ ἔστι διά τινος εἰκόνος τὸ ἀρχέτυπον κάλλος ἀναλογίσασθαι. οὕτω καὶ Παῦλος, ἡ νύμφη, ὁ διὰ τῶν ἀρετῶν τὸν νυμφίον μιμούμενος καὶ ζωγραφῶν ἐν ἑαυτῷ διὰ τοῦ εὐώδους τὸ ἀπρόσιτον κάλλος ἔκ τε τῶν καρπῶν τοῦ πνεύματος, ἀγάπης τε καὶ χαρᾶς καὶ εἰρήνης καὶ τῶν τοιούτων εἰδῶν, μυρεψῶν ταύτην τὴν νάρδον Χριστοῦ εὐωδίαν ἑαυτὸν ἔλεγεν εἶναι τὴν ἀπρόσιτον ἐκείνην καὶ ὑπερέχουσαν χάριν ἐν ἑαυτῷ ὀσφραινόμενος καὶ τοῖς ἄλλοις παρέχων ἑαυτὸν ὥσπερ τι θυμίαμα κατ'ἐξουσίαν ἀντιλαμβάνεσθαι, οἷς κατὰ τὴν προσοῦσαν ἑκάστῳ διάθεσιν ἢ ζωοποιὸς ἐγίνετο ἢ θανατηφόρος ἡ εὔπνοια· ὡς γὰρ τὸ αὐτὸ μύρον, εἰ κανθάρῳ καὶ περιστερᾷ προστεθείη, οὐ ταὐτὸν ἐφ' ἑκατέρων ἐργάζεται, ἀλλ'ἡ μὲν περιστερὰ ῥωμαλεωτέρα διὰ τῆς εὐπνοίας τοῦ
825 M. μύρου γίνεται, ὁ δὲ κάνθαρος φθείρεται, οὕτω καὶ ὁ μέγας Παῦλος, τὸ θεῖον ἐκεῖνο θυμίαμα, εἰ μέν τις ἦν περιστερὰ κατὰ Τίτον ἢ Σιλουανὸν ἢ Τιμόθεον, συμμετεῖχεν αὐτῷ

1-2 cf ex. gr. Vita Moys 373 B(Migne); De Inst p 48, 4 sqq; 49, 7 sqq (Vol VIII, 1 Jaeger). De fonte philos satis constat. cf in primis Plato Theaet 176 a sqq   2 cf Plato Resp 508 e sqq   3 cf ex. gr. De mortuis 509 B sqq; De an et res 89 B (Migne); cf Athanas Contra Gentes 2, PG 25, p 8 B (Migne) 6-7 cf Gal 5, 22   8 sqq cf II Cor 2, 15-17; cf Eph 5, 2   16 cf (Aristot) Mirab Ausc 147: Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς ἀποθνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ ἢ δῷ τι μεμυρισμένον φαγεῖν, ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς. cf Aelian Nat anim I 38 et IV 18.

ER^a ΛYS Σ PT CN Syr (V)   1 τὸ — ἡμῖν om Syr   2 νοῦν: νῦν E (sscr o E^2)   et scr ἡ γνῶσις et om ἐγγίνεσθαι Syr   4 παύλου Y 4-p 93,16 οὕτω—αὐλισθήσεται om V   5 ἐν om ER^{a}v   εὐώδους restitui: εἴδους CN βίου cett v διὰ τῶν ἀρωμάτων καὶ τοῦ βίου Syr 6 κάλλους C(eras υ)   τε om N   7 post χαρᾶς eras 7 vel 8 litt S 8 ἑαυτῶ N   ἑαυτὸν coll ante εὐωδίαν Σ coll post ἔλεγεν ER^{a}v 10 ἑαυτὸν παρέχων v   11 θυμίαμά τι v   οἷς: ὃς ER^{a}Λ^2 (ex οἷς)v   13 ἡ eras EΛ om R^{a}v   ὡς γὰρ: ὥσπερ ΛYv 13-14 et κάνθαρος et περιστερὰ v   14 προτεθείη STCN   ἑκατέρω P ἐπ' ἀμφοτέρων v   15-16 γίνεται coll ante διὰ Σ   17 τὸ om Σ (sscr Σ^2)   18 κατὰ: ἢ v

τῆς εὐωδίας τοῦ μύρου προκόπτων ἐν παντὶ καλῷ τοῖς κατ' αὐτὸν ὑποδείγμασιν, εἰ δὲ Δημᾶς τις ἦν ἢ Ἀλέξανδρος ἢ Ἑρμογένης, οὐ φέροντες τὸ τῆς ἐγκρατείας θυμίαμα κανθάρων δίκην ὑπὸ τῆς εὐωδίας ἐφυγαδεύοντο. οὗ χάριν ἔλεγεν ὁ τοῖς τοιούτοις εὐπνοῶν μύροις ὅτι Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. εἰ δέ τι συγγενὲς καὶ ἡ εὐαγγελικὴ νάρδος ἔχει πρὸς τὸ μύρον τῆς νύμφης, ἔξεστι τῷ βουλομένῳ διὰ τῶν γεγραμμένων ἀναλογίσασθαι, τίς ἦν ἐκείνη ἡ νάρδος ἡ πιστική, ἡ πολύτιμος, ἡ καταχεθεῖσα μὲν τῆς κεφαλῆς τοῦ κυρίου, πάντα δὲ τὸν οἶκον τῆς εὐωδίας πληρώσασα· τάχα γὰρ οὐκ ἀπεξένωται τοῦ μύρου τὸ μύρον, ὃ τῇ νύμφῃ μὲν τὴν ὀσμὴν τοῦ νυμφίου δίδωσιν, ἐν δὲ τῷ εὐαγγελίῳ αὐτοῦ καταχεθὲν τοῦ κυρίου πληροῖ τῆς εὐωδίας τὸν οἶκον, ἐν ᾧ τὸ συμπόσιον ἦν. δοκεῖ γάρ μοι κἀκεῖ προφητικῷ τινι πνεύματι προμηνῦσαι διὰ τοῦ μύρου ἡ γυνὴ τὸ τοῦ θανάτου μυστήριον, καθὼς μαρτυρεῖ τοῖς παρ' αὐτῆς γεγενημένοις ὁ κύριος λέγων ὅτι Προέλαβεν εἰς τὸ ἐνταφιάσαι με. καὶ τὸν οἶκον τὸν πληρωθέντα τῆς εὐωδίας ἀντὶ παντὸς τοῦ κόσμου καὶ ὅλης τῆς οἰκουμένης νοεῖν ὑποτίθεται εἰπὼν ὅτι

1 cf I Tim 4, 12-15; Phil 1, 25   2 Δημᾶς cf II Tim 4, 10; Ἀλέξανδρος cf II Tim 4, 14   3 Ἑρμογένης cf II Tim 1, 15   5 sqq II Cor 2, 15/6   10-11 cf Joh 12, 3; cf Origen Comm II p 166, 6 sqq   11 cf Marc 14, 3   12 cf Joh 12, 3   19 προέλαβεν Marc 14, 8; τὸ ἐνταφιάσαι με Matth 26, 12   20-21 cf Origen Comm II p 166, 17-19

ER^{a} ΛYS Σ PT CN Syr   1 μύρου PTCNvΣ^{2}(in marg cum nota γρ): βίου ER^{a}ΛYSΣP(sscr) μύρου καὶ βίου Syr   2 Δημᾶς: ἐλυμᾶς(sic) P(scil e coniectura)   4 καθάρων R^{a} 5 τοῖς om PTCN   7 ante θανάτου add ἐκ TCN   ante ζωῆς add ἐκ TCN   8 post τί 1 litt eras C   ἡ om Y(sscr Y^{2}) ἀγγελικὴ Syr   10 (τί)ς legi non potest, fort eras T   11 τῇ κεφαλῇ CN   12 δὲ: μὲν NC(eras et sscr δὲ C^{2})   γὰρ: μὲν P   14 ὀδμὴν ER^{a}v   δὲ om ER^{a} 15 καταχυθὲν v   post πληροῖ add δὲ E^{2}(sscr)R^{a} 16 ἦν om P   κἀκεῖ ER^{a}ΛYSΣ v Syr: καὶ P om TCN   17 προμηνῦσαι coll post μύρου TCN   18 τοῖς: τοῖ (sic) N   γεγενημένης P λεγομένοις N(corr ead m ut vid)   20 τὸν alt om v   τῆς: εἰς Y   21 τῆς om Σ   εἰωκουμένης N

Ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, ἡ ὀσμὴ τοῦ μύρου συνδιαδοθήσεται τῷ τοῦ εὐαγγελίου κηρύγματι καὶ μνημόσυνον ἔσται, φησί, ταύτης τὸ εὐαγγέλιον. οὐκοῦν ἐπειδὴ ἐν μὲν τῷ Ἄισματι τῶν ᾀσμάτων ἡ νάρδος τὴν ὀσμὴν τοῦ νυμφίου τῇ νύμφῃ δίδωσιν, ἐν δὲ τῷ εὐαγγελίῳ ὅλου τοῦ σώματος τῆς ἐκκλησίας ἐν πάσῃ τῇ οἰκουμένῃ καὶ ἐν παντὶ τῷ κόσμῳ χρῖσμα ἡ εὐωδία γίνεται ἡ τότε τὸν οἶκον πληρώσασα, τάχα τις εὑρίσκεται κοινωνία διὰ τούτων ἐν ἀμφοτέροις, ὡς ἓν τὰ δύο δοκεῖν.

Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἡ δὲ ἐφεξῆς ῥῆσις καταλλήλως μὲν τῇ τοῦ ἐπιθαλαμίου δράματος ὑποθέσει ὡς παρὰ τῆς ἐν παστάδι παρεσκευασμένης ἔχειν δοκεῖ, μείζονα δὲ καὶ τελειοτέραν ἐμφαίνει φιλοσοφίαν, ἣν κατορθῶσαι μόνων τῶν ἤδη τετελειωμένων ἐστίν. τί οὖν ἐστι τὸ εἰρημένον; Ἀπόδεσμος στακτῆς ἀδελφιδός μου ἐμοί· ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται· φασὶν ἐπιμέλειαν εἶναι ταῖς φιλοκόσμοις τῶν γυναικῶν μὴ τοῖς ἔξωθεν προκοσμήμασι μόνον ἐπινοεῖν ἑαυταῖς τὸ ἐπὶ τῶν συμβιούντων ἐράσμιον,

1 Matth 26, 13. Cum sententiae tum verba singula et Joh et Marc et Matth (sed non Luc!) mirum in modum inter se mixtae sunt. Nonne Gregorius collatione illa eccl orient, Tatiani Διὰ τεσσάρων, usus est? Immo invenies omnia in versione Arabica cap XXXIX (Tatians Diatessaron aus d. Arab. übers. v. E. Preuschen, p 185)   4-9 cf Origen Comm II p 166, 22-26   15 Cant 1, 13

ER^{a}ΛYSΣ PT CN Syr (V)   2 ἡ om P   μύρου YΣTCN Syr: ἔργου ER^{a}ΛY(in marg cum nota γρ)SΣ^{2}(in marg cum nota γρ) Pv   συνδοθήσεται P   3 φησὶν ἔσται PCN   4 ἐπειδὴ om ER^{a} v   5 τὴν νύμφην C(corr C^{2})   διαδίδωσιν P   7 χρῖσμα ἡ ΣPTCN Syr: χριστοῦ ER^{a}ΛYS(χῦ, υ in ras)T^{2}(in marg cum nota γρ)v   ἡ alt om C   7-8 τότε coll post οἶκον N om Syr   8-9 διὰ τούτων κοινωνία ER^{a} v   11 ἐπιθαμίου P   δραμόντος ER^{a} τῆς: τοῦ Y   12 παρασκευασμένης CN   13 μόνον Yv   15 ὑπόδεσμος P(sed corr)   ante στακτῆς add τῆς ER^{a}v LXX   ἀδελφιδούς ΛY ἀδελφιδοῦς PTC   μου: μοι C om P   16 μασθῶν Nv   post φασὶν add γὰρ V   ἐπιμέλειαν εἶναι coll post 17 γυναικῶν T   ταῖς: τοῖς C(corr C^{2})N   18 ἐπινοεῖν: ἐπανθεῖν T   αὐταῖς ΛYSV   συμβιούντων ἐράσμιον: συμεράσμιον V   ἐράσμιον om v

ἀλλ' ἐπιτηδεύειν διά τινος εὐπνοίας ἡδίω τὰ σώματα τοῖς ἑαυτῶν ἀνδράσι φαίνεσθαι τὸ καταλλήλως ἐνεργοῦν πρὸς τὴν τοιαύτην χρείαν ἄρωμα ἐντὸς τῆς κατὰ τὴν ἐσθῆτα περιβολῆς ἀποκρύπτουσαι· οὗ τὸν οἰκεῖον ἀτμὸν ἐκδιδόντος καὶ τὸ σῶμα τῇ τοῦ ἀρώματος εὐπνοίᾳ συγκαταχρώννυται.
828 M. ταύτης δὲ οὔσης ἐν αὐταῖς τῆς συνηθείας οἷον τολμᾷ ἡ μεγαλόφρων αὕτη παρθένος. ἐμοί, φησίν, ἀπόδεσμος, ὃν ἐξαρτῶ τοῦ αὐχένος ἐπὶ τὸ στῆθος, δι' οὗ τὴν εὐοσμίαν παρέχω τῷ σώματι, οὐκ ἄλλο τι τῶν εὐπνοούντων ἀρωμάτων ἐστίν, ἀλλ' αὐτὸς ὁ κύριος στακτὴ γενόμενος ἔγκειται ἐν τῷ ἀποδέσμῳ τῆς συνειδήσεως, αὐτῇ μου τῇ καρδίᾳ ἐναυλιζόμενος. ἡ γὰρ τοπικὴ τῆς καρδίας θέσις ἐν τῷ μέσῳ τῶν μαζῶν παρὰ τῶν τὰ τοιαῦτα ἐπεσκεμμένων εἶναι λέγεται. ἐκεῖ δέ φησιν ἡ νύμφη ἔχειν τὸν ἀπόδεσμον, ἐν ᾧ τόπῳ τὸ ἀγαθὸν θησαυρίζεται. ἀλλὰ καὶ πηγήν τινα τοῦ ἐν ἡμῖν θερμοῦ τὴν καρδίαν φασίν, ἀφ' ἧς διὰ τῶν ἀρτηριῶν ἐφ' ἅπαν ἡ θερμότης τὸ σῶμα καταμερίζεται, δι' ἧς ἔνθερμά τε καὶ ζωτικὰ τὰ μέλη τοῦ σώματος γίνεται τῷ πυρὶ τῆς καρδίας ὑποθαλπόμενα, ἡ τοίνυν ἐν τῷ ἡγεμονικῷ παραδεξαμένη τοῦ κυρίου τὴν εὐωδίαν καὶ τὴν καρδίαν ἑαυτῆς ἔνδεσμον τοῦ τοιούτου ποιήσασα θυμιάματος πάντα τὰ καθ' ἕκαστον τοῦ βίου ἐπιτηδεύματα οἷόν τινος σώματος μέλη ζέειν

11 cf Origen Comm I p 93, 25; II p 170, 12sqq 12 cf ex. gr. Aristot De part anim p 665 b 18; 666 a 14; 688 a 19 sqq 14-15 cf Matth 6, 21 15-19 cf ex. gr. Aristot De vita et mort p 469 b 10 sqq

ERᵃ ΛYS Σ PVT CN Syr 1 post ἡδίω eras 1 litt E ἡδέας C (eras ς)N ἡδείας P ἡδέα V 2 post φαίνεσθαι add ἡδέα P 3 τῆς: τοῖς E(corr E^2) 3-4 et τῇ et περιβολῇ C(corr C^2)N 4 περιβολὴν V ἀποκρυπτούσαις ERᵃv litt -υσαι corr in ras Σ ἐνδιδόντος Y 5 εὔχνοια E (corr E^2) συγκαταχροννύναι Λ(corr -ω-$Λ^2$)S συγκαταχώννυσθαι V 6 τοιαύτης Syr δὲ om V τολμᾷ: τὸ ἅμα NC(corr τι et sscr μ C^2) τί ἅμμα T (in marg γρ τολμᾶ T^2) 6-7 αὕτη coll ante ἡ ERᵃ v 8 ἐξαρτῶν S εὐοδμίαν ERᵃ εὐωδίαν ΛYSΣ 9-10 ἐστὶν ἀρωμάτων Σ 12 διάθεσις PVTC 14 ἔχειν ΛYSΣPTv Syr: ἔχει ERᵃVNC ἔχειν ἡ νύμφη Σ τὸν: τὸ N 16 θερμοῦ: θρ — ῦ N(5 vel 6 litt oblitt, corr m pr ut vid) 20 κυρίου (cf supra 10) ΛYS Syr: χριστοῦ cett τὴν Χριστοῦ εὐωδίαν v αὐτῆς ERᵃPTv om V 21 et τῷ τοιούτῳ et θυμιάματι T 22 οἷόν — μέλη om Syr

παρασκευάζει τῷ ἐκ τῆς καρδίας διήκοντι πνεύματι μηδεμιᾶς ἀνομίας τὴν πρὸς τὸν θεὸν ἀγάπην ἐν μηδενὶ μέλει τοῦ σώματος καταψυχούσης.

Ἀλλ' ἐπὶ τὸν ἐφεξῆς λόγον μετέλθωμεν. ἀκούσωμεν, τί ἡ ἄμπελος ἡ εὐθηνοῦσα περὶ τῶν καρπῶν ἑαυτῆς διαλέγεται ἡ ἐν πᾶσι τοῖς κλίτεσι τῆς τοῦ θεοῦ οἰκίας, καθώς φησιν ὁ προφήτης, διηπλωμένη καὶ διὰ τῶν τῆς ἀγάπης ἑλίκων περιελισσομένη τῇ θείᾳ τε καὶ ἀκηράτῳ ζωῇ. Βότρυς, φησί, τῆς κύπρου ἀδελφιδός μου ἐμοὶ ἐν ἀμπελῶνι ἐν Γαδί. τίς οὕτω μακάριος, μᾶλλον δὲ τίς οὕτω κρείττων πάσης μακαριότητος, ὥστε τὸν ἴδιον καρπὸν βλέπων ἐν αὐτῷ τῷ βότρυϊ τῆς ἑαυτοῦ ψυχῆς ὁρᾶν τὸν τοῦ ἀμπελῶνος δεσπότην; ἰδοὺ γὰρ ὅσον ηὐξήθη ἐν τῇ ἰδίᾳ νάρδῳ τοῦ νυμφίου ἐπιγνοῦσα τὴν εὔπνοιαν· ἡ στακτὴν αὐτὸν εὐώδη ποιησαμένη καὶ διαλαβοῦσα τῷ τῆς καρδίας ἐνδέσμῳ τὸ ἄρωμα, ὡς ἂν παραμένοι αὐτῇ τὸ ἀγαθὸν διὰ παντὸς ἀδιάπνευστον, μήτηρ τοῦ θείου βότρυος γίνεται τοῦ πρὸ μὲν τοῦ πάθους κυπρίζοντος, ὅπερ ἐστὶν ἀνθοῦντος, ἐν δὲ τῷ πάθει τὸν οἶνον προχέοντος. ὁ γὰρ τὴν καρδίαν ἡμῶν εὐφραίνων οἶνος αἷμα σταφυλῆς

5-6 cf Ps 127, 3 8 Cant 1, 14 16-p 97, 9 cf Origen Comm II p 171, 5-23 18 cf Matth 26, 28 et parallel 19 cf Ps 103, 15; αἷμα σταφυλῆς cf Deut 32, 14

ERᵃ ΛYS Σ PVT CN Syr 1 παρασκευάσει ERᵃΛYSP (σ in ras, suberat ut vid ζ)T παρεσκευάσθη V παρασκευάηει N(sed corr, scil ex exempl unciali H pro Z describens) τῷ: τὸ N 2 τὸν om ΛYSP 3 καταψυχούσης ERᵃPTv: καταψυγούσης cett, an recte? 4 ἑξῆς ERᵃPVv μετέλθωμεν λόγον Σ ἀκούσομεν Σ 5 περὶ: διὰ P τὸν καρπὸν C(corr C^2) αὐτῆς v 6 οἰκίας τοῦ θεοῦ ΛYS 8 περϊειλισσομένη PT ἀκηράτῳ: 'inexhausta' Syr (vel sim quid) 9 ἀδελφιδοῦς PV(-ύ-) ἀμπελῶνι ERᵃΛYSΣ Syr et vid infra 12: ἀμπελῶσιν cett v LXX ἐνγάδι ΛYS(-γαδί): ἐνγαδδί E(ex ί corr εί et alt ε sscr E^2)ΣT ἐνγάδδει(vel-γαδδεῖ) PVCNv(Ἐγγαδδεί secund LXX) γαδδεῖ (om ἐν) Rᵃ, cf infra p 98, 1 10 οὕτω pr: οὗτος P μακάριος — πάσης om Rᵃ 11 αὐτῷ ERᵃSΣN v Syr: ἑαυτῷ Λ(corr $Λ^2$) YPVTC 12 post ὁρᾶν add δοκεῖ E^2(in marg cum nota ·/.) Rᵃ add δοκεῖν ΛYS 13 ante ἐν add ἡ SPV Syr(ut vid, sed dub rest) 14 ἡ: ἣν P στακτὴ v αὐτὴν Y αὐτῷ εὐώδης v 15 τὸ ἄρωμα om Syr 16 παραμένῃ PTCN αὐτὴ Σ ante μήτηρ add τί δὲ ἡ αὔξησις αὐτῆς; Syr 18 παθεῖν ΛYS 18-19 ἐκχέοντος V 19 ἡμῶν om TCN v

μετὰ τὴν τοῦ πάθους οἰκονομίαν γίνεταί τε καὶ ὀνομάζεται. διπλῆς οὖν οὔσης ἐν τῷ βότρυϊ τῆς ἀπολαύσεως, τῆς μὲν ἐκ τοῦ ἄνθους, ὅταν εὐφραίνῃ τῇ εὐοσμίᾳ τὰ αἰσθητήρια, τῆς δὲ διὰ τοῦ τελειωθέντος ἤδη καρποῦ, ὅταν ὑπάρχῃ κατ' ἐξουσίαν ἢ τῆς βρώσεως κατατρυφᾶν ἢ ἐν συμποσίοις τῷ οἴνῳ φαιδρύνεσθαι ἐνταῦθα ἡ νύμφη ἔτι τὸν ἀνθοῦντα βότρυν καρποφορεῖ κύπρον τὴν οἰνάνθην κατονομάζουσα· τὸ γὰρ γεννηθὲν <ἐν> ἡμῖν παιδίον, ὁ Ἰησοῦς ὁ ἐν τοῖς δεξαμένοις αὐτὸν διαφόρως προκόπτων σοφίᾳ τε καὶ ἡλικίᾳ καὶ χάριτι οὐκ ἐν πᾶσιν ὁ αὐτός ἐστιν, ἀλλὰ πρὸς τὸ μέτρον τοῦ ἐν ᾧ γίνεται, καθὼς ἂν ὁ χωρῶν αὐτὸν ἱκανῶς ἔχῃ, τοιοῦτος φαίνεται ἢ νηπιάζων ἢ προκόπτων ἢ τελειούμενος κατὰ τὴν τοῦ βότρυος φύσιν, ὃς οὐ πάντοτε μετὰ τοῦ αὐτοῦ
829 M. εἴδους ἐπὶ τῆς ἀμπέλου ὁρᾶται, ἀλλὰ συνεξαλλάσσει τῷ χρόνῳ τὸ εἶδος, ἀνθῶν, κυπρίζων, τελειούμενος, πεπαινόμενος, οἶνος γενόμενος. ἐπαγγέλλεται τοίνυν ἡ ἄμπελος τῷ ἰδίῳ καρπῷ, ὃς οὔπω μέν ἐστι πρὸς οἶνον ὥριμος, ἀλλ'

8 cf Contra Eunom Vol II p 341, 14 (Jaeger); cf Method Conv VIII, 8 (= p 90, 11-14); cf infra p 206, 12 sqq 8-9 cf Luc 2, 11; 28; 52 12 cf I Cor 3, 1-3; Hebr 5, 12; Phil 3, 12; Eph 4, 14/15

ER^a ΛYS Σ PVT CN Syr 1 τοῦ om S (sscr m ead ut vid) τε om PV 3 τῇ: τὰ P εὐόσμια P εὐοδμίᾳ ER^aΣ v εὐωδίᾳ ΛYS τὰ om P 5 συμποσίῳ TCN 6 εὐφραίνεσθαι Σ ἔτι ΛYSΣVT (τ corr in ras pr m ut vid): ἐπὶ PCN Syr et scr e coniectura αἰτεῖ et coll ante ἡ ER^av 7 καρποφορεῖν E^2 (add ν) R^av voce καρποφορεῖν transitive usus est ex. gr. Philo, Cherub 84: καρποφορεῖν ἀρετάς; cf infra p 98, 3-4 τὴν οἰνάνθην: τὰ νῦν ἄνθη E (in marg add ead m ἐν ἄλλῳ τὴν οἰνάνθην) in marg κύπρος οἰνάνθη ΛYS (add ἡ ante οἰν.) ante τὴν add τὰ νῦν ἐν ἄλλῳ R^a post γὰρ add κατὰ τὸν λόγον τοῦ προφήτου Syr 8 ἐν pr supplevi ὁ pr om ER^aVv ὁ alt om ΛYS 9 αὐτὸ T τε om ΛYS Σ 10 ἐν pr: ἂν P τὸ om N τοῦ: τὸν N^2 (ex τοῦ) 11 ante καθὼς add καὶ Syr ἱκανότητος Σ ἔχει ΣPN ἔχειν C (corr C^2) τοιούτοις R^a 14 ὁρᾶται coll ante ἐπὶ Σ 15 ante τὸ add καὶ Syr τὸ om Σ (sscr $Σ^2$) 16 γινόμενος ΛYSTC^2 τεινόμενος Σ οἶνος γενόμενος om v ἐπαγγέλλεται PVCNvSyr: ἐπαγάλλεται ER^a ΛYS (-αγά- in ras) Σ TC^2. cave ne coniecturam quamvis ingeniosam Byzantinorum praeferendam putes: vinea fructui suo, sicut mater infanti (cf supra 95, 16), praedicit (scil gloriam futuram). 17 ὡραῖος PV ὥριος E (exp et in marg add γρ ὥριμος) R^a (in marg bis γράφεται ὥριμος R^{a2}) 17-p 97, 1 ἀλλὰ μένει ER^aPVv

ἀναμένει τὸ πλήρωμα τῶν καιρῶν, οὐ μὴν ὡς εἰς τρυφὴν ἀναπόλαυστος· τὴν ὄσφρησιν γὰρ εὐφραίνει ἀντὶ τῆς γεύσεως τῇ προσδοκίᾳ τῶν ἀγαθῶν τοῖς ἀτμοῖς τῆς ἐλπίδος ἡδύνων τὰ τῆς ψυχῆς αἰσθητήρια· τὸ γὰρ πιστόν τε καὶ ἀναμφίβολον τῆς ἐλπιζομένης χάριτος ἀπόλαυσις τοῖς δι' ὑπομονῆς ἀπεκδεχομένοις τὸ προσδοκώμενον γίνεται. οὗτος οὖν ὁ τῆς κύπρου βότρυς ἐστί, βότρυς οἶνον ἐπαγγελλόμενος, οὔπω δὲ οἶνος γινόμενος, ἀλλὰ διὰ τοῦ ἄνθους (ἡ δὲ ἐλπὶς τὸ ἄνθος ἐστί) τὴν ἐσομένην χάριν πιστούμενος. ἡ δὲ τοῦ <ἐν> Γαδὶ προσθήκη σημαίνει τὸν πίονα χῶρον, ᾧ ἐνριζωθεῖσα ἡ ἄμπελος εὔτροφον καὶ ἡδὺν τὸν καρπὸν ἀπεργάζεται· οὕτω γὰρ οἱ τοπικῶς ἱστορήσαντες λέγουσι τὸν κλῆρον τοῦ Γὰδ ἐπιτηδείως ἔχειν πρὸς εὐτροφίαν βοτρύων. ἐπειδὴ τοίνυν ὁ τῷ νόμῳ τοῦ κυρίου σύμφωνον ἔχων τὸ θέλημα καὶ διὰ πάσης νυκτός τε καὶ ἡμέρας ταύτην τὴν μελέτην ποιούμενος ἀειθαλὲς γίνεται δένδρον ταῖς τῶν ὑδάτων ἐπιρροαῖς πιαινόμενος καὶ ἐν τῷ καθήκοντι καιρῷ τὸν καρπὸν παρεχόμενος, τούτου χάριν καὶ ἡ τοῦ νυμφίου ἄμπελος ἐν τῷ

1 cf Gal 4, 4; Eph 1, 10 4 cf II Cor, 1, 21/2 5-6 cf Rom 8, 24/5 10 cf Isai 5, 1; contra explicationem Origenis (cf Comm II p 170, 24/5) 12 unde? Certe nec ad Eusebii Onomastic nec ad Origen spectat. 12-13 cf Num 32, 1 et 29 (?) 14 sqq cf Ps 1, 2/3

ER^a ΛYS Σ PVT CN Syr 1 ὡς εἰς: ὡσεὶ N 2 ἀπόλαυστος V 3 τῶν ἐλπίδων ΛYS 4 ἀμφίβολον N (sscr να) 5 ante ἀπόλαυσις add ἡ E (sed eras) R^a v τοῖς: τῆς CT (ut vid, corr) 6 ἀπεκδεχομένης V οὕτως ER^av 7 βότρυς ἐστί om PVCN 8 γενόμενος VN 8-9 ἀλλὰ — πιστούμενος om Syr 9 πιστούμενον P 10 ἐν Γαδὶ correxi (cf infra 18 sq): γαδὶ ΛYS γαδδὶΣT γαδδεὶ cett Καδδεὶ v Ἐνγαδδει Syr ἐρριζωθεῖσα ΛYSPV 11 εὔστροφον Λ (corr $Λ^2$) Y ἡδὺ Λ (corr $Λ^2$) YVC (corr C^2) 11-12 οὕτω γὰρ om v 12 post γὰρ add καὶ ΛYSΣ ἱστορίσαντες C (corr C^2) N γὰδ SΣVTCN Syr: γαδὶ Λ γαδ' (sic) Y γάδδει P γαδδεὶ ER^a Καδδεὶ v 13 ante βοτρύων add τῶν V 14 τοῦ om Σ διὰ om P 15 τὴν om V 16 ἀειθαλὴς C (corr C^2) N ante δένδρον add τὸ P δένδρων C (corr C^2) τῶν om R^a ἐπιρροίαις PVC (ρ alt sscr C^2) 17 πιαινόμενος YSΣV Syr (ut vid): πιαινόμενον cett v καὶ VSyr: om cett v 17-18 παρεχόμενον P

Γαδί, τῷ πίονι τούτῳ τόπῳ ἐρριζωμένη (τουτέστιν ἐν βαθείᾳ τῇ διανοίᾳ τῇ διὰ τῶν θείων διδαγμάτων καταρδομένη) καὶ αὔξουσα τὸν εὐανθῆ τοῦτον καὶ κυπρίζοντα βότρυν ἐκαρποφόρησεν, ᾧ τὸν γεωργόν τε καὶ φυτηκόμον ἑαυτῆς ἐνορᾷ. ὡς μακάριον τὸ τοιοῦτον γεώργιον, οὗ ὁ καρπὸς πρὸς τὴν τοῦ νυμφίου ὁμοιοῦται μορφήν. ἐπειδὴ γὰρ φῶς ἀληθινόν ἐστιν ἐκεῖνος καὶ ἀληθινὴ ζωὴ καὶ δικαιοσύνη ἀληθής, καθὼς ἡ Σοφία φησί, καὶ πάντα τὰ τοιαῦτα, ὅταν τις διὰ τῶν ἔργων ταῦτα γένηται, ἃ ἐκεῖνός ἐστιν, οὗτος τὸν τῆς ἰδίας συνειδήσεως βότρυν βλέπων αὐτὸν τὸν νυμφίον ἐν τούτῳ βλέπει τῇ φωτεινῇ τε καὶ ἀκηλιδώτῳ ζωῇ τὸ φῶς τῆς ἀληθείας ἐνοπτριζόμενος. διὰ τοῦτό φησιν ἡ ἄμπελος ἡ εὐθηνοῦσα, ὅτι ἐμὸς βότρυς ὁ διὰ τοῦ ἄνθους κυπρίζων αὐτὸς ἐκεῖνός ἐστιν ὁ ἀληθινὸς βότρυς, ὁ ἐπὶ τῶν ξυλίνων ἀναφορέων ἑαυτὸν δείξας, οὗ τὸ αἷμα τοῖς σῳζομένοις τε καὶ εὐφραινο-

1 cf Isai 5, 1 5 cf I Cor 3, 9 6 cf II Cor 3, 18 et quae ad hunc loc explic Origen (in Joh XXXII 27, p 472) ex. gr. 472, 29 sqq: ··ὁ κεκαθαρμένος καὶ ὑπεραναβὰς πάντα ὑλικὰ νοῦς ··· ἐν οἷς θεωρεῖ θεοποιεῖται. 6-7 cf Joh 1, 9; cf I Joh 5, 20; cf De Perf p 175, 14 sqq (Vol VIII, 1 Jaeger) 7-8 cf Prov 1, 3 9 cf ex. gr. II Petr 1, 4-8 (ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως); cf Plato Resp 613 a; Theaet 176 b; cf De Perf l.l. p 212, 18 sq; 209, 24 sq; 192, 21/2 11-12 cf II Cor 3, 18; I Cor 13, 12; cf supra p 90, 12 sqq 12-13 cf Ps 127, 3 14 ὁ ἀληθινὸς βότρυς: cf Joh 15, 1 15 cf Joh 6, 53-56; εὐφραινομένοις: cf Deut 32, 43 (Rom 15, 10)

ER^a ΛYS Σ PVT CN Syr 1 γαδί ΛYS: γαδδὶ ΣT γαδδεῖ VCN γάδδει E(corr γαδδεὶ E^2)R^aP Κάδδει v ᾿Ενγαδδει Syr Gregorius nomen ᾿Εγγαδδεί interpretatus est ἐν Γαδί, scil Γαδὶ pro dativo nominis Γάδ usus. τῷ om T τούτῳ om ER^a v post τούτῳ add τῶ V 1-2 ἐν τῷ βάθει τῆς διανοίας Syr (paraphr) βάθει E(corr E^2) 2 διὰ om S(in marg add ead ut vid m) καταρδευομένη TC 4 τε om ER^av φυτοκόμον PVC αὐτῆς Λ(corr $Λ^2$) 5 ἐνερᾶ P ἐνορῶσα CN(sed corr) ὡς: ὡ vel ὦ C(corr C^2) 6-7 ἐστιν ἀληθινὸν ΛY 7 ante ζωὴ add ἡ C(eras) 8 καθὼς — φησί om Syr(scil non inveniens locum laud) 9 οὕτως N v 10 βλέπων βότρυν Σ 11 τούτῳ: τω R^a φωτεινῇ: φωνῇ P τε om P ἀκηράτῳ v 13 εὐθύνουσα PN post ὅτι add ὁ ΛYS τοῦ om ER^av ἄνθος v 14 τῶν ξύλων ἀναφέρων NC(corr τὸν ξύλον C^2) 15 δείξας eras C^2 τε καὶ εὐφραινομένοις om Σ

μένοις πότιμόν τε καὶ σωτήριον γίνεται, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος δ'

᾿Ιδοὺ εἶ καλή, ἡ πλησίον μου, (1,15)
ἰδοὺ εἶ καλή· ὀφθαλμοί σου περιστεραί.
᾿Ιδοὺ εἶ καλός, ἀδελφιδός μου, καί γε ὡραῖος. (16)
πρὸς κλίνῃ ἡμῶν σύσκιος,
Δοκοὶ οἴκων ἡμῶν κέδροι, (17)
φατνώματα ἡμῶν κυπάρισσοι.
᾿Εγὼ ἄνθος τοῦ πεδίου, (2,1)
κρίνον τῶν κοιλάδων.
῾Ως κρίνον ἐν μέσῳ ἀκανθῶν, (2)
οὕτως ἀδελφή μου ἀνὰ μέσον τῶν θυγατέρων.
῾Ως μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, (3)
οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν·
ὑπὸ τὴν σκιὰν αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα,
καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου.
Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου, (4)
τάξατε ἐπ' ἐμὲ ἀγάπην.
Στηρίσατέ με ἐν μύροις (5)
στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ.
Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου (6)

ER^a ΛYS Σ PVT CN Syr 1 ante ᾧ add ἐν Χριστῷ ᾿Ιησοῦ τῷ κυρίῳ ἡμῶν codd(om τῷ κυρίῳ ἡμῶν PCN)v om Syr post δόξα add καὶ τὸ κράτος ER^aTCN v 1-2 εἰς — ἀμήν om ΛP 2 τῶν αἰώνων om YSVCN post ἀμὴν add ἐτελειώθη λόγος δ' Syr 3 Λόγος δ': λόγος τρίτος C λόγος πέμπτος Syr ὁμιλία δ' YSP ante λόγος add τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων Σ 4 εἶ: ἡ ΣPC(corr C^2) 5 εἶ: ἡ E(corr E^2)ΣP ante ὀφθαλμοί add οἱ v περιστερᾶς v 6 εἶ: ὁ P εἶ ex corr E^2 ante ἀδελφιδός add ὁ ER^a LXX ἀδελφιδοῦς PV 7 πρὸς κλίνῃ scripsi (cf infra p 108, 1): πρὸς κλίνη T Syr LXX προσκλίνη SΣv πρὸς κλίνην cett σὺ κἶος C(corr C^2)N σύσσκιος Σ 8 οἴκων om v ἡμῶν om Syr ἡμῶν κέδροι: ἐμῶν δένδροι (sic) N 9 φανώματα V 10 post ἐγὼ add δὲ VCN 13 ἀδελφή: ἡ πλησίον v Syr LXX (sed cf p 115, 7) 15 ἀδελφιδοῦς P μέσων P 16 ἐν τῇ σκιᾷ v LXX 17 ὁ om v LXX ἐν om Syr τῷ om v LXX 18 οἶκον: οἶνον R^a 20 στηρίξατε v ἐν om v 22 ὑπό: ἐπὶ TCN τήν: τὴ N

καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.
Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, (7)
ἐν δυνάμεσι καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ,
ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ.

Φασὶ τοὺς τὸ χρυσίον τεχνικῶς ἐκκαθαίροντας, εἰ διά τινος
832 M. ῥυπαρωτέρας ὕλης κατ' ἐπιβουλὴν ἐμμιχθείσης ἀμαυρωθείη τῆς λαμπηδόνος τὸ κάλλος, τῇ διὰ τοῦ πυρὸς χωνείᾳ θεραπεύειν τὴν δύσχροιαν καὶ πολλάκις τοῦτο ποιεῖν καὶ καθ' ἑκάστην χωνείαν ἐπισκοπεῖν, ὅσον παρὰ τὴν προτέραν ἐν τοῖς ἐφεξῆς γέγονεν ὁ χρυσὸς εὐχροώτερος, καὶ μὴ πρότερον παύεσθαι τῷ πυρὶ τὴν ὕλην ἀποκαθαίροντας, ἕως ἂν αὐτὸ τοῦ χρυσίου τὸ εἶδος ἑαυτῷ μαρτυρήσῃ τὸ καθαρόν τε καὶ ἀκιβδήλευτον. τίνος δὲ χάριν τῆς παρούσης τῶν ἀνεγνωσμένων θεωρίας ἁπτόμενοι τούτων τὴν μνήμην ἐποιησάμεθα, δῆλον ὑμῖν ἐξ αὐτῆς ἤδη τῆς διανοίας τῶν γεγραμμένων γενήσεται. χρυσῖτις ἦν τὸ κατ' ἀρχὰς ἡ ἀνθρωπίνη φύσις καὶ λάμπουσα τῇ πρὸς τὸ ἀκήρατον ἀγαθὸν ὁμοιότητι, ἀλλὰ δύσχρους καὶ μέλαινα μετὰ τοῦτο τῇ ἐπιμιξίᾳ τῆς κακίας ἐγένετο, καθὼς ἐν τοῖς πρώτοις τοῦ Ἄισματος τῆς νύμφης ἠκούσαμεν ὅτι μέλαιναν αὐτὴν ἐποίησεν ἡ τῆς φυλακῆς τοῦ ἀμπελῶνος ὀλιγωρία· ἧς θεραπεύων τὴν δυσμορφίαν

5-p 101, 4 cf Method De resurr I 43 (= p 289, 12-291, 10)

ER^a ΛΥS Σ PVT CN Syr 2 ἡμᾶς N 3 ante δυνάμεσι add ταῖς ER^aΛΥΣ LXX δυνάμει V ante ἰσχύσεσι add ταῖς LXX ἰσχύϊ V 4 ἐγείρηται R^a et ἐγείρηται et ἐξεγείρηται E (sscr bis ε E^2)Σ καὶ ἐξεγείρητε om N θελήσει ΣVTC 5 τεχνικῶς om v 6 ῥυπωτέρας S post ῥυπαρωτέρας eras 2 litt C ἐπιβολὴν ΣP (sed corr) v Syr, sed cf Method l.l. p 291, 3 7 τοῦ om P 9 ἐπισκοπὴν ΣC (corr C^2) 9-10 παρὰ — ἐφεξῆς om Syr 10 ἐν τοῖς om V ὁ χρυσὸς γέγονεν (sic) coll ante ἐν Σ 11 ἂν om ER^av αὐτοῦ PVTCN τοῦ om ER^av 11-12 τὸ εἶδος coll ante τοῦ Σ 12 τὸ pr — μαρτυρήσῃ om R^a μαρτυρήσει E^2(ει ex η)Σ μαρτυρήσειε V 13 ἀκιβδήλωτον CN 15 ἡμῖν ER^aPVv de Syr non liquet (paraphr) ἤδη om ER^av 16 χρυσῖτις T: χρυσῆ τις cett v χρυσίον Syr 17 post τῇ 1 litt eras C 18 ὁμοιότητα P δύσχροος TC δύσχροιος PN μετὰ τοῦτο om P 19 γεγένηται Σ ἄσματος τῶν ᾀσμάτων T ante τῆς alt add παρὰ Σ 20 μέλαινα V τῆς φυλακῆς om v

ὁ πάντα ἐν σοφίᾳ τεχνιτεύων θεὸς οὐ καινόν τι κάλλος ἐπ' αὐτῆς μηχανᾶται ὃ μὴ πρότερον ἦν, ἀλλ' ἐπὶ τὴν πρώτην ἐπανάγει χάριν δι' ἀναλύσεως τὴν τῷ κακῷ μελανθεῖσαν μεταχωνεύων πρὸς τὸ ἀκήρατον. ὥσπερ τοίνυν οἱ ἀκριβεῖς χρυσογνώμονες μετὰ τὴν πρώτην χωνείαν ἐπισκοποῦσιν, ὅσον ἐπέδωκεν εἰς κάλλος ἡ ὕλη τῷ πυρὶ τὸν ῥύπον ἐνδαπανήσασα, καὶ πάλιν δευτέρας γενομένης χωνείας, εἰ μὴ ἱκανῶς παρὰ τὴν πρώτην ἀπεκαθάρθη, τὸ προστεθὲν κάλλος ἐπιλογίζονται καὶ πολλάκις τὸ ἴσον ποιοῦντες ἀεὶ τὰς τοῦ κάλλους προσθήκας διὰ τῆς ἐπιστημονικῆς δοκιμασίας ἐπιγινώσκουσιν, οὕτω καὶ νῦν ὁ θεραπευτὴς τοῦ μελανθέντος χρυσίου καθάπερ τινὶ χώνῃ τὴν ψυχὴν λαμπρύνας διὰ τῶν προσαχθέντων αὐτῇ φαρμάκων ἐν μὲν τοῖς φθάσασιν ἵππου τινὸς εὐμορφίαν τῷ φαινομένῳ προσεμαρτύρησε, νῦν δὲ ὡς παρθένου λοιπὸν ἀποδέχεται τὸ ἀναφανὲν αὐτῆς κάλλος. φησὶ γὰρ Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή· ὀφθαλμοί σου περιστεραί. παιδεύει δὲ διὰ τῶν εἰρημένων ὁ λόγος ταύτην εἶναι τοῦ κάλλους τὴν ἐπανάληψιν τῷ προσεγγίσαι πάλιν τῷ ἀληθινῷ κάλλει, οὗ ἀπεφοίτησε· φησὶ γὰρ Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου·

16 Cant I, 15 18-19 cf Origen Comm II p 114, 23: 'Suscepi enim in me filium Dei . . . Accessi ad eum qui est imago Dei . . . et facta sum formosa'.

ER^a ΛΥS Σ PVT CN Syr 1-2 οὐ — ἀλλ' om Syr 2 αὐτῇ Λ (add ς $Λ^2$)E^2 (eras ς) R^a αὐτὴν v 3 δι' ἀναλύσεως: διαλύσεως N τῶν κακῶν VT (ν bis eras) 6 ἐπιδέδωκεν Σ ἡ om Σ 7 γεγονυίας v 7-8 εἰ — ἀπεκαθάρθη om Syr 8 ἐπεκαθάρθη N ἐκαθάρθη ΛΥS 9 τὸ om N 12 χώνῃ R^aTCN(-νΐ)v: χωάνῃ E (eras α) P χοάνῃ ΛΥSΣ an recte? χωνείᾳ V τὴν om v 13 προλεχθέντων P 15 παρθένῳ TE (ut vid, corr E^2) 16 αὐτῇ ER^a v φησὶ γάρ: καὶ φησὶν V εἶ: ἡ E (corr E^2)ΣPC (vel ἧ, corr C^2) 17 εἶ: ἡ E (corr E^2)ΣP ante ὀφθαλμοί add οἱ v δὲ om ER^aVv post δὲ add ἡμᾶς T Syr 19 τῷ pr ER^aPC (corr τὸ C^2) N Syr: τὸ cett v 19-20 προσεγγίσαι — ἀπεφοίτησε ΣPVCN Syr (om οὗ ἀπεφοίτησε): πλησίον τῆς τοῦ καλοῦ γενέσθαι πηγῆς ΛΥS hanc variam lect add post ἀπεφοίτησεν Σ (add τὸ ante πλησίον) add ante προσεγγίσαι T (add καὶ ante προσεγγίσαι) E (et add καὶ et coll γενέσθαι ante τῆς) R^a (= E) v (= E) 19 πάλιν: λοιπὸν Σ ἀληθινῷ: ἀπροσίτῳ Syr οὗ: ᾧ T 20 εἶ: ἡ ΣP

ὅπερ ἐστὶν ὅτι διὰ τοῦτο πρότερον οὐκ ἦσθα καλή, διότι τοῦ ἀρχετύπου κάλλους ἀποξενωθεῖσα τῇ πονηρᾷ γειτνιάσει τῆς κακίας πρὸς τὸ εἰδεχθὲς ἠλλοιώθης. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι· δεκτικὴ τῶν κατὰ γνώμην ἡ ἀνθρωπίνη γέγονε φύσις καὶ πρὸς ὅπερ ἂν ἡ ῥοπὴ τῆς προαιρέσεως αὐτὴν ἄγῃ, κατ' ἐκεῖνο καὶ ἀλλοιοῦται· τοῦ τε γὰρ θυμοῦ παραδεξαμένη τὸ πάθος θυμώδης γίνεται καὶ τῆς ἐπιθυμίας ἐπικρατησάσης εἰς ἡδονὴν διαλύεται, πρὸς δειλίαν τε καὶ φόβον καὶ τὰ καθ' ἕκαστον πάθη τῆς ῥοπῆς γενομένης τὰς ἑκάστου τῶν παθῶν μορφὰς ὑποδύεται, ὥσπερ δὴ καὶ ἐκ

1-3 cf Origen De princ I 8, 4 (p 104, 7 sqq): ἡ ψυχὴ ἀπορρέουσα τοῦ καλοῦ καὶ τῇ κακίᾳ προσκλινομένη καὶ ἐπὶ πλεῖον ἐν ταύτῃ γινομένη, εἰ μὴ ὑποστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται καὶ ὑπὸ τῆς πονηρίας ἀποθηριοῦται · · · · καὶ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι καὶ τὸν ἔνυδρον, ἵν' οὕτως εἴπω, βίον· καὶ τάχα κατ'ἀξίαν τῆς ἐπὶ πλεῖον ἀποπτώσεως τῆς κακίας ἐνδύεται σῶμα τοιοῦδε ἢ τοιοῦδε ἀλόγου ζῴου. 4-103, 16: Ad illustrandum locum classicum philosophiae Christianae perpauca admonere licebit: de libero arbitrio et Platone et Aristotele auctoribus docuisse theologos constat. eam praelationem controversiis antignosticis constitutam esse non semper perspicitur. omnia fere, quae hoc loco Gregorius disseruit, et apud Clem Alex et apud Origen invenies. cf ex. gr. 4 δεκτικὴ τῶν κατὰ γνώμην κτλ cum Origen De princ III 1, 8 (p 267, 1sq): · · · αὐτοὶ (scil haeretici) τὸ αὐτεξούσιον ἀναιροῦντες διὰ τὸ φύσεις εἰσάγειν ἀπολλυμένας, ἀνεπιδέκτους τοῦ σῴζεσθαι; l.l. 1, 4 (p 198, 15): ῥοπὴ τοῦ ἡγεμονικοῦ. 5-6 cf Origen in Joh XX 22 (p 355, 2 sqq): ἀπὸ τοῦ ἐθέλειν ποιεῖν τὰς ἐπιθυμίας τοῦ χείρονος μορφούμενον καὶ κατ' εἰκόνα γινόμενον τοῦ πονηροῦ πατρός (contra Heracleonem Gnosticum disputat cum Aristotele, cf Eth Nic Γ7, p 1113 b 3-1115 a 3) 6 sqq cf ex. gr. Plato Resp 620 a-d (ad 10 ὑποδύεται cf l.l.: τὴν τοῦ Θερσίτου (scil φύσιν) πίθηκον ἐνδυομένην); cf doctrinam Basilidis Gnostici apud Clem Alex Strom II 112, 1 (= p 174, 6sqq) et quae contra eum Clem auctore Aristotele disputat. cf Col 3, 12; Rom 13, 14; Col 3, 10; Eph 4, 24

ER^a ΛYS Σ PVT CN Syr 1 ὅπερ ἐστὶν om CN v ὅτι om v οἶσθα N 2 πρωτοτύπου ΛYS 3 εἰδεχθὲς: ἄσχημον YΛ² (in marg) 5 γέγονεν coll ante 4 ἡ ER^av post φύσις T πρὸς om ΛYS 6 ἄγῃ E$R^a$$C^2$: ἀγάγῃ ΛYSΣT ἄγει cett v τοῦ τε: τότε Y 7 γίνεται θυμώδης Σ 9 τὰ: τὸ C (corr C^2) τροπῆς PVN πρώτης C(corr C^2) γεγενημένης T 10 ἑκάστου: ἐν ἑκάστω T

τοῦ ἐναντίου τὸ μακρόθυμον, τὸ καθαρόν, τὸ εἰρηνικόν, τὸ ἀόργητον, τὸ ἄλυπον, τὸ εὐθαρσές, τὸ ἀπτόητον, πάντα ταῦτα ἐν ἑαυτῇ δεξαμένη ἑκάστου τούτων ἐπισημαίνει
833 M. τὸν χαρακτῆρα τῇ καταστάσει τῆς ψυχῆς ἐν ἀταραξίᾳ γαληνιάζουσα. συμβαίνει τοίνυν ἀμέσως πρὸς τὴν κακίαν τῆς ἀρετῆς διεστώσης μὴ δύνασθαι κατὰ ταὐτὸν ἀμφότερα τῷ ἑνὶ παραγίνεσθαι· ὁ γὰρ τοῦ σωφρονεῖν ἀποστὰς ἐν τῷ ἀκολάστῳ πάντως γίνεται βίῳ καὶ ὁ τὸν ἀκάθαρτον βδελυξάμενος βίον κατώρθωσεν ἐν τῇ ἀποστροφῇ τοῦ κακοῦ τὸ ἀμόλυντον. οὕτω καὶ τὰ ἄλλα πάντα· ὁ ταπεινοφρονῶν τῆς ὑπερηφανίας κεχώρισται καὶ ὁ διὰ τοῦ τύφου ἑαυτὸν ἐξογκώσας τὴν ταπεινοφροσύνην ἀπώσατο. καὶ τί χρὴ τὰ καθ'ἕκαστον λέγοντα διατρίβειν, πῶς ἐπὶ τῶν ἀντικειμένων τῇ φύσει ἡ τοῦ ἑνὸς ἀπουσία θέσις καὶ ὕπαρξις τοῦ ἑτέρου γίνεται; οὕτω τοίνυν ἐχούσης ἡμῶν τῆς προαιρέσεως, ὡς κατ' ἐξουσίαν ἔχειν ὅπερ ἂν ἐθέλῃ τούτῳ συσχηματίζεσθαι, καλῶς φησι πρὸς τὴν ὡραϊσθεῖσαν ὁ λόγος, ὅτι ἀποστᾶσα μὲν τῆς τοῦ κακοῦ κοινωνίας ἐμοὶ προσήγγισας, πλησιάσασα

5-8 cf ex. gr. Arist Met Γ 6, p 1011 b 15-22 et passim; 7-12 ad descriptionem vitae philosophicae cf W. Jaeger 'Paideia' II (p 295 sqq 'Paideia as conversion' et quae adnot loca Platonis); cf Plato Phaed 81 c sqq 11 ἐξογκώσας: cf Hebr 12, 1 ὄγκον ἀποθέμενοι πάντα; cf Plato Resp 611 d; cf Basilidem Gnosticum l.l. apud Clem Alex 13-14 cf ex. gr. Arist Met Z 7, p 1032 b 3: τῆς γὰρ στερήσεως οὐσία ἡ οὐσία ἡ ἀντικειμένη, οἷον ὑγίεια νόσου· ἐκείνης γὰρ ἀπουσίᾳ δηλοῦται ἡ νόσος. 16 cf Plato Theaet 176 e sq; cf Origen in Joh p 354-357; cf I Petr 1, 14; Rom 12, 2

ER^a ΛYS Σ PVT CN Syr 2 ἄπτωτον E(corr E^2) 2-3 ταῦτα πάντα PVCN 3 ἐπισημαίνεται V 4-5 ἐν — γαληνιάζουσα om Syr 5 γαλινιάξουσα C τοι · · νῦν C(ante ν 2 litt eras) ἀμέσως: ἀνὰ μέσον C(corr C^2) 6 κατἀυτὸν Λ(corr Λ²)YT (sscr τα) ἀμφότερον v om P ante τῷ 1 vel 2 litt eras E 7 τοῦ: τὸ N 10 ἅπαντα Σ ταπεινοφρονῶν CN: ταπεινόφρων ὢν V ταπεινόφρων cett v 14 καὶ ὕπαρξις om Syr 15 οὕτω in ras ut vid E ἐχούσης om N ὡς Σ Syr(ut vid): om cett v 16 ἔχειν om V ὅπερ SΣTCN: ᾧπερ cett v de Syr non liquet(paraphr) θέλῃ ΣP ἐθέλοι VC τοῦτο SVN σχηματίζεσθαι ΛYS 17 ὡραιωθεῖσαν ΣVN 18 τοῦ — ἐμοί: πρὸς ἐμὲ κοινωνίας τῇ κακίᾳ Σ

δὲ τῷ ἀρχετύπῳ κάλλει καὶ αὐτὴ καλὴ γέγονας οἷόν τι κάτοπτρον τῷ ἐμῷ χαρακτῆρι ἐμμορφωθεῖσα· κατόπτρῳ γὰρ ἔοικεν ὡς ἀληθῶς τὸ ἀνθρώπινον κατὰ τὰς τῶν προαιρέσεων ἐμφάσεις μεταμορφούμενον· εἴ τε γὰρ πρὸς χρυσὸν ἴδοι, χρυσὸς φαίνεται καὶ τὰς ταύτης αὐγὰς τῆς ὕλης διὰ τῆς ἐμφάσεως δείκνυσιν, εἴ τέ τι τῶν εἰδεχθῶν ἐμφανείη, καὶ τούτου τὸ αἶσχος δι' ὁμοιώσεως ἀπομάσσεται βάτραχόν τινα ἢ φρῦνον ἢ σκολόπενδραν ἢ ἄλλο τι τῶν ἀηδῶν θεαμάτων τῷ οἰκείῳ εἴδει ὑποκρινόμενον, ᾧπερ ἂν τούτων εὑρεθῇ ἀντιπρόσωπον. ἐπειδὴ τοίνυν κατὰ νώτου τὴν κακίαν ποιησαμένη ἡ κεκαθαρμένη ὑπὸ τοῦ λόγου ψυχὴ τὸν ἡλιακὸν ἐν ἑαυτῇ κύκλον ἐδέξατο καὶ τῷ ὀφθέντι ἐν αὐτῇ φωτὶ συνεξέλαμψε, διὰ τοῦτό φησι πρὸς αὐτὴν ὁ λόγος, ὅτι γέγονας ἤδη καλὴ πλησιάσασα τῷ ἐμῷ φωτὶ διὰ τοῦ προσεγγισμοῦ τὴν κοινωνίαν ἐφελκυσαμένη τοῦ κάλλους. Ἰδοὺ εἶ καλή, φησίν, ἡ πλησίον μου. εἶτα ἐπισχὼν καὶ οἷον ἐν προσθήκῃ τινὶ

2 cf II Cor 3, 18 4-10 cf Theophrast De sens 52/53, ubi invenies terminos ἀπομάσσεσθαι, ἔμφασις, ἀντιπρόσωπον, εὐθύς (! vid Syr). scil Gregorius doctrinas a doxographo traditas ad usum suum adaptavit, cf infra p 105, 10 sqq 11 cf De Beatit VI p 1272 B (Migne); cf Plato Resp 516 b 12-13 cf Exod 34, 29; 35; cf II Cor 3, 18; cf Act 26, 13; Matth 17, 2 15 Cant 1, 15

ER^a ΛYS Σ PVT CN Syr 1 ἀρχετύπῳ: ἀπροσίτῳ v 2 χαρακτῆρι: κάλλει ΛYS μορφωθεῖσα CN 3 γὰρ om N 4 μεταποιούμενον ER^av εἴ: ἄν E^2(ex εἰ) R^av πρὸς: εἰς P om ER^a v 5 ταύτης scripsi sequens Syr (τὰς αὐγὰς ταύτης τῆς): ἑαυτῆς C(corr ἐν αὐτῷ C^2) αὐτὰς ER^aΣPVNv om ΛYST 6 εἴ: ἄν E^2(ex εἰ ut vid) R^av τέ: δέ P 7 ante καὶ add εὐθὺς Syr τοῦτο PC(corr C^2)N 8 φρύνεον P(sscr ον) κολόπενδραν N σκόπενδρων Y ἀειδῶν ΛYSP 9 ante τῷ add εὐθὺς Syr τῷ om Y οἰκείῳ: ἰδίῳ PVCN εἴδει: βίῳ T om v ὑποκρυπτόμενον V ᾧπερ ER^aVTv: ὥσπερ C(corr C^2) ὅπερ cett de Syr non liquet (paraphr) τούτῳ E(add ν E^2) εὑρεθείη ΛYSV εὑρεθείη τούτων V 11 ante ὑπὸ add ἡ C(sed eras) et om τοῦ et coll ψυχὴ ante ὑπὸ v 12 ἐν pr om E(sscr E^2) ἑαυτῇ: αὐτῇ PV ἑαυτῷ C(corr C^2)N αὐτῇ: ἑαυτὴ Σ 13-15 ὁ λόγος — κάλλους om Syr 14 post καλὴ add ἡ R^a τοῦ: τοῦ το R^a 15 ante τὴν add μου ER^a κοινωνίαν: οἰκονομίαν N ἐφελκομένη v ante ἰδοὺ 4 vel 5 litt eras N εἶ: ἡ ΣPC (corr C^2) 16 φησίν coll ante 15 εἶ V om Λ(sscr $Λ^2$)PCN Syr 16-p 105,1 προσθήκῃ τινὶ καὶ om Syr ἐπιτάσει καὶ προσθήκῃ τινὶ Σ

καὶ ἐπιτάσει γενομένην τοῦ κάλλους αὐτὴν θεασάμενος πάλιν τὸν αὐτὸν ἐπαναλαμβάνει λόγον εἰπὼν Ἰδοὺ εἶ καλή. ἀλλ' ἐν μὲν τῷ προτέρῳ τὴν πλησίον ὠνόμασεν, ἐνταῦθα δὲ τὴν ἐκ τοῦ εἴδους τῶν ὀμμάτων γνωριζομένην· Ὀφθαλμοί γάρ σου, φησί, περιστεραί· πρότερον μὲν γάρ, ὅτε τῇ ἵππῳ ἀφωμοιώθη, ἐν σιαγόνι τε καὶ τραχήλῳ ὁ ἔπαινος ἦν, νῦν δὲ ὅτε τὸ ἴδιον αὐτῆς ἀνεφάνη κάλλος, ἡ τῶν ὀφθαλμῶν χάρις ἐγκωμιάζεται. ὁ δὲ τῶν ὀφθαλμῶν ἔπαινός ἐστι τὸ περιστερὰς εἶναι τὰ ὄμματα· ὅπερ μοι δοκεῖ τοιαύτην ἐμφαίνειν διάνοιαν· ἐπειδὴ ταῖς καθαραῖς τῶν ὀμμάτων κόραις ἐνορᾶται τῶν ἐνατενιζόντων τὰ πρόσωπα (φασὶ γὰρ οἱ τὰ τοιαῦτα φυσιολογεῖν ἐπιστήμονες ὅτι τὰς τῶν εἰδώλων ἐμπτώσεις δεχόμενος, αἳ τῶν ὁρατῶν ἀπορρέουσιν, οὕτως ἐνεργεῖ τὴν ὄψιν ὁ ὀφθαλμός), τούτου χάριν ἔπαινος γίνεται τῆς τῶν ὀφθαλμῶν εὐμορφίας τὸ τῆς περιστερᾶς εἶδος τὸ ταῖς κόραις αὐτῶν ἐμφαινόμενον. πρὸς ὃ γὰρ ἄν τις ἐνατενίσῃ, τούτου δέχεται ἐν ἑαυτῷ τὸ ὁμοίωμα. ἐπεὶ οὖν ὁ μηκέτι πρὸς σάρκα καὶ αἷμα βλέπων πρὸς τὸν πνευματικὸν βίον ὁρᾷ, καθώς φησιν ὁ ἀπόστολος, ζῶν πνεύματι καὶ στοιχῶν πνεύματι καὶ τὰς πράξεις τοῦ σώματος θανατῶν τῷ πνεύματι καὶ ὅλος δι' ὅλου πνευματικὸς γινόμενος, οὐ

12 vide supra ad p 104, 4 sqq 19-20 cf Gal 5, 25 20-21 cf Rom 8, 13 21 sq cf I Cor 2, 13-3, 3

ER^a ΛYS Σ PVT CN Syr 1 γινομένην N 2 πάλιν om V ἐπιλαμβάνει S(corr S^2) ἐπαναλαμβάνεται T ἐπαναλαμβάνων V λόγον ἐπαναλαμβάνει N εἰπὼν om V εἶ: ἡ ΣPC(corr C^2) ἰδοὺ εἶ καλή φησιν (sic) coll ante τὸν V 4 ὀνομάτων ΛYS 5 φησί om VCN περιστερᾶς v μὲν om V τῇ: τῷ N om v 9 περιστερὰς Σ Syr: περιστερᾶς cett v τὰ ὄμματα εἶναι v 10 τῶν ὀμμάτων om PVC(add τῶν ὀφθαλμῶν C^2)N 11 κόραις om VC(add C^2)N ὁρᾶται ER^av ἀτενιζόντων ΛYSv ante τὰ add τοῖς κατόπτροις T(in marg) C^2(in marg) 12 τὰ om v ἐπιστάμενοι V 13 δεχόμεναι Y ἀοράτων P 14 οὗτος Λ(corr $Λ^2$)Y 17 post ἐνατενίσῃ add ὥσπερ πρότερον ἔλεγον Syr τοῦτο ER^a v αυτῷ (sic) N 18 ὁ om ER^a v αἷμα καὶ σάρκα ΛYS 19 ante βίον add δὲ P ἐνορᾷ ΛYST 20 πνεύματι στοιχῶν ER^a v 20-21 καὶ τὰς — πνεύματι om ΛYS 21 τῷ om ΣCN γενόμενος ΣTv

836 M. ψυχικὸς οὐδὲ σαρκικός, τούτου χάριν μαρτυρεῖται ἡ τῆς σωματικῆς προσπαθείας ἀπηλλαγμένη ψυχὴ τὸ τῆς περιστερᾶς εἶδος ἐν τοῖς ὄμμασιν ἔχειν, τουτέστι τὸν χαρακτῆρα τῆς πνευματικῆς ζωῆς τῷ διορατικῷ τῆς ψυχῆς ἐναυγάζεσθαι. ἐπεὶ οὖν γέγονεν ὁ καθαρὸς αὐτῆς ὀφθαλμὸς δεκτικὸς τοῦ τῆς περιστερᾶς χαρακτῆρος, διὰ τοῦτο χωρεῖ καὶ τὸ τοῦ νυμφίου κάλλος θεάσασθαι· νῦν γὰρ πρώτως ἡ παρθένος ἀτενίζει τῇ τοῦ νυμφίου μορφῇ, ὅτε ἔσχε τὴν περιστερὰν ἐν τοῖς ὄμμασιν (Οὐδεὶς γὰρ δύναται εἰπεῖν κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ), καί φησιν Ἰδοὺ εἶ καλός, ἀδελφιδός μου, καί γε ὡραῖος· ἀφ' οὗ γὰρ οὐδὲν ἄλλο μοι καλὸν εἶναι δοκεῖ, ἀλλ' ἀπεστράφην πάντα ὅσα τὸ πρότερον ἐν καλοῖς ἐνομίζετο, οὐκέτι μοι πεπλάνηται ἡ τοῦ καλοῦ κρίσις, ὥστε ἄλλο τι παρὰ σὲ καλὸν οἴεσθαι· οὐκ ἔπαινός τις ἀνθρώπινος, οὐ δόξα, οὐ περιφάνεια, οὐ κοσμικὴ δυναστεία· ταῦτα γὰρ τοῖς πρὸς τὴν αἴσθησιν βλέπουσιν ἐπικέχρωσται μὲν τῇ τοῦ καλοῦ φαντασίᾳ, οὐ μήν ἐστιν ὅπερ νομίζεται. πῶς γὰρ ἄν τι εἴη καλόν, ὃ μηδὲ ὅλως ἔστι καθ' ὑπόστασιν; τὸ γὰρ ἐν τῷ κόσμῳ τούτῳ τετιμημένον ἐν μόνῃ τῇ οἰήσει τῶν νομιζόντων εἶναι τὸ εἶναι ἔχει. σὺ δὲ ἀληθῶς εἶ καλός,

2-4 cf Matth 3, 16 et parall; cf Origen Comm III p 173, 15 4 cf II Cor 4, 4 7-9 cf Origen Comm III p 174, 24-26 9 I Cor 12, 3 10 Cant 1, 16 14-15 cf Rom 2, 29 15 cf ex. gr. Sap Sal 7, 8. spectat ad βίον πολιτικόν, cf ex. gr. Aristot Eth Nic A 3, p 1095 b 22 sqq 19-20 cf Aristot l.l.: δοκεῖ γὰρ ἐν τοῖς τιμῶσι μᾶλλον εἶναι ἢ ἐν τῷ τιμωμένῳ

ER^a ΛYS Σ PVT CN Syr 1 σαρκικὸς οὐδὲ ψυχικὸς Σ σαρκικός ΣPVCN: σάρκινος cett v 2 ἀπηλλαγμένη προσπαθείας Σ 5 γέγονεν om ΛYS καθαρὸς ὁ v 6 τὸ coll post νυμφίου ER^a v om Λ(sscr Λ^2)YP 7 πρῶτος R^{a}N πρῶτον v ἀτενίζει ER^{a}PVTCv: ἐνατενίζει cett 9 εἰπεῖν coll post Ἰησοῦν v 10 καί: διὰ τοῦτο Syr εἶ: ὁ P εἶ corr in ras C^2 om E(sscr E^2) ἀδελφιδούς V 11 καλόν μοι ΛYS 12 ante πάντα add τὰ S τὸ om P 15 οὐ δόξα om Syr οὐ tert coll post κοσμικὴ PVTCN ante δυναστεία add et eras δόξα οὐ C δύναμις ER^{a}v 17 νομίζεσθαι C(corr C^2) 18 τι om T τό: τῷ C(corr C^2) 20 τῶν νομιζόντων εἶναι om Syr fort recte. an delendum εἶναι pr? ante ἀληθῶς add ὁ S εἶ coll post δὲ ΛYS om V καλός: καλῶς V

οὐ καλὸς μόνον ἀλλ' αὐτὴ τοῦ καλοῦ ἡ οὐσία, ἀεὶ τοιοῦτος ὑπάρχων, πάντοτε ὢν ὅπερ εἶ, οὔτε κατὰ καιρὸν ἀνθῶν οὔτε ἐπὶ καιροῦ πάλιν ἀποβάλλων τὸ ἄνθος, ἀλλὰ τῇ ἀϊδιότητι τῆς ζωῆς συμπαρατείνων τὴν ὥραν· ᾧ ὄνομα ἡ φιλανθρωπία ἐγένετο. ὅτι ἄρα ἐξ Ἰούδα ἀνέτειλας ἡμῖν, ἀδελφὸς δὲ ὁ Ἰουδαίων λαὸς τοῦ ἐξ ἐθνῶν σοι προσιόντος, καλῶς διὰ τὴν ἐν σαρκὶ γεγενημένην τῆς θεότητός σου φανέρωσιν ἀδελφιδὸς τῆς ποθούσης κατωνομάσθης.

Εἶτα ἐπήγαγε Πρὸς κλίνῃ ἡμῶν σύσκιος. τουτέστιν ἔγνω σε ἤτοι γνώσεται ἡ ἀνθρωπίνη φύσις σύσκιον τῇ οἰκονομίᾳ γενόμενον· ἦλθες γάρ φησι σὺ ὁ καλὸς ἀδελφιδός, ὁ ὡραῖος,

4 φιλανθρωπία: unde? an ex etymologia quadam nominis Ἰησοῦς? cf ex. gr. text masoreticum Ps 118, 21 (LXX 117, 21) 5 cf Hebr 7, 14 5-7 cf Origen Comm II p 168, 19 sqq 9 Cant 1, 16 10 cf Eph 1, 10; 3, 9

ER^a ΛYS Σ PVT CN Syr 1 ante οὐ add καὶ Syr post καλὸς add δὲ ER^{a}Tv αὐτῇ τῇ τοῦ καλοῦ οὐσίᾳ ER^{a}Tv 2 καιρῶν V 3 ἀποβαλὼν ΣPC(corr C^2)N 4 παρατείνων P ᾧ: ὧν N ἡ om V 4-5 ᾧ — ἐγένετο: τὸ δὲ ὄνομά σου ἐτέθη ἀπὸ τῆς φιλανθρωπίας Syr(paraphr) 5 ὅτι ἄρα correxi sequens Syr(ὅτι ἄρα vel γάρ, quod minus aptum vid): ὁ γὰρ codd v ἀνέτειλας Syr: ἀνατείλας codd v ἡμῖν: ἀδελφός ΛYS post ἡμῖν add χριστὸς ER^{a}ΣPVTCNv exemplar archetypi codd scr ʽΟΤΙΑΡΕΞ: archetypus ut vid ʽΟΓΑΡΕΞ et corr e coniect ἀνατείλας. exemplar codd ΛYS corr e coniect ἡμῖν in ἀδελφός, scil verba sqq ἀδελφὸς — προσιόντος parenthesim explicativam esse intellegens, cett sua sponte add χριστός 6 Ἰουδαίων ER^a v Syr: ἐξ Ἰουδαίων SV Ἰουδαῖος cett σοι om(scil e coniect, cf supra) ΛYS προϊόντος S προσὄντος (sic) Σ 7 post γεγενημένη (sic) add ἡμῖν Σ σου om Syr 8 τῇ ποθούσῃ P κατωνομάσθης ER^{a}ΛYPVT Syr: κατωνομασθεὶς C(sic, corr C^2) κατοναμασθεὶς NΣ(-θὴς) κατωνομάσθη Sv 9 ἐπάγει V πρὸς κλίνῃ scripsi (cf p 108,1): πρὸς κλίνη ΛYT Syr LXX προσκλίνη SΣv fort Origen Comm (cf Ambros De Isaac 27, p 660, 2: 'adclinatio nostra', at Rufin, Comm p 174, 23: 'cubile', Prokop l.l.: κλίνη. an om πρὸς?) πρὸς κλίνην cett ἡμῶν om P 9-10 ἔγνω σε ΣPCvSyr: ἔγνωσεν N ἐπέγνωσεν V ἔγνωσαι ER^{a}T ἔγνων σε ΛYS 10 et σύσκιος et (11) γενομένη PVCN τὴν οἰκονομίαν R^a post οἰκονομίᾳ add τοῦ σώματος Syr 11 σύ φησι ER^{a}ΛYS v ante ἀδελφιδὸς add ὁ Ev ὀδελφιδός(sic) R^a post ἀδελφιδός add μου ΣT Syr ὁ alt om P

πρὸς τῇ κλίνῃ ἡμῶν σύσκιος γενόμενος. εἰ γὰρ μὴ συνεσκίασας αὐτὸς σεαυτὸν τὴν ἄκρατον τῆς θεότητος ἀκτῖνα συγκαλύψας τῇ τοῦ δούλου μορφῇ, τίς ἂν ὑπέστη σου τὴν ἐμφάνειαν; οὐδεὶς γὰρ ὄψεται πρόσωπον κυρίου καὶ ζήσεται. ἦλθες τοίνυν ὁ ὡραῖος, ἀλλ᾽ ὡς χωροῦμεν δέξασθαι τοιοῦτος γενόμενος· ἦλθες τὰς τῆς θεότητος ἀκτῖνας τῇ περιβολῇ συσκιάσας τοῦ σώματος. πῶς γὰρ ἂν ἐχώρησε θνητὴ καὶ ἐπίκηρος φύσις τῇ ἀκηράτῳ καὶ ἀπροσίτῳ συζυγίᾳ συναρμοσθῆναι, εἰ μὴ τοῖς ἐν σκότῳ ζῶσιν ἡμῖν ἡ σκιὰ τοῦ σώματος πρὸς τὸ φῶς ἐμεσίτευσεν; κλίνην δὲ ὀνομάζει ἡ νύμφη τῇ τροπικῇ σημασίᾳ τὴν πρὸς τὸ θεῖον ἀνάκρασιν τῆς ἀνθρωπίνης φύσεως ἑρμηνεύουσα, ὡς καὶ ὁ μέγας ἀπόστολος ἁρμόζεται τῷ Χριστῷ τὴν παρθένον, ἡμᾶς, καὶ νυμφοστολεῖ [τὴν ψυχὴν] καὶ τὴν προσκόλλησιν τῶν δύο εἰς ἑνὸς σώματος κοινωνίαν τὸ μέγα μυστήριον εἶναι λέγει τῆς τοῦ Χριστοῦ πρὸς τὴν ἐκκλησίαν ἑνώσεως· εἰπὼν γὰρ ὅτι Ἔσονται οἱ δύο εἰς σάρκα μίαν ἐπήγαγεν ὅτι Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν.
837 M. διὰ τοῦτο τοίνυν τὸ μυστήριον κλίνην ἡ παρθένος ψυχὴ τὴν

3 cf Phil 2, 7 4 cf Exod 33, 20 7-8 cf ex. gr. (Aristot) De mundo 392 a 34 9 cf Isai 9, 1; cf Plato Resp 514 a-515 a 10 cf I Tim 2, 5 (μεσίτης); cf Origen Comm III p 176, 22 13 cf II Cor 11, 2 16 Eph 5, 32 19 παρθένος ψυχή: cf Origen Comm III p 175, 6: 'sed haec sponsa dicit, anima dumtaxat'

ER^a ΛYS Σ PVT CN Syr 1 πρός: ἐν ΛY τὴν κλίνην ΣCN συνεσκίας YS(-σας) 2 αὐτὸς: αυτῶ S(ex corr) αὐτὸν T(sed corr) σεαυτὸν T Syr: ἑαυτὸν cett v ἀκήρατον ΣT post θεότητος add σου Syr συγκαλυψάμενος N 4 ante πρόσωπον add τὸ Σ πρόσωπον om Syr κυρίου: θεοῦ ER^{a}v θεὸν Syr 5 ὁ om ΛYSΣ 6 post θεότητος add σου Syr 7 τοῦ σώματος om T(add in marg T^2) post ἐχώρησεν add ἡ ΣP 9 σκότει ΣPTv 10 ante ὀνομάζει add · · · ρασιν C(3 vel 4 litt et ρ eras. an suberat ἀνάκ? corr τὴν συγκατάβ[ασιν] C^2) post ὀνομάζει add τὴν συγκατάβασιν T ἡ TC^2(in ras 2 litt)Λ (? eras et corr ὡς Λ^2) v Syr: ὡς cett νύμφην YΛ^2(add ν)S^2 (add ν)N 12 ἀπόστολος: Παῦλος Σ Syr 13 ἁρμόζεται om P 14 τὴν ψυχὴν codd v τὴν ἐκκλησίαν Syr utramque glossam ad τὴν παρθένον pertinentem delevi εἰς: ἐν V 15 κοινωνία V τὸ: καὶ τοῦτο Σ 17 ὅτι om ΛYS 18 εἰς alt om ΣVT 19 ψυχὴν Λ(corr Λ^2)YS

πρὸς τὸ θεῖον κοινωνίαν ὠνόμασεν. ταύτην δὲ οὐκ ἄλλως ἦν δυνατὸν γενέσθαι εἰ μὴ διὰ τοῦ σύσκιον ἡμῖν διὰ τοῦ σώματος ἐπιφανῆναι τὸν κύριον, ὃς οὐ νυμφίος μόνον ἀλλὰ καὶ οἰκοδόμος ἐστίν, αὐτὸς ἐν ἡμῖν καὶ τεχνιτεύων τὸν οἶκον καὶ ὕλη τῆς τέχνης γινόμενος· ὄροφον γὰρ ἐπιβάλλει τῷ οἴκῳ διὰ τῆς ἀσήπτου ὕλης καλλωπίζων τὸ ἔργον. τοιαύτη δέ ἐστιν ἡ κέδρος καὶ ἡ κυπάρισσος, ὧν ὁ ἐγκείμενος τοῖς ξύλοις τόνος πάσης σηπτικῆς αἰτίας κρείττων ἐστίν, οὐ χρόνῳ εἴκων, οὐ σῆτας φύων, οὐκ εὐρῶτι φθειρόμενος. ἐκ τούτων κέδροι μὲν διὰ τὸ ἐπιμήκεις εἶναι τὰ πλάτη τοῦ οἴκου τῷ ὀρόφῳ διαλαμβάνουσιν, αἱ δὲ κυπάρισσοι διὰ τῆς λεγομένης φατνώσεως τὴν ἔνδοθεν κατασκευὴν ὡραΐζουσιν. ἔχει δὲ ἡ λέξις οὕτως· Δοκοὶ οἴκων ἡμῶν κέδροι, φατνώματα ἡμῶν κυπάρισσοι. πάντως δὲ τὰ δηλούμενα διὰ τῶν ξύλων αἰνίγματα φανερὰ τοῖς ἐπακολουθοῦσι τῷ εἱρμῷ τῆς διανοίας ἐστίν. βροχὴν ὀνομάζει τὰς ποικίλας τῶν πειρασμῶν προσβολὰς ἐν τῷ εὐαγγελίῳ ὁ κύριος λέγων ἐπὶ τοῦ καλῶς τὴν οἰκίαν ἐπὶ τῆς πέτρας οἰκοδομήσαντος ὅτι Κατέβη ἡ βροχὴ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἀπαθὲς ἔμεινεν ἐν τούτοις τὸ οἰκοδόμημα. ταύτης οὖν ἕνεκεν τῆς κακῆς ἐπομβρίας χρεία τοιούτων ἡμῖν ἐστιν δοκῶν. αὗται δ᾽ ἂν εἶεν αἱ ἀρεταί, αἳ τὰς τῶν πειρασμῶν ἐπιρροὰς

2-3 cf Origen Comm III p 176, 19 4 οἰκοδόμος: cf II Cor 5, 1; Hebr 11, 10 5 ὕλη: cf Eph 2, 20; Matth 21, 42 (= Ps 117, 22) 13 Cant 1, 17 18 Matth 7, 25

ER^a ΛYS Σ PVT CN Syr 3 μόνον νυμφίος T 4 αὐτὸς om T ἐν om PT 5 ὕλη: ὅλης v γενόμενος TCN 6 καλλωπιζόμενος C(post π eras 1 litt) 9 σῆκας P οὐχ εὐρῶτι ΛS οὐχι βρῶτι Y 10 ἐπίμηκες Λ(corr Λ^2)YS 12 ante τὴν 2 vel 3 litt eras E post ἔνδοθεν add τοῦ οἴκου ER^{a}ΛYSVv add τοῦ ἔργου ΣPTCN om Syr, quem sequens utramque glossam delevi 13 οἴκων ER^{a}PTC^2(sscr)v Syr LXX: om cett 14 φατνήματα v κυπάρισσος v 15 αἰνίγματα: φατνώματα P 16 ὀνομάζων ΛYS 18 τὴν πέτραν ER^{a}ΛYS v (secund Matth 7, 24) οἰκοδομήματος P 19 καὶ pr — ἄνεμοι om V διέπνευσαν P ἦλθον — καὶ tert om ΛYSTC 20 ἐν om PVTCN 21 ante τοιούτων add τῶν Σ ἐστὶν ἡμῖν Σ

ἐντὸς ἑαυτῶν οὐ προσίενται στερραί τε οὖσαι καὶ ἀνένδοτοι καὶ τὸ πρὸς κακίαν ἀμάλακτον ἐν τοῖς πειρασμοῖς διασῴζουσαι. μάθοιμεν δ' ἂν τὸ λεγόμενον τὴν ἐν τῷ Ἐκκλησιαστῇ ῥῆσιν τῷ προκειμένῳ συνεξετάσαντες· ἐκεῖ γάρ φησιν Ἐν ὀκνηρίαις ταπεινωθήσεται δόκωσις καὶ ἐν ἀργίᾳ χειρῶν στάξει οἰκία. ὥσπερ γὰρ εἰ ἀσθενῆ τε καὶ ἄτονα ὑπὸ λεπτότητος εἴη τὰ ξύλα τὰ διειληφότα τὸν ὄροφον, ὀκνηρῶς δὲ ἔχοι πρὸς τὴν τοῦ δώματος ἐπιμέλειαν ὁ τοῦ οἴκου δεσπότης, οὐδὲν ἀπώνατο τῆς στέγης τοῦ ὄμβρου διὰ σταγόνων εἰσρέοντος (κοιλαίνεται γὰρ ἐξ ἀνάγκης ὁ ὄροφος εἴκων τῷ βάρει τοῦ ὕδατος καὶ οὐκ ἀντέχει τῶν ξύλων ἡ ἀτονία πρὸς τὴν τοῦ βάρους προσβολὴν ὑποκλάζουσα. διὰ τοῦτο ἐπὶ τὰ ἐντὸς διαδίδοται τὸ ἐναπειλημμένον τῇ κοιλότητι ὕδωρ καὶ αἱ σταγόνες αὗται κατὰ τὸν Παροιμιώδη λόγον ἐκβάλλουσι τοῦ οἴκου τὸν ἄνθρωπον ἐν τῇ ἡμέρᾳ τοῦ ὑετοῦ), οὕτως ἡμῖν τῷ τῆς παραβολῆς αἰνίγματι διακελεύεται διὰ τῆς τῶν ἀρετῶν εὐτονίας ἀνενδότους εἶναι πρὸς τὰς τῶν πειρασμῶν ἐπιρροάς, μή ποτε μαλακισθέντες διὰ τῆς τῶν παθημάτων ἐμπτώσεως κοῖλοι γενώμεθα καὶ τὴν ἐπιρροὴν τῶν τοιούτων ὑδάτων ἔξωθεν ἐπὶ τὴν καρδίαν εἰσρέουσαν ἐντὸς τῶν ταμιείων παραδεξώμεθα, δι' ὧν

4 Eccles 10, 18 14 Prov 27, 15

$E R^a$ ΛYS Σ PVT CN Syr 1 ἐντὸς: ἐν τοῖς V αὐτῶν P προσίενατται (sic) E(ἰ in fine lin ex corr) τερραί N 2 τὸ om R^a ante κακίαν add τὴν V ἀναμάλακτον V 3 post ἂν add ἀκριβέστερον Syr 5 ante δόκωσις add ἡ R^aE^2(sscr)Σ v LXX ἐναργείᾳ (om ἐν) C(corr C^2) ἐναρχεία N 6 στάζει ER^aVCN v ante οἰκία add ἡ ΣR^aE^2(sscr)P v LXX οἰκεία N εἰ: ἐὰν Σ 7 τὰ alt om P ἔχει PVT ἔχῃ v 8 δόγματος Λ(eras γ)Y (eras γ) ὁ om R^a 9 τῆς: τῇ C(corr C^2) σταγόνος ΛYS 11 τῷ: τὸ Σ οὐκ ἀντέχει: οὐ κατέχει Y ἡ om Σ(sscr $Σ^2$) 12 προσβολὴν τοῦ βάρους Σ ἐποκλάζουσα PVTCN 13 τὰ: τὸ Σ διαδίδεται NC(corr C^2) 14 αἱ om Y 15 post ἐκβάλλουσι add ἐκ ER^av LXX ante οἴκου add ἰδίου ER^a v, cf LXX 16 ἡμῖν om v αἴνιγμα R^a παρακελεύεται P 19 συμπτώσεως R^aE^2(corr ex ἐμ- ut vid)ΛYSv 20 ἐπιρροὴν τῶν: ἐπιρρούντων v 21 εἰσρέοσαν E(corr E^2) τῶν iterat P ταμιείων ER^aΣVv: ταμείων cett δεξώμεθα ΛYS

φθείρεται ἡμῖν τὰ ἀπόθετα. αἱ δὲ κέδροι αὗται τοῦ Λιβάνου, ἃς ἐφύτευσεν ὁ κύριος, αἷς ἐννοσσεύουσι τὰ στρουθία, ὧν ἡ τοῦ ἐρωδιοῦ καλιὰ καθηγεῖται, αὗται τοίνυν αἱ κέδροι, αἱ ἀρεταί, τὸν οἶκον τῆς νυμφικῆς παστάδος κατασφαλίζονται, αἷς ἐννοσσεύουσιν αἱ ψυχαὶ στρουθία γινόμεναι καὶ τῶν παγίδων ὑπεριπτάμεναι, ὧν καθηγεῖται ἡ τοῦ ἐρωδιοῦ 840 M. καλιά, ἣν οἰκίαν ὀνομάζει ὁ λόγος. λέγουσι δὲ ἀπεχθῶς περὶ τὰς μίξεις ἔχειν τοῦτο τὸ ὄρνεον καί τινι φύσεως ἀνάγκῃ πρὸς ἄλληλα συνδυάζεσθαι, κράζοντά τε καὶ δυσανασχετοῦντα καὶ τὴν ἀηδίαν ἐπισημαίνοντα. ὅθεν μοι δοκεῖ τὴν καθαρότητα ἐν αἰνίγματι διὰ τοῦ ὀνόματος τούτου σημαίνειν ὁ λόγος. ταύτας οὖν τὰς δοκοὺς ἐπὶ τοῦ ὀρόφου τῆς καθαρᾶς παστάδος βλέπει ἡ νύμφη, ὁρᾷ δὲ καὶ τὸν ἐκ τῆς κυπαρίσσου κόσμον διά τινος εὐξέστου τε καὶ ἐναρμονίου συνθέσεως τὸ

1-3 et 7 cf Ps 103, 16/7 5-6 cf Ps 123, 7 7-10 cf Aristot Hist anim p 609 b 21 sqq: τῶν δ' ἐρωδιῶν ἐστι τρία γένη, ὅ τε πέλλος καὶ ὁ λευκὸς καὶ ὁ ἀστερίας καλούμενος. τούτων ὁ πέλλος χαλεπῶς εὐνάζεται καὶ ὀχεύει· κράζει τε γὰρ καὶ αἷμα, ὥς φασιν, ἀφίησιν ἐκ τῶν ὀφθαλμῶν ὀχεύων καὶ τίκτει φαύλως καὶ ὀδυνηρῶς,

$E R^a$ ΛYS Σ PVT CN Syr 1 φθείρονται P ἡμῖν om P δὲ om R^a 2 ante αἷς add ἐν V ἐννοσσεύουσι ER^aΣ PVT: ἐννοσσεύει ΛYS ἐννοσεύσωσι CN ἐννοσεύσουσι C^2v ἐννοσσεύσουσιν LXX 2-5 τὰ — ἐννοσσεύουσιν om P 3 καλιά: οἰκία T LXX κατοικία V 4 νύμφης T παστάδος om T 5 ἐννοσσεύουσιν ER^aS$Λ^2$Σ: ἐννοσσεύσιν (sic) ΛY ἐννοσεύσουσιν CN ἐννοσσεύουσιν VT ἐννοσεύσουσιν v γενόμεναι Λ(corr $Λ^2$) γινόμενα v 5-6 καὶ — ὑπεριπτάμεναι om CN τῶν παγίδων: τοῦ θαλάκου (vel τῆς παστάδος) Syr 6 ὧν — 12 λόγος om Syr 7 καλιά: οἰκία ΛYS οἰκίαν: καλιὰν ΛYS κατοικίαν C^2(add κατ) 9 ἀλλήλας C (eras -ς) συνδοιάζεσθαι Λ κράζοντά PVCN Aristot: κλάζοντα YS ὀκλάζοντα ER^aΛΣTv τε om ER^av eras S 11 ἐν om VC σημαίνειν: ἐκμένειν R^a (super ἐ scr αι pr ut vid m) 12 τοῦ ὀρόφου correxi: ἐν τῷ ὀρόφῳ τῷ ὑπὲρ Syr(paraphr) τὰς ὀρόφους ER^aC(corr ταῖς ὀροφαῖς C^2)N τοὺς ὀρόφους cett v scil in exempl archetypi codd scriptum erat ΤΟΥΟΡΟΦΟΥ, quod scriba per errorem legit TAC et corr sua sponte ὀρόφους 13 τὸν in ras C^2 ἐκ: διὰ ΛYS 14 super εὐξέστου scr εὐεξοῦς P τε om ΛYV εὐαρμονίου S τὸ: τῷ C(corr C^2)

ὁρώμενον κάλλος ἐπαγλαΐζοντα· κυπάρισσον γὰρ εἶπεν εἶναι τὰ τοῦ ὀρόφου φατνώματα. φατνώματα δὲ λέγεται εὔρυθμός τις καὶ διάγλυφος σανίδων πῆξις τὸ τῆς ὀροφῆς κάλλος διαποικίλλουσα. τί οὖν διὰ τούτων μανθάνομεν; εὐπνοεῖ φυσικῶς ἡ κυπάρισσος· ἡ δὲ αὐτὴ καὶ σηπεδόνος ἐστὶν ἀπαράδεκτος καὶ πρὸς πᾶσαν τεκτονικὴν φιλοτεχνίαν ἐπιτηδείως ἔχει λεία τε γινομένη καὶ ἐναρμόνιος καὶ πρὸς τοὺς διὰ τῶν γλυφίδων καλλωπισμοὺς ἐπιτήδειος. τοῦτο οὖν οἶμαι διὰ τῶν λεγομένων ἡμᾶς παιδεύεσθαι μὴ μόνον ἐν τῇ ψυχῇ τὰς ἀρετὰς ἐν ἕξει κατορθοῦσθαι κατὰ τὸ ἄδηλον, ἀλλὰ μηδὲ τῆς κατὰ τὸ φαινόμενον εὐσχημοσύνης ἀμελῶς ἔχειν· χρὴ γὰρ προνοεῖν καλὰ ἐνώπιον θεοῦ καὶ ἀνθρώπων καὶ θεῷ μὲν πεφανερῶσθαι, ἀνθρώπους δὲ πείθειν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν καὶ λάμπειν τοῖς φωτεινοῖς ἔργοις ἔμπροσθεν τῶν ἀνθρώπων καὶ εὐσχημόνως περιπατεῖν πρὸς τοὺς ἔξωθεν. ταῦτά ἐστι τὰ φατνώματα τὰ διὰ τῆς τοῦ Χριστοῦ εὐωδίας, ἧς αἴνιγμά ἐστιν ἡ κυπάρισσος, ἐν τῇ εὐσχημοσύνῃ τοῦ βίου φιλοτεχνούμενα, καθὼς ᾔδει τὰ τοιαῦτα συντιθέναι καλῶς τε καὶ ἐναρμονίως ὁ σοφὸς ἀρχιτέκτων Παῦλος ὁ λέγων Πάντα κατὰ τάξιν ἐν ὑμῖν καὶ εὐσχημόνως γινέσθω.

5-6 cf Origen Comm III p 177, 19/20: 'cypressos, quibus et fortitudo robustior et odoris suavitas inest' 12 cf Prov 3, 4 (~II Cor 8, 21) 13 cf II Cor 5, 11 14 cf I Tim 3, 7 14-15 cf Matth 5, 16 15-16 cf I Thess 4, 12 19-20 cf I Cor 3, 10 20 I Cor 14, 40

ER^a ΛYS Σ PVT CN Syr 1 ἐναγλαΐζοντα ΛYSv εἶπεν om PV 2 φάτνωμα alt SPC (in marg iterat φάτνωμα C^2) post λέγεται add εἶναι ER^aVv 3 ἔνρυθμός PV ὀροφῆς: ἀρετῆς V 4 μανθάνωμεν C (corr C^2) 5 αὐτὴ: λυτὴ P 7 ἔχειν ΛYSC (eras -ν) λεία τε: ἅτε ΛYS γενομένη C 10 ἐν ἕξει om V 11 μηδὲ: μὴ N τῆς om ER^a εὐσχημοσύνην P 12 καλὰ om v θεοῦ Λ (in marg κυρίου $Λ^2$) Y Syr: κυρίου (scil secund text biblicum) cett v 13 ἀνθρώποις Y 16 ἔξω (scil de I Thess) ER^aSv τὰ alt om ER^aΛYSv 18 φιλοτεχνούμενα τοῦ βίου V φιλοτεχνουμένη v 19 post σοφὸς add καὶ ΛY 20 ἐν ὑμῖν coll post 21 εὐσχημόνως ΣT om (scil sec I Cor 14, 40) ER^a ἡμῖν PN 21 εὐσχημοσύνην ΛYS

Τούτων δὲ οὕτω κατορθωθέντων ἐπαύξησις τοῦ ἐν ἡμῖν γίνεται κάλλους τῆς πλατείας ἡμῶν φύσεως τὸ εὐῶδες καὶ καθαρὸν ἄνθος ἀναδιδούσης. ὄνομα δὲ τῷ ἄνθει κρίνον ἐστίν, ᾧ ἡ φυσικῶς ἐνθεωρουμένη λαμπρότης τὴν τῆς σωφροσύνης μαρμαρυγὴν ὑπαινίσσεται. ταῦτα γὰρ ἡ νύμφη περὶ ἑαυτῆς διεξέρχεται λέγουσα· ἐγὼ μετὰ τὸ γενέσθαι πρὸς τῇ κλίνῃ ἡμῶν τὸν νυμφίον συσκιασθέντα τῷ σώματι, ὃς ᾠκοδόμησεν ἑαυτῷ τὸν οἶκον, ἐμέ, ταῖς τῶν ἀρετῶν κέδροις ὀροφώσας τὴν στέγην καὶ τῇ εὐπνοίᾳ τῶν κυπαρίσσων καλλωπίσας τὸν ὄροφον, γέγονα ἐκ τοῦ πεδίου τῆς φύσεως ἄνθος εὐχροίᾳ τε καὶ εὐωδίᾳ τῶν λοιπῶν ἀνθῶν διαφέρουσα· κρίνον γὰρ ἀνεφύην ἐκ τῶν κοιλάδων. ἔχει δὲ ἡ λέξις οὕτως· Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. ἀληθῶς γὰρ ἡ διὰ τῶν προθεωρηθέντων ἡμῖν <ἐν> τῷ πλάτει τῆς φύσεως γεωργηθεῖσα ψυχή (πεδίον γὰρ ἀκούσαντες τὴν πλατύτητα τῆς ἀνθρωπίνης φύσεως ἐνοήσαμεν διὰ τὸ πολλῶν τε καὶ ἀπείρων αὐτὴν δεκτικὴν εἶναι νοημάτων τε καὶ πραγμάτων καὶ μαθημάτων) ἡ τοίνυν κατὰ τὸν εἰρημένον τρόπον παρὰ τοῦ γεωργοῦντος τὴν φύσιν ἡμῶν ἐμπονηθεῖσα ψυχὴ ἄνθος εὔοσμόν τε καὶ λαμπρὸν καὶ καθαρὸν ἀναφύεται ἐκ τοῦ τῆς φύσεως ἡμῶν πεδίου. τὸ δὲ πεδίον τοῦτο, κἂν συγκρίσει τῆς

12-13 Cant 2, 1

ER^a ΛYS Σ PVT CN Syr 1 ὑμῖν V 2-3 καθαρόν τε καὶ εὐῶδες T 3 ἄνθος om ΛYS δὲ om P κρίνος R^a 5 ὑπαινίττεται P αὐτῆς PN 6 ὑπεξέρχεται Λ (corr $Λ^2$) δι' ὑπεξέρχεται Y τὴν κλίνην ER^a 7 συσκιαθέντα Tv 8 ἡμᾶς τὸν οἶκον Syr ἐμέ, ταῖς: ἐμγαῖς C (corr C^2) 9 εὐχροία T 10 (φύ)σεως ἄνθος ex corr S 11 εὐωδμία Σ ἀνθέων V 12 ἀνεφύην καὶ ἀνεφάνην Syr post ἐγὼ add δὲ V 12-13 ἔχει — κοιλάδων om Syr 13 ante ἀληθῶς add ὡς Syr ex ἀληθῶς corr ἄνθος C^2 ἡ: ἣν P ἦν VC (eras et corr εἶναι C^2) N 14 ἐν supplevi de Syr non liquet (paraphr) τῷ πλάτει: τὸν πλοῦτον C^2 (suberat ut vid τῷ πλάτει) τῶ λόγω T τῆς om v 15-16 γεωργηθεῖσα — φύσεως om PVCN 16 ἐνενοήσαμεν Σ 17 πραγμάτων: ῥημάτων ER^av om Syr, an recte? 18 μαθημάτων: παθημάτων T 19 ἡμῶν τὴν φύσιν Σ ex ἐμπ(ονηθεῖσα) corr ἐκπ- C^2 20 εὔοδμόν ER^aSΣv τε om T 21 δὲ om PCN κἂν: καὶ Σ

οὐρανίας διαγωγῆς κοιλὰς ὀνομάζηται, οὐδὲν ἧττον πεδίον 841 M. ἐστὶ καὶ οὐ κωλύεται ἡ ἐν αὐτῷ γεωργηθεῖσα καλῶς ἄνθος γενέσθαι· ἐκ γὰρ τοῦ κοίλου ἐπὶ τὸ ὑψηλὸν ὁ βλαστὸς ἀνατέλλει, καθὼς ἔστιν ἰδεῖν ἐπὶ τοῦ κρίνου γινόμενον· ἐπὶ πολὺ γὰρ ἐπὶ τὸ ὄρθιον ἐκ τῆς ῥίζης καλαμοειδῶς ἀναδραμοῦσα ἡ βοτάνη τοῦ κρίνου τότε τὸ ἄνθος ἐκ τῆς κορυφῆς ἀναδίδωσιν οὐκ ὀλίγῳ τῷ μεταξὺ διαστήματι τῆς γῆς ἀποστήσασα, ὡς ἄν, οἶμαι, καθαρὸν ἐν μετεώρῳ διαμένοι τὸ κάλλος τῇ πρὸς τὴν γῆν ἐπιμιξίᾳ μὴ μολυνόμενον. διὰ ταῦτα καὶ ὁ δίκαιος ὀφθαλμὸς τὴν τοῦτο γενομένην ἤτοι γενήσεσθαι ποθήσασαν (ἀμφότερα γὰρ ἐκ τῶν εἰρημένων ὑπενοήσαμεν, ἢ ὅτι μεγαλαυχεῖται ὡς ἤδη γεγενημένη ὅπερ ἐπόθησεν, ἢ ὅτι δεῖται τοῦ γεωργοῦ ἄνθος γενέσθαι διὰ τῆς ἐκείνου σοφίας ἐκ τῶν κοιλάδων τῆς ἀνθρωπίνης ζωῆς εἰς κρίνου κάλλος ἀναδραμοῦσα), εἴτε οὖν γενέσθαι βούλεται τοῦτο εἴτε καὶ γέγονεν ὅπερ ἠθέλησε, καλῶς ὁ δίκαιος ὀφθαλμὸς τοῦ νυμφίου πρὸς τὴν ἀγαθὴν ἐπιθυμίαν τῆς πρὸς αὐτὸν ὁρώσης ἰδὼν ἐπένευσε γενέσθαι κρίνον αὐτὴν μὴ συμπνιγόμενον ταῖς τοῦ βίου ἀκάνθαις, ἃς θυγατέρας ὠνόμασεν ἐνδειξάμενος, οἶμαι, κατὰ τὸ σιωπώμενον τὰς ἐχθρὰς τῆς ἀνθρωπίνης ζωῆς δυνάμεις, ὧν πατὴρ ὁ τῆς

18-19 cf Luc 8, 14; cf Origen Comm III p 179, 14/5 21 δυνάμεις: cf ex. gr. Rom 8, 38

ER^a ΛYS Σ PVT CN Syr 1 ad οὐρανίας in marg adscr ἀψῖδος Σ^2 περιαγωγῆς coniecit Jaeger ὀνομάζεται ER^{a}ΛΥΣP 1-2 πεδίον ἐστὶ καὶ om Syr 2 αὐτῇ v γεωρθεῖσα Λ(corr Λ^2) γεγωργηθεῖσα v 3 γίνεσθαι C γίνεται N ὑψηλότερον T 4 ἀναθάλλει ΛYS τοῦ om Σ γενόμενον R^a (corr R^{a2}) 5 ἐπὶ alt om R^a ἐκ τῆς ῥίζης om T 6 τὸ om ΛYSP 8 ἀποστήσασα ὡς ἄν: ἀποστήσας δῶσαν NC(super-σας scr α et eras δῶσαν et in ras scr ὡς ἂ'ν ὡς (sic) C^2) ὡς: οἷς ΛYS διαμένη P 10 post ὀφθαλμὸς add ὁρᾷ P ἤτοι: ἢ V 11 γενήσεσθαι PCN: γενέσθαι cett v προειρημένων ΛYS 12 ἢ om PVCN γεγενημένη PVCN: γενομένη cett v 13 ἐπεπόθησεν ER^{a}v 15 γίνεσθαι NC^2(corr ex γεν-) 16 καὶ om ΣPVCN ἠθέλησε: ἐπόθησεν Σ καλὸς V 17 ἀγαθὸν Y 18 αὐτὸν: αὐτῶν N εἰδῶν C(corr C^2)N 19 συμπνιγόμενον ER^{a}Tv: συμπνιγομένην cett, de Syr non liquet (vox Syriaca κρίνον femin)

κακίας εὑρετὴς κατονομάζεται. Ὡς κρίνον οὖν φησιν ἐν μέσῳ τῶν ἀκανθῶν, οὕτως ἀδελφή μου ἀνὰ μέσον τῶν θυγατέρων. ὅσην ὁρῶμεν τῆς εἰς τὸ ὕψος ἀνόδου τὴν προκοπὴν ἐπὶ τῆς ψυχῆς γινομένην· πρώτη ἄνοδος τὸ πρὸς τὴν καθαιρετικὴν τῆς Αἰγυπτίας δυνάμεως ἵππον ὁμοιωθῆναι, δευτέρα ἄνοδος τὸ πλησίον αὐτὴν γενέσθαι καὶ περιστερὰς ποιῆσαι τὰ ὄμματα, τρίτη νῦν ἄνοδος τὸ μηκέτι πλησίον, ἀλλ' ἀδελφὴν τοῦ δεσπότου ὀνομασθῆναι· Ὃς γὰρ ἂν ποιήσῃ, φησί, τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, οὗτος ἀδελφός μου καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. ἐπεὶ οὖν γέγονεν ἄνθος μηδὲν ὑπὸ τῶν ἀκανθοφόρων πειρασμῶν πρὸς τὸ γενέσθαι κρίνον παραβλαβεῖσα, ἐπιλαθομένη δὲ τοῦ λαοῦ καὶ τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς πρὸς τὸν ἀληθινὸν εἶδε πατέρα (διὸ καὶ ἀδελφὴ τοῦ υἱοῦ ὀνομάζεται τῷ τῆς υἱοθεσίας πνεύματι πρὸς τὴν συγγένειαν ταύτην εἰσποιηθεῖσα καὶ τῆς πρὸς τὰς θυγατέρας τοῦ ψευδωνύμου πατρὸς κοινωνίας ἀπαλλαγεῖσα),

1 Cant 2, 2 8 Matth 12, 50 12 cf Ps 44, 11 14 cf Rom 8, 15 16 cf Joh 8, 44 et quae Origen de hoc loco contra Heracleonem Gnosticum disputat demonstrans diabolum re vera nullius patrem esse (in Joh XX, 24 p 359)

ER^a ΛYS Σ PVT CN Syr 1 εὑρετής: εὐεργέτης N οὖν φησιν: scr φησὶ γὰρ et coll ante ὡς V 1-2 ἐν μέσῳ: ἀνὰ μέσων E(ut vid, corr E^2) 2 ante ἀδελφή add ἡ ΛYSΣ ἀνὰ μέσων P ἐν μέσῳ Vv 3 post θυγατέρων add μου N τῆς ΛYSΣv: τὴν E(ut vid, corr E^2)PVT(corr ex-ῆς in ras)CN τὸ om T ἄνοδον VC(sscr καὶ C^2) ἄνοδον καὶ T ἐπάνοδον N τὴν om V 4 τό: τὴν VC (sscr τὸ C^2) τῷ Syr 5 Αἰγυπτίας om CN αἰγυπτιακῆς T τῶν ἐναντίων δυνάμεων Syr 6 τὸ: τῷ Syr τὸν (vel τοῦ?) C(eras ν C^2) αὐτήν: τοῦ νυμφίου Syr περιστερὰν VC(corr C^2)N περιστερᾶς plurimi codd v ποιῆσαι (scil τῷ ἀτενίζειν τῇ περιστερᾷ τοῦ πνεύματος, cf p 105,16 sqq): γενέσθαι Syr 7 νῦν: τοίνυν CNv 8 γὰρ om v φησί coll ante ποιήσῃ P om ΛYS 8-9 ποιήσει coll post μου Σ 9 τοῖς eras P om T post οὗτος add ὁ v 9-10 μου ἀδελφὸς ΣT (scil sec Matth 12, 50) 10 post ἀδελφὴ add μου Cv Syr post μήτηρ add μου C Syr 11 ἀκανθηφόρων E(et η et ο in ras) R^{a}ΛYPv 12 post λαοῦ add αὐτῆς Syr 13 ante πρὸς add καὶ T τόν: τὸ N 13-14 πρὸς — υἱοῦ om V 14 υἱοῦ: κυρίου v (υ)ἱοῦ corr in ras C^2 ὀνομάζεται τοῦ υἱοῦ Σ πνεύματι: πατρὶ Syr 15 εἰποιηθεῖσα N ἐκποιηθεῖσα V 16 τοῦ ex corr T τοῦ πατρὸς τοῦ ψεύδους Syr

πάλιν ἑαυτῆς γίνεται ὑψηλοτέρα καὶ βλέπει τι μυστήριον διὰ τῶν τῆς περιστερᾶς ὀφθαλμῶν (λέγω δὲ τῷ πνεύματι τῆς προφητείας). ὃ δὲ βλέπει, τοῦτό ἐστιν· Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν. τί οὖν ἐστιν, ὃ τεθέαται; δρυμὸν ὀνομάζει συνήθως ἡ θεία γραφὴ τὸν ὑλώδη τῶν ἀνθρώπων βίον τὸν τὰ ποικίλα εἴδη τῶν παθημάτων ὑλομανήσαντα, ἐν ᾧ τὰ φθαρτικὰ θηρία φωλεύει καὶ κατακρύπτεται, ὧν ἡ φύσις ἐν φωτὶ καὶ ἡλίῳ ἀνενέργητος μένουσα διὰ σκότους τὴν ἰσχὺν ἔχει· μετὰ γὰρ τὸ δῦναι τὸν ἥλιόν φησιν ὁ προφήτης νυκτὸς ἐπιγενομένης ἐν αὐτῇ τὰ θηρία τοῦ δρυμοῦ τῶν φωλεῶν ἀναδύεσθαι. ἐπειδὴ τοίνυν ὁ μονιὸς ὁ ἐν τῷ δρυμῶνι τρεφόμενος τὴν καλὴν τῆς ἀνθρωπίνης φύσεως ἄμπελον ἐλυμήνατο, καθώς φησιν ὁ προφήτης ὅτι Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν, διὰ τοῦτο ἐμφύε-
844 M. ται τῷ δρυμῶνι τὸ μῆλον, ὃ τῷ μὲν ξύλον εἶναι τῆς ἀνθρωπίνης ὕλης ἐστὶν ὁμοούσιον (ἐπειράσθη γὰρ κατὰ πάντα

3 Cant 2, 3 10-11 cf Ps 103, 20 14 Ps 79, 14 17 cf Hebr 4, 15

ER^a ΛYS Σ PVT CN Syr 1 γίνεται ἑαυτῆς ER^av τι: τὸ CNv 2-3 διὰ — ἐστιν: καὶ διὰ τοῦτό φησιν ὅτι Syr 2 δὲ ΣPCNv: δὴ cett 3 βλέπει: λέγει v τοῦτο: τοιοῦτον ER^aTv 4 οὗτος Σ ἀδελφιδοῦς P μέσων V 5 δρυμῶνα ΛYS 6 θεία: ἁγία ER^aΣTv om V τὰ τὸν (alt) V 7 τῶν παθημάτων εἴδη R^av et εἴδη post παθημάτων coll et ante εἴδη add τὰ E (τὰ εἰ in ras 5 vel 6 litt, quarum e numero litt ι post τὰ subfuisse etiam nunc videre potes) μαθημάτων Syr an recte? cf Origen Comm III p 181, 8 'ad asperitatem haereticorum dogmatum ac sterilem eorum infructuosamque doctrinam' 8 κρύπτεται P 9 μένουσα om V 11 ἐπιγενομένης ΛYSTC: ἐπιγινομένης cett v ante τὰ add πάντα Syr (scil secund Ps 103, 20) τοῦ δρυμοῦ om v τὸν φολεὸν C (corr C^2) τὸν φωλαιὸν N 12 ὁ alt om C litt δρυ vocis δρυμῶνι in ras 2 litt corr T δρυμῷ Σ ὄρει ΛYS 13 καλὴν corr in καλλονὴν C^2 ἄμπελον adscr in fine lin E om CN 14 ante δρυμοῦ add τοῦ CN 15-16 ἐμφυτεύεται P φύεται ΣT φαίνεται ΛYS 16 ante τῷ pr add ἐν ΛYSΣT δρυμῷ Σ μῆλον: ξύλον Syr τῷ alt: τὸ ΛYC (corr C^2) N τῷ μὲν ξύλον εἶναι om T (sed marg adscr) 17 ὕλης: φύσεως Σ γένους Syr ἐπειράσθη Cv: ἐπορεύθη YΛ (ut vid, corr ἐπειράθη $Λ^2$) ἐπειράθη cett κατὰ om N

καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας), τῷ δὲ τοιοῦτον φέρειν καρπόν, δι' οὗ γλυκαίνεται τὰ τῆς ψυχῆς αἰσθητήρια, πλείονα ἔχει τὴν πρὸς τὸν δρυμὸν παραλλαγὴν ἢ ὅσην ἔχει πρὸς τὰς ἀκάνθας τὸ κρίνον· τὸ μὲν γὰρ κρίνον μέχρι τοῦ εἴδους καὶ τῆς εὐπνοίας τὸ τερπνὸν ἔχει, ἡ δὲ τοῦ μήλου χάρις πρὸς τὰς τρεῖς αἰσθήσεις ἁρμοδίως καταμερίζεται καὶ ὀφθαλμὸν εὐφραίνουσα τῇ ὥρᾳ τοῦ εἴδους καὶ τὴν ὀσφραντικὴν ἡδύνουσα αἴσθησιν διὰ τῆς εὐπνοίας καὶ τροφὴ γινομένη καταγλυκαίνει τὰ γευστικὰ αἰσθητήρια. καλῶς οὖν εἶδεν ἡ νύμφη τὸ ἑαυτῆς πρὸς τὸν δεσπότην διάφορον, ὅτι ἐκεῖνος μὲν ἡμῖν καὶ ὀφθαλμῶν γίνεται χάρις φῶς γινόμενος καὶ μύρον [ἐν] τῇ ὀσφρήσει καὶ ζωὴ τοῖς ἐσθίουσιν (ὁ γὰρ φαγὼν αὐτὸν ζήσεται, καθώς φησί που τὸ εὐαγγέλιον), ἡ δὲ ἀνθρωπίνη φύσις δι' ἀρετῆς τελειωθεῖσα ἄνθος γίνεται μόνον, οὐ τὸν γεωργὸν τρέφουσα ἀλλ' ἑαυτὴν καλλωπίζουσα· οὐ γὰρ ἐκεῖνος ἐνδεὴς τῶν ἡμετέρων ἀγαθῶν, ἀλλ' ἡμεῖς τῶν ἐκείνου δεόμεθα, καθώς φησιν ὁ προφήτης Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.

Διὰ τοῦτο βλέπει τὸν νυμφίον ἡ κεκαθαρμένη ψυχὴ μῆλον ἐν τοῖς τοῦ δρυμοῦ ξύλοις γενόμενον, ἵνα ἐγκεντρίσας

5 sqq cf Origen Comm III p 180, 25/6 12 φῶς cf Joh 1, 9; μύρον cf supra p 88,13 sqq 13 cf Joh 6,51-56 18 Ps 15,2 20 sqq cf Rom 11,17; 19; 24

ER^a ΛYS Σ PVT CN Syr 1 καθ' ὁμοιότητα om ΛYS post ὁμοιότητα add τὴν ἡμετέραν P sscr τὸν ἡμέτερον C^2 τῷ: τὸ Λ (corr $Λ^2$) YPC (corr C^2) 2 post οὗ add καὶ V γλυκαίνεται coll post ψυχῆς V 3 δρυμῶνα ΛYSΣVT (corr ex δρυμὸν) ἢ om ER^a 4 κρίνον pr—γὰρ om PVCN ante μέχρι add ὃ PV post μέχρι sscr γὰρ C^2 5 post εὐπνοίας add μόνον Syr τοῦ μήλου: in marg adscr παρὰ τοῦ μήλου C^2 6 μερίζεται ΛYS 7 ἐμφαίνουσα V 8 ἡδύνουσα αἴσθησιν: ἡδύ · · · · · · · · · · σιν C (9 vel 10 litt eras et in marg adscr νουσα et in ras scr μαστθω (sic) et sscr αἴσθησιν C^2 et C^3) 9 γενομένη Λ (corr $Λ^2$) YC (corr C^2) καταγλυκαίνουσα V 10 ἡ om R^a δεσπότην: νυμφίον Syr 11 ἡμῶν ER^av om Syr 12 γινόμενον N ἐν seclusi om ut vid Syr (paraphr) 13 αὐτὸ ΛY 13-14 καθώς —εὐαγγέλιον om Syr 14 που om P 15 γίνεται ἄνθος Σ 17 καθαθώς T 18 post προφήτης add πρὸς θεὸν Syr 20 γινόμενον VT γενομένη v 20-118,1 ἐγκεντρίσασα ἑαυτῇ v

ἑαυτῷ πάντας τοὺς ἀγρίους τοῦ δρυμῶνος κλάδους τῷ ὁμοίῳ καρπῷ βρύειν παρασκευάσῃ. ὥσπερ τοίνυν τὰς θυγατέρας διὰ τὸ ταῖς ἀκάνθαις ὁμοιωθῆναι τὰ τοῦ ψευδωνύμου πατρὸς ἐνοήσαμεν τέκνα, αἵτινες τῷ ἄνθει συμπαραφυεῖσαι τῷ χρόνῳ καὶ αὐταὶ πρὸς τὴν τοῦ κρίνου μεταβαίνουσι χάριν, οὕτω καὶ ἐνταῦθα τοὺς προσεικασθέντας τοῖς ξύλοις τοῦ δρυμοῦ ἀκούσαντες οὐ φίλους σημαίνεσθαι τοῦ νυμφίου ἀλλὰ τοὺς ἐναντίους ὑπενοήσαμεν, οὓς υἱοὺς ὄντας τοῦ σκότους καὶ τέκνα ὀργῆς τῇ κοινωνίᾳ τοῦ καρποῦ εἰς υἱοὺς φωτὸς καὶ υἱοὺς εἰρήνης μετασκευάζει. διὰ τοῦτό φησιν ἡ γεγυμνασμένη τὰ αἰσθητήρια ὅτι Ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου. καρπὸς δὲ ἡ διδασκαλία πάντως ἐστίν· Ὡς γλυκέα γάρ φησιν ὁ προφήτης τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.

Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν. ὑπὸ τὴν σκιὰν αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου. τότε γὰρ ὡς ἀληθῶς γλυκαίνεται τῷ λόγῳ τὰ τῆς ψυχῆς αἰσθητήρια, ὅταν ἡμᾶς πρὸς τὸν ἐκ τῶν πειρασμῶν

4-5 cf Luc 8, 7 (συμφυεῖσαι) 8-12 cf Origen Comm III p 181, 6-17 9 cf I Thess 5,5; Eph 2,3 9-10 cf I Thess 5, 5 (υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας!); Luc 10, 6 (υἱὸς εἰρήνης) 11 Cant 2, 3 13 Ps 118,103 15 Cant 2,3

$E R^a$ ΛYS Σ PVT CN Syr 1 ἀγρίους om Syr δρυμοῦ Σ 2 παρασκευάσει ΛYΣ post ὥσπερ add γὰρ V 4 ἐνενοήσαμεν v τὰ (vel τὸ?) ἄνθη C(corr C^2) 5 τῷ χρόνῳ om Syr αὗται ΛYSVC^2 6 προεικασθέντας VCN παρεικασθέντας TC^2 post τοῖς add τοιούτοις ER^aTv 8 ὑπεναντίους ΛYSΣVT οὓς: ὃς C(corr C^2) τοῦ: τοὺς N 8-9 υἱοὺς—καρποῦ om Syr 10 υἱοὺς om ΛY εἰρήνης: ἡμέρας ER^aVv παρασκευάζει V ἡ om V 10-11 διὰ—αἰσθητήρια om ΛYS 11 post αἰσθητήρια add ψυχὴ Σv ὁ om Vv LXX 12 τῷ om LXX μου: αὐτοῦ C 13 γλυκεῖα E(corr E^2)VN γλυκία ΣC(ut vid, corr C^2) ὁ προφήτης coll ante φησὶν ΛYSΣT coll post 14 σου ER^av ante τῷ add ἐν T 13-14 τὰ λόγιά σου om R^aC(post γὰρ adscr C^2)N 14 ὑπὲρ—μου om ER^a 15-18 ὡς—μου om V 15 οὗτος Σ ἀδελφιδοῦς P 16 μέσων P ἐπιθύμησα Σ 18 post μου add ὑπὲρ μέλϊ τῶ στόματί μου N ὡς om ER^av τῷ λόγῳ coll post 19 αἰσθητήρια T 19 ἡμᾶς om R^a τὸν om PN ἐκ om N

φλογμὸν ἡ σκιὰ τοῦ μήλου διατειχίσῃ, ὡς μὴ συγκαίεσθαι ἡμᾶς ὑπὸ τοῦ τοιούτου ἡλίου γυμνῆς τῆς κεφαλῆς ὑπερζέοντος. οὐκ ἔστι δὲ ἄλλως ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς ἀναψῦξαι μὴ τῆς ἐπιθυμίας πρὸς τοῦτο τὴν ψυχὴν ἀναγούσης. ὁρᾷς διὰ τί σοι ἡ ἐπιθυμητικὴ δύναμις ἔγκειται, ἵνα σοι πόθον ἐμποιήσῃ τοῦ μήλου, οὗ πολυειδὴς γίνεται τοῖς προσεγγίσασιν ἡ ἀπόλαυσις· ὅ τε γὰρ ὀφθαλμὸς τῇ ὥρᾳ τοῦ κάλλους προσαναπαύεται καὶ ὁ μυκτὴρ ἀναπνεῖ τὴν εὐωδίαν καὶ τὸ σῶμα τρέφεται καὶ τὸ στόμα γλυκαίνεται καὶ ὁ καύσων ἀποστρέφεται καὶ ἡ σκιὰ θρόνος γίνεται, ᾗ ἐγκάθηται ἡ ψυχὴ ἡ τῶν λοιμῶν τὴν καθέδραν ἀρνησαμένη.

845 M. Εἶτά φησιν Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην, στηρίσατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ. ὢ πῶς τρέχει τὸν θεῖον δρόμον ἡ καλῶς τῇ ἵππῳ προσεικασθεῖσα ψυχή, ὡς πυκνοῖς τε καὶ συντεταμένοις τοῖς ἅλμασι τοῖς ἔμπροσθεν ἐπεκτείνεται, πρὸς δὲ τὸ κατόπιν οὐκ ἐπιστρέφεται· πόσων ἔτυχεν ἐν τοῖς φθάσασιν. καὶ ἔτι διψῇ. καὶ τοσαύτη τοῦ δίψους ἐστὶν ἡ ἐπίτασις, ὅ τι οὐκ ἀρκεῖται τῷ τῆς σοφίας κρατῆρι.

3-4 cf Origen Comm p 183, 5: 'non enim quis poterit ad illa, quae vera sunt et perfecta, pervenire, nisi prius desideraverit et concupierit in hac umbra residere.' 3 ξύλον τῆς ζωῆς cf Gen 2, 9; 3, 22; cf Apoc 22, 2 10 ἡ σκιὰ θρόνος unde? 11 cf Ps 1, 1 12 Cant 2, 4/5 14-15 cf II Tim 4, 7 19 cf Prov 9, 2; cf Origen Comm III p 185,4; sed cf et p 185,28-186,12!

$E R^a$ ΛYS Σ PVT CN Syr 1 φλογισμὸν P διατειχήσει ΣC (corr C^2) 2 ἡμᾶς om V 4 ἀναγούσης ΛYSΣv Syr(ut vid): ἐναγούσης ER^a ἀγαγούσης PVCN ἀγούσης T 6 ἐμποιήσοι T πολυήδεὶς (sic) Σ 7 προσηγγισάσιν Σ προσεγγίζουσιν T 9 τὸ στόμα: τὸ σῶμα Λ(corr $Λ^2$) Y(στῶμα) ἡ γεῦσις Σ 10 καὶ ὁ καύσων ἀποστρέφεται om Syr ἀναστρέφεται ΛY 11 ἡ pr om ΛYS ἡ alt om Σ τῶν: τω R^a 12 post με add φησὶν ΛY ante οἶκον add τὸν T τάξετε N τάξεται Σ 13 στηρίξατέ Pv 14 ὢ πῶς: ὅπως ΛYv τρέχῃ ΛYv 14-15 τῷ θείῳ δρόμῳ v 15 τῇ (cf supra p 75,9 sqq) PV: τῷ cett v προεικασθεῖσα N(corr N^2 ut vid) 16 συντεταγμένοις P αἵμασι Y 16-17 ἐπεκτείνηται ΛY 17 πόσον R^aP 18 ἐν τοῖς: ἐντος (sic) N διψᾷ ER^aΣv δίψους: ὕψους P 19 ὅ τι scripsi: ὅτι codd v Syr, sed ὅτι sensu consecutivo construi non potest. itaque construendum est: τοσοῦτον τὸ

οὐδ' ἱκανὸν οἴεται πρὸς θεραπείαν τῆς δίψης ὅλον ἐγχέασθαι τὸν κρατῆρα τῷ στόματι, ἀλλ' εἰς αὐτὸν τοῦ οἴνου τὸν οἶκον παραχθῆναι ζητεῖ καὶ αὐταῖς ταῖς ληνοῖς ὑποσχεῖν τὸ στόμα, αἳ τὸν οἶνον τὸν ἡδὺν ὑπερβλύζουσι, καὶ ἰδεῖν τὸν βότρυν τὸν ταῖς ληνοῖς ἐνθλιβόμενον καὶ τὴν ἄμπελον ἐκείνην τὴν τὸν τοιοῦτον βότρυν ἐκτρέφουσαν καὶ τὸν γεωργὸν τῆς ἀληθινῆς ἀμπέλου τὸν οὕτως εὔτροφον τὸν βότρυν καὶ ἡδὺν ἐργαζόμενον· ὧν ἕκαστον περιττὸν ἂν εἴη διευκρινεῖσθαι φανερᾶς οὔσης τῆς ἑκάστῳ τούτων ἐνθεωρουμένης τροπικῆς σημασίας. πάντως δὲ κἀκεῖνο βούλεται κατιδεῖν τὸ μυστήριον, πῶς ἐρυθαίνεται τῷ πατητῷ τῆς ληνοῦ τὰ τοῦ νυμφίου ἱμάτια, περὶ οὗ φησιν ὁ προφήτης Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; διὰ ταῦτα καὶ τὰ τοιαῦτα ἐντὸς γενέσθαι τοῦ οἴκου ποθεῖ, ἐν ᾧ τὸ κατὰ τὸν οἶνόν ἐστι μυστήριον. εἶτα ἐντὸς γενομένη πάλιν ἐπὶ τὸ μεῖζον ἐξάλλεται· ζητεῖ γὰρ ὑποταγῆναι τῇ ἀγάπῃ. ἀγάπη δέ ἐστιν ὁ θεὸς κατὰ τὴν Ἰωάννου φωνήν, ᾧ τὸ ὑποταγῆναι τὴν ψυχὴν σωτηρίαν εἶναι ὁ Δαβὶδ

3-4 cf Prov 3,10   6-7 cf Joh 15,1; cf Origen l.l. 14/5   12 Isai 63,2   17 I Joh 4,8; 16   18 cf Ps 61,2

δίψος, ὅ τι (scil τὸ δίψος) οὐκ ἀρκ. cf ex. gr. Herod VII 49 οὔτε ··· ἐστι λιμὴν τοσοῦτος ···, ὅστις ·· ἔσται.   τῆς σοφίας: τοῦ οἴνου τοῦ νυμφίου Syr, quod praestare putares, nisi ex Origene l.l. eluceret Gregorium ad Prov 9, 2 spectavisse.

ERᵃ ΛYS Σ PVT CN Syr   1 ἐκχέασθαι RᵃP ἐγχέεσθαι ΛYSN   2 τοῦ οἴνου om P   3 παραχεθῆναι ΛYS   4 αἳ: ταῖς ERᵃv   τὸν ἡδὺν om Syr   ἡδὺν: ἡ ex corr et ν sscr C²   super ὑπερβλύζουσι scr ἀπο P   ὑπερβλίζουσαι N   ὑπερβλυζούσαις ERᵃv   5 ταῖς: τοῖς N   ante ταῖς 2 litt eras Λ (ut vid ἐν)   ἐκθλιβόμενον N   6 τὸν pr om PT   7 ἔντροφον P   τὸν alt om Σ   8 ἡδὺ NC (add ν C²)   ἀπεργαζόμενον ERᵃv   ὧν: ὃν N   9 ἑκάστου Λ (corr Λ²) YSΣ   10 κἀκεῖνο: ἐκεῖνο N   κατιδεῖν: καὶ ἰδεῖν ΛY   11 ἐρυθαίνεται ERᵃT (eras ρ post θ) CN: ἐρυθραίνετο P   ἐρυθραίνεται cett v   τῆς: τοῦ ΛYV   12 ante διὰ add ὅτι ERᵃ ΛYSΣv   13 πατητῆς T   14 τοῦ οἴκου γενέσθαι ERᵃv   15 ποθῶ Y   ποθ ···Λ (εῖ in ras 4 litt Λ²)   ποθῇ C (corr C²)   16 γινομένη PC² (ex γεν-)   πάλιν coll post μεῖζον Σ om ΛY   post γὰρ add τὸ Rᵃv   17 post δὲ add αὕτη Syr   18 σωτήριον T LXX

ἀπεφήνατο. ἐπεὶ οὖν γέγονα, φησίν, ἐν τῷ οἴκῳ τοῦ οἴνου, ὑποτάξατέ με τῇ ἀγάπῃ ἤτοι τάξατε ἐπ' ἐμὲ τὴν ἀγάπην. ὅπως γὰρ ἂν χρήσῃ τῇ ἀναστροφῇ τοῦ λόγου, ταὐτόν ἐστι δι' ἑκατέρου τὸ σημαινόμενον, ἔκ τε τοῦ ὑπὸ τὴν ἀγάπην ταχθῆναι καὶ ἐκ τοῦ τὴν ἀγάπην αὐτῇ ἐπιταχθῆναι.

Ἢ τάχα τι καὶ δόγμα τῶν ἀστειοτέρων διὰ ταύτης τῆς φωνῆς διδασκόμεθα, οἵαν ἀνατιθέναι προσήκει τῷ θεῷ τὴν ἀγάπην καὶ ὅπως πρὸς τοὺς ἀνθρώπους ἔχειν· εἰ γὰρ χρὴ πάντα κατὰ τάξιν καὶ εὐσχημόνως γίνεσθαι, πολὺ μᾶλλον ἐν τοῖς τοιούτοις ἡ τάξις ἁρμόδιος. οὐ γὰρ ἂν οὐδὲ ὁ Κάϊν ἐπὶ τῷ κακῶς διελεῖν κατεκρίθη, εἰ μετὰ τοῦ ὀρθῶς προσενεγκεῖν καὶ τὸ πρέπον ἐν τῇ τάξει ἐφύλαξε τῶν αὐτῷ τε πρὸς τὴν χρείαν καταλειπομένων καὶ τῶν τῷ θεῷ ἀφιερουμένων· δέον γὰρ ἐκ τῶν πρωτογενημάτων τῷ θεῷ τῆς θυσίας ἀπάρξασθαι, αὐτὸς τῶν τιμιωτέρων ἐμφορηθεὶς τὸν θεὸν τοῖς λειψάνοις ἐδεξιώσατο. χρὴ τοίνυν

9 cf I Cor 14, 40; cf Origen Comm III p 187, 12-14   11 sqq cf Gen 4, 7   13-14 cf ex. gr. Deut 15, 19-22   14-15 cf Exod 23, 19

ERᵃ ΛYS Σ PVT CN Syr   1 φασὶν N   2 et ὑποτάξετέ et τάξετε N   ante τῇ add ἐν P   ἐπ' ἐμέ: ἐμ' ἐμὲ P (supra μ pr 1 litt eras)   ἐπεμοὶ N   3 γὰρ om ΛYv   post ἂν add τι YSΛ (?, ἂν χρήσῃ ex corr Λ²)   ante τὴν ἀναστροφὴν (sic, corr C²) add τῇ ἀγάπῃ ἢ C   ταὐτόν: τοῦτο Syr   5 καὶ—ἐπιταχθῆναι om ΛY   ἐκ om v   6 δόγμα τῶν ERᵃTC²v Syr: δογμάτων cett   7 οἶον C   ante οἵαν add τουτέστιν Syr   ἀνατεθῆναι ΛYS (ε evan)   7-8 προσήκει coll post ἀγάπην Rᵃv   om E (post ἀγάπην in marg adscr E²)   8 ἀνθρώπους restitui: ἀνθρώπους καὶ τὸ λοιπὸν Syr (scil legit in exempl suo: 'ΑΝΟΥCΚΑΙΤΟΥC'ΑΛΛΟΥC)   ἄλλους codd v   ἔχει ΛYS (ut vid, sed evan)   10 πολλῷ ERᵃΛYSv   ἡ τάξις coll ante ἐν ERᵃv   τοῖς om N   forma ἁρμόδιος pro feminino alibi non invenitur; sed cum persaepe in codd mss aliorum scriptorum voces ἁρμόδιος et ἁρμόνιος inter se mutentur, confirmare non possumus formam ἁρμόδιος pro femin alienam esse ab usu linguae   οὐ: οὐδὲ ΛYS   11 ἂν om P   οὐδέ: οὔτε v   τῷ: τὸ PC (corr C²) N   12 πεφύλαχε v   13 ante τῶν pr add καὶ P   αὐτῷ Syr: αὐτῷ codd v   τὴν om v   καταλιπομένων N   καταλιμπανομένων ΛYS   14 ἀφιερωμένων ERᵃTNv   πρωτογεννημάτων ΛYS (sscr ν pr)   πρώτων γενημάτων RᵃE² (corr πρώτων e πρωτο) v (γεννη-)   15 ante τῷ add αὐτῷ P   τῆς: τὰς ΛYS

εἰδέναι τῆς ἀγάπης τὴν τάξιν, ἣν ὑφηγεῖται διὰ τοῦ νόμου, πῶς μὲν ἀγαπᾶσθαι χρὴ τὸν θεόν, πῶς δὲ τὸν πλησίον καὶ τὴν γυναῖκα καὶ τὸν ἐχθρόν, μήποτε ἄτακτός τις καὶ ἐνηλλαγμένη γένηται τῆς ἀγάπης ἡ ἀποπλήρωσις· δεῖ γὰρ τὸν θεὸν μὲν ἀγαπᾶν ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ δυνάμεως καὶ αἰσθήσεως, τὸν δὲ πλησίον ὡς ἑαυτόν, τὴν γυναῖκα δέ, εἰ μέν τις καθαρωτέρας ἐστὶ ψυχῆς, ὡς ὁ Χριστὸς τὴν ἐκκλησίαν, ὁ δὲ ἐμπαθέστερος, ὡς τὸ ἴδιον σῶμα (οὕτω
848 M. γὰρ κελεύει ὁ τῶν τοιούτων διατάκτης Παῦλος), τὸν ἐχθρὸν δὲ ἐν τῷ μὴ κακὸν ἀντιδοῦναι κακοῦ, ἀλλὰ δι' εὐεργεσίας τὴν ἀδικίαν ἀμείψασθαι. νῦν δὲ συγκεχυμένην ἔστιν ἰδεῖν καὶ ἄτακτον ἐπὶ τῶν πολλῶν τὴν ἀγάπην, διὰ τῆς ἀκαταλλήλου ἀναρμοστίας πεπλανημένως ἐνεργουμένην, οἳ χρήματα μὲν καὶ τιμὰς καὶ γυναῖκας, ἂν τύχωσι θερμότερον πρὸς αὐτὰς διακείμενοι, ἐξ ὅλης ἀγαπῶσι ψυχῆς καὶ δυνάμεως, ὡς καὶ τὴν ζωὴν ἂν ὑπὲρ αὐτῶν ἐθελῆσαι προέσθαι, θεὸν δὲ τοσοῦτον ὅσον δοκεῖν· τῷ δὲ πλησίον μόγις ἂν ἐπιδείξαιντο τὴν τοῖς ἐχθροῖς ἀφορισθεῖσαν ἀγάπην. ἡ δὲ πρὸς τὸν μισοῦντα

1 sqq cf Origen Comm III p 186, 18 sqq 4-6 cf Marc 12, 30/1 et parallel (cf Deut 6, 5; Lev 19, 18) 7 cf Eph 5, 25; cf Origen Comm III p 188, 22 sq 8 cf Eph 5, 28 10 cf Rom 12, 17; I Thess 5, 15

ER^a ΛYS Σ PVT CN Syr 3 μήπως P 4 ἐνηλλαγμένη ER^aTv: ἐπηλλαγμένη Λ(corr Λ^2)YS ὑπηλλ. PVCN παρηλλ. Σ 5 τὸν PVCN: om cett v μὲν om V τε om PVTCN post δυνάμεως add καὶ ἰσχύος C 6 σεαυτὸν Λ(corr Λ^2) ante τὴν add καὶ PVCN 7 δὲ coll ante 6 γυναῖκα ER^aTv om PVCN τις: τῆς ER^aΛYSC^2(corr e τις) om v ἐστι καθαρωτέρας T 8 ὁ: εἰ Λ^2C^2 9-10 δὲ coll ante ἐχθρὸν T eras C^2(add post ἐχθρὸν in fine lin inter column ἀγαπᾶν) 10 ἀντιδοῦναι ER^aCNv: ἀντιδιδόναι ΛYSPT ἀποδοῦναι V ἀνταποδοῦναι Σ κακοῦ ΣPVC: κακὸν N τῶ κακῶ T(sscr bis ου) κακῷ ER^aΛYSv post εὐεργεσίας add τινὸς C 12 καταλλήλου ΣV ἀκαταλήπτου ΛY 13 ἀναρμοσίας Y ἐνεργουμένην: ὁδηγουμένην N 14 αὐτὰ ΛYS 14-15 ἂν—διακείμενοι om Syr 15 ἀγαπῶσιν coll post δυνάμεως ER^av ante ψυχῆς add καὶ P 16 ἐθελῆσαι om E (in marg adscr E^2) θεῶ PN 17 (δοκ)εῖν corr Λ^2 in ras ν eras C^2 τῷ: τὸν Λ(corr Λ^2)YSV μόλις ER^aΛYSTv ἐπιδεῖξαι τὸ N ἐπιδείξειε T(sscr αι) 18 τὸν: τὸ PE(ut vid, corr τοὺς E^2) τοὺς μισοῦντας R^aE^2(adscr -ς alt)ΛYSΣN(corr ut vid e τὸν et -τα) v

σχέσις ἐστὶ τὸ μείζονι κακῷ τοὺς προλελυπηκότας ἀμύνεσθαι. τάξατε οὖν, φησίν, ἐπ' ἐμὲ τὴν ἀγάπην, ὥστε θεῷ μὲν ἀναθεῖναι ὅσον ὀφείλεται, ἐπὶ δὲ τῶν ἄλλων ἑκάστου τοῦ προσήκοντος μέτρου μὴ ἀστοχῆσαι. ἢ καὶ τοῦτο τυχόν ἐστιν ὑπονοῆσαι διὰ τοῦ λόγου, ὅτι ἐπειδὴ ἀγαπηθεῖσα παρὰ τὴν πρώτην διὰ τῆς παρακοῆς ἐν τοῖς ἐχθροῖς ἐλογίσθην, νυνὶ δὲ πάλιν εἰς τὴν αὐτὴν ἐπανῆλθον χάριν δι' ἀγάπης τῷ δεσπότῃ συναρμοσθεῖσα, κυρώσατέ μοι τὸ τῆς χάριτος ταύτης τεταγμένον καὶ ἀμετάστατον, ὑμεῖς οἱ φίλοι τοῦ νυμφίου, δι' ἐπιμελείας καὶ προσοχῆς τῷ παγίῳ συντηροῦντές μοι τὴν πρὸς τὸ κρεῖττον ῥοπήν;

Ταῦτα δὲ εἰποῦσα πάλιν πρὸς τὸ ὑψηλότερον μέτεισι· στηριχθῆναι γὰρ πρὸς τὴν τῶν ἀγαθῶν βεβαιότητα τοῖς μύροις ζητεῖ. Στηρίσατέ με, φησίν, ἐν μύροις. ὢ παραδόξων στύλων καὶ καινῶν ἐρεισμάτων. πῶς τὰ μύρα στῦλοι τοῦ οἴκου γίνονται; πῶς τῇ εὐπνοίᾳ τὸ πάγιον τῆς τοῦ ὀρόφου κατασκευῆς διερείδεται; ἢ δῆλον πάντως ἐστὶν ὅτι τὸ τῶν ἀρετῶν χρῆμα πολυειδῶς ἐν ἡμῖν κατορθούμενον κατὰ τὰς διαφορὰς τῶν ἐνεργημάτων καὶ ὀνομάζεται; ἀρετὴ γάρ ἐστιν οὐ

4 cf Origen Comm III p 189,16: 'ut uniuscuiusque loci et ordinis mensuras possit tenere caritatis' (scil sponsa) 6 cf Rom 5,19; 10 14 Cant 2, 5 17-19 cf ex. gr. Aristot Eth Nic B 7, p 1107 a 28-33 19 sq cf Plato Theaet 176 c

ER^a ΛYS Σ PVT CN Syr 1 τὸ: τῷ Λ(corr Λ^2)YPNv μεῖζον C(corr C^2) τοὺς om PVC(sscr C^2)N λελυπηκότας ΛYS ἀμύνασθαι ΛYS 2 γοῦν Σ φησίν coll post ἀγάπην Σ τὴν om P τὴν ἀγάπην ἐπ' ἐμέ ΛYS μὲν: με PVCN 3 ἀναθεῖναι ΛYSΣT: ἀνατεθῆναι C^2(corr e -τιθέναι) Syr ἀνατιθέναι cett v ὀφείλετε VN ὠφείλετε C(corr C^2) ἑκάστω T 3-5 τοῦ—διὰ om R^a 4 ἤ: εἰ YΛ(ut vid, corr Λ^2) τοῦτο: τὸ ΛYS 5 παρὰ: περὶ v 6 νῦν ΛYS 7 τῷ δεσπότῃ: τῷ νυμφίῳ R^aE^2(corr in ras)Σv om V 8 μου Σ post μοι add φησὶ v ante τῆς add διὰ Σ 10 ante τῷ add ἐν ΛYSΣT παναγίω C(corr C^2)N 12 δὲ om Σ πρὸς: ἐπὶ PVCN μέτεισι: μεθίστησι TE(ut vid, corr E^2) 14 στηρίξατε v μοι Y φησὶ γὰρ (sic) coll post ζητεῖ V φησὶν coll post μύροις alt Σ 15 στύλων: μύρων Syr om v τῷ οἴκῳ Syr 16 πανάγιον N 17 διερίζεται V ἤ: εἰ N 18 (χρῆ)μα om E (sscr E^2)

μόνον τὸ βλέπειν τὸ ἀγαθὸν καὶ τὸ ἐν μετουσίᾳ τοῦ κρείττονος γίνεσθαι, ἀλλὰ καὶ τὸ ἀμετάπτωτον ἐν τῷ καλῷ διασῴζεσθαι. ὁ τοίνυν στηριχθῆναι βουλόμενος ἐν τοῖς μύροις τὸ βέβαιον ἐν ταῖς ἀρεταῖς αὐτῷ προσγενέσθαι ζητεῖ· ἀρετὴ γὰρ τὸ μύρον, διότι πάσης δυσωδίας ἁμαρτημάτων κεχώρισται. θαυμάσειε δ' ἄν τις καὶ τὸ τῶν εἰρημένων ἀκόλουθον, διὰ τίνων στοιβασθῆναι τὸν ἑαυτῆς οἶκον ἐπιθυμεῖ· οὐ βάτοις τισὶ καὶ ἀκάνθαις καὶ φορυτῷ καὶ καλάμῃ (μᾶλλον δὲ καθώς φησιν ὁ ἀπόστολος οὐ ξύλοις καὶ καλάμῃ καὶ χόρτῳ), οἷς οἱ ὑλώδεις οἶκοι κατασκευάζονται, ἀλλὰ στοιβὴ τῆς τοῦ οἴκου τούτου στέγης τὰ μῆλα γίνεται· λέγει γὰρ Στοιβάσατέ με ἐν μήλοις, ἵνα γένηται πάντα ἐν πᾶσιν αὐτῇ ὁ καρπὸς οὗτος· τὸ κάλλος, τὸ μύρον, ὁ γλυκασμός, ἡ τροφή, ἡ διὰ τῆς σκιᾶς ἀνάψυξις, ὁ ἀναπαύων θρόνος, ὁ βεβαιῶν στῦλος, ὁ ἐπισκεπάζων ὄροφος. ὡς κάλλος γὰρ μετὰ ἐπιθυμίας ὁρᾶται, ὡς μύρον ἡδύνει τὴν ὄσφρησιν, ὡς τροφὴ πιαίνει τὸ σῶμα καὶ γλυκαίνει τὴν γεῦσιν, ὡς σκιὰ καταψύχει τὸν καύσωνα, ὡς θρόνος ἀναπαύει τὸν κόπον, ὡς στέγη τοῦ οἴκου σκέπη τῷ ἐνοικοῦντι γίνεται, ὡς στῦλος παρέχει τὸ ἀμετάπτωτον, ὡς εὐφανὲς μῆλον ὡραΐζει τὸν ὄροφον. τί

9-10 cf I Cor 3,12   12 cf Col 3, 11

ER^a ΛYSΘ(inde a 3 ὁ) Σ PVT CN Syr 1 τὸ pr: τοῦ C(corr C^2) τὸ tert om ΣT 2-3 διασώσασθαι ΛYSPCN 3 τοῖς om V 4 αὐτῷ Jaeger: αὑτῷ codd v Syr προσγίνεσθαι (maluit Jaeger, sed displicet clausula) VC(corr C^2)N περιγίνεσθαι P 5 ὅτι PVCN 7 τινος N ἑναυτῆς N om ER^{a}v 8 φορυτῷ: χόρτῳ ER^{a}v ad φορυτῷ in marg adnot ἀχύρῳ Λ^{2}YΘ 8-9 μᾶλλον—καλάμῃ om PVCN 10 οἱ om VCN κατασκεπάζονται (vel καταστεγάζονται) Syr, quod praestare putaveris, sed cf I Cor 3, 12. 11 et τῆς et στέγης om Syr τούτου E^2 adscr in marg)R^{a}ΛYSΣT Syr: om cett v γίνονται CN 12 μοι ΛY μήλοις corr e μύροις P πάντα om Syr ante πάντα add τὰ P 13 τὸ κάλλος om Θ 15 ἐπισκιάζων ΛYSΘ e κάλλος corr καλὸς Λ^2 16 μύρον—ὡς alt om Σ τρυφὴ Λ (corr Λ^2)YSΘ 17 πιαίνει: λιπαίνει ΛYSΘ 18 στέγη: σκέπη ΛYSΘ 19 τῷ οἴκῳ Λ(ut vid ex corr)Y τῶν ἐνοικούντων Σ plural Syr(in paraphr) 20 εὔφρανὲς Θ ἐμφανὲς ΛYVNv

849 M. γὰρ ἄν τις ἐπινοήσειε περικαλλέστερον θέαμα μήλων συνθέσεως, ὅταν εὐδιάθετος ἡ ὀπώρα κατὰ τὸ συνεχὲς ἐφ' ὑπτίου τινὸς πρὸς ἑαυτὴν ἡνωμένη κατὰ τὴν πέψιν ποικίλληται τοῦ ἐρυθήματος τῆς ὀπώρας καταμειγνυμένου πρὸς τὸ ὑπόλευκον. εἰ τοίνυν δυνατὸν ἦν τὴν ἐξ ἐπιπέδου τῶν μήλων θέσιν ἄνωθεν ἐπαιωρουμένην ὁρᾶσθαι, τί ἂν τῆς τοιαύτης ὄψεως ἦν γλαφυρώτερον; ὅπερ ἐπὶ τῆς τῶν νοητῶν ἀγαθῶν ἐπιθυμίας ἐστὶν οὐκ ἀδύνατον· οὐ γὰρ βαρὺ τῆς ὀπώρας ἐκείνης τὸ εἶδος οὐδὲ εἰς γῆν βρῖθον καὶ καθελκόμενον, ἀλλὰ πρὸς τὸ ὕψος τὴν ῥοπὴν ἐκ φύσεως ἔχει· ἀνωφυὴς γὰρ ἡ ἀρετὴ καὶ πρὸς τὸ ἄνω βλέπει. διὸ τῷ κάλλει τῶν τοιούτων μήλων ἐπιθυμεῖ ἡ νύμφη τὸν ὄροφον τοῦ ἰδίου οἴκου ἐνωραΐζεσθαι· οὐ γάρ μοι τοῦτο δοκεῖ κατὰ τὸ προηγούμενον τῷ λόγῳ σπουδάζεσθαι, ὡς εὐφανές τι θέαμα διὰ τῆς τῶν μήλων συνθέσεως ἐπὶ τῆς στέγης ὁρᾶσθαι. τίς γὰρ ἂν γένοιτο διὰ τούτων πρὸς ἀρετὴν ὁδηγία, εἰ μή τι νόημα τῶν ὠφελούντων ἡμᾶς εἴη τοῖς εἰρημένοις ἐνθεωρούμενον; τί οὖν ἐστιν ὃ εἰκάζομεν; ὁ ἐν τῷ δρυμῶνι τῆς φύσεως ἡμῶν ὑπὸ φιλανθρωπίας ἀναβλαστήσας διὰ τοῦ μετασχεῖν σαρκός τε καὶ αἵματος μῆλον ἐγένετο· πρὸς ἑκάτερον γὰρ τούτων ἔστιν ἰδεῖν ἐν τῇ ὀπώρᾳ ταύτῃ διὰ τῆς χρόας

16-17 cf II Tim 3,16; I Cor 10,11; cf supra p 5 sqq

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἐπινοήσει T(sscr ε T^2) μήλου ΛYSΘ 3-4 τινὸς—ἐρυθήματος om Y 3 αὐτὴν ER^{a}v πέψιν C (corr ὄψιν C^2)Syr(ut vid, paraphr): πτέψιν N ὄψιν cett v ποικίληται ER^{a}Λ(sscr λ Λ^2)S(sscr λ)ΘΣV ποικίλλεται v 4 καταμιγνυμένη Λ(add ς Λ^2)YS 5 τὴν om v 6 ἐπαιωρουμένην ER^{a}ΣVC(ἐπεωρ., corr C^2)v: ἐξεπεωρουμένην N ἀπαιωρουμένην cett 7 ad γλαφυρώτερον adnot in marg ἀνθηρότερον ἢ λαμπρότερον YΛ^2 τῶν om v νοητῶν: ὄντων ER^a ἀγαθῶν: ἀθλητῶν Syr (voce Graeca usus, qua secund usum linguae Syriacae etiam 'virum fortem' vel 'bonum' nominari posse non expugnaverim) 9 ἐκείνης om Λ(sscr fort m pr) ἑλκόμενον PVCN 10 τὸ om P ἔχειν C(eras ν) ἀναφυὴς v 13 δοκεῖ τοῦτο T 14 ἐμφανές VNΛ^2(ex εὐ-)v ἀφανές P 15 στέγης (cf infra p 126,4) Syr: στοιβῆς codd v τί Λ(corr Λ^2)YSΘ 16 ἂν om V 17 θεωρούμενον Σ 19 βλαστήσας ΛYSΘ 21 χροιᾶς ER^{a}ΛYTv

τὴν ὁμοίωσιν· τῷ μὲν γὰρ ὑπολευκαίνοντι μιμεῖται τὴν τῆς σαρκὸς ἰδιότητα, τὸ δὲ ἐπικεχρωσμένον ἐρύθημα συγγενῶς ἔχειν πρὸς τὴν τοῦ αἵματος φύσιν διὰ τοῦ εἴδους μαρτυρεῖται. ὅταν τοίνυν ἡ ἐντρυφῶσα τοῖς θείοις ψυχὴ κατὰ τὴν στέγην ταῦτα βλέπειν ἐπιθυμήσῃ, τοῦτο τῷ αἰνίγματι παιδευόμεθα· ἐκ γὰρ τοῦ ἄνω βλέποντας ἡμᾶς προσέχειν τοῖς μήλοις πρὸς τὴν οὐράνιον ἔστι πολιτείαν ὁδηγεῖσθαι διὰ τῶν εὐαγγελικῶν διδαγμάτων. ἅπερ ὁ ἄνωθεν ἐρχόμενος καὶ ἐπάνω πάντων ὢν ὑπέδειξεν ἡμῖν διὰ τῆς ἐν σαρκὶ φανερώσεως πάντων τῶν ἀγαθῶν πολιτευμάτων ἐν ἑαυτῷ δείξας τὰ ὑποδείγματα, καθώς φησιν ὅτι Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. τὸ δὲ αὐτὸ τοῦτο καὶ ὁ ἀπόστολος τὴν ταπεινοφροσύνην ἡμῖν ὑφηγούμενος λέγει (δυνατὸν γὰρ δι' ἑνὸς θεωρήματος πᾶσαν τὴν ἀλήθειαν τοῦ λόγου πιστώσασθαι)· πρὸς γὰρ τοὺς τὰ ἄνω βλέποντας Τοῦτο φρονείσθω, φησίν, ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν ὁ διὰ σαρκὸς καὶ αἵματος ἐπιδημήσας τῷ βίῳ καὶ ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ἐν μετουσίᾳ τῆς ταπεινότητος ἡμῶν ἑκουσίως γενόμενος καὶ μέχρι τῆς τοῦ θανάτου κατελθὼν πείρας. διὰ ταῦτά φησιν ἡ νύμφη Στοιβάσατέ με ἐν μήλοις, ἵνα πάντοτε εἰς

8 cf Joh 3, 31 10 cf Joh 13, 15 11 Matth 11, 29 15 Phil 2,5-7 20-21 cf Phil 2,8

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ὑπερλευκαίνοντι Nv 2 ἰδιότητα: ὁμοιότητα ΛYSΘ τῷ δὲ ἐπικεχρωσμένῳ ἐρυθήματι TC^2(ex nominat corr) 3 μαρτυρεῖται ΛYSΘ Syr: μαρτύρεται cett v, fort recte, praestat claus 4 τρυφῶσα PVTCN post στέγην add τοῦ οἴκου Syr 5 ταῦτα: ταύτην v βλέπῃ C(corr C^2) τοῦτο ER^{a}ΘΣv Syr: τούτῳ cett 6 ἡμᾶς om P 7 τὴν om v πολιτείαν ἐστὶν P 11 ὅτι Syr: ὁ κύριος ὅτι ER^{a}ΣPVv ὁ κύριος cett 12 ἀπόστολος: Παῦλος Syr 13 ὑφηγούμενος ἡμῖν Σ 14 πιστώσασθαι τῷ λόγῳ ER^{a}v 15 τὰ om ΣPVN φρονεῖτε Syr φησὶν coll post 16 ὑμῖν Σ om Λ(sscr Λ^2)YSΘ post φησὶν add καὶ PC 16 ἡμῖν YN et ἐν alt om et scr Ἰησοῦς Χριστός Syr 19 τὸν βίον N 20 ταπεινώσεως V ἡμῶν om V 21 μέχρι: μετὰ v ante μέχρι add ὁ Σ ante διὰ add καὶ Syr 22 με om Λ(add Λ^2)Y πάντως v

ὕψος ὁρῶσα βλέπω στερρῶς τὰ τῶν ἀγαθῶν ὑποδείγματα τὰ ἐν τῷ νυμφίῳ δεικνύμενα· ἐκεῖ ἡ πραότης, ἐκεῖ τὸ ἀόργητον, ἐκεῖ τὸ πρὸς τοὺς ἐχθροὺς ἀμνησίκακον καὶ τὸ πρὸς τοὺς λυποῦντας φιλάνθρωπον καὶ τὸ δι' εὐεργεσίας τὴν κακίαν ἀμείβεσθαι, ἐκεῖ τὸ ἐγκρατές, τὸ καθαρόν, τὸ μακρόθυμον, 852 M. τὸ πάσης κενοδοξίας τε καὶ ἀπάτης βιωτικῆς ἀνεπίμικτον.

Ταῦτα εἰποῦσα ἐπαινεῖ τὸν τοξότην τῆς εὐστοχίας ὡς καλῶς ἐπ' αὐτῆς τὸ βέλος εὐθύνοντα· Τετρωμένη γάρ φησιν ἀγάπης ἐγώ. δείκνυσι δὲ τῷ λόγῳ τὸ βέλος τὸ τῇ καρδίᾳ διὰ βάθους ἐγκείμενον. ὁ δὲ τοξότης τοῦ βέλους ἡ ἀγάπη ἐστίν· τὴν δὲ ἀγάπην τὸν θεὸν εἶναι παρὰ τῆς ἁγίας γραφῆς μεμαθήκαμεν, ὃς τὸ ἐκλεκτὸν ἑαυτοῦ βέλος, τὸν μονογενῆ θεόν, ἐπὶ τοὺς σῳζομένους ἐκπέμπει τῷ πνεύματι τῆς ζωῆς τὴν τριπλῆν τῆς ἀκίδος ἀκμὴν περιχρώσας (ἀκὶς δὲ ἡ πίστις ἐστίν), ἵνα, ἐν ᾧ ἂν γένηται, συνεισαγάγῃ μετὰ τοῦ βέλους καὶ τὸν τοξότην, ὥς φησιν ὁ κύριος ὅτι ἐγὼ καὶ ὁ πατὴρ Ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ὁρᾷ τοίνυν ἡ διὰ τῶν θείων ἀναβάσεων ὑψωθεῖσα ψυχὴ τὸ

8 Cant 2, 5 11 cf I Joh 4, 8; 16 12 τὸ ἐκλεκτὸν βέλος: cf Isai 49, 2; cf Origen Comm III p 194, 8 sqq 13 τὸν μονογενῆ θεόν: cf Joh 1, 18; cf I Cor 1, 18 (τοῖς σῳζομένοις); πνεῦμα τῆς ζωῆς: cf Rom 8, 2; Ezech 37, 5 17 Joh 14,23

ER^a ΛYSΘ Σ PVT CN Syr 1 στερρῶς TC(post -ῶς 1 vel 2 litt eras, an suberat ἐς?)N: πρὸς cett v om Syr τὰ alt ER^{a}ΘΣΛ^2(sscr)v: om cett 2 ἡ iterat P 3 τοὺς pr om v καὶ: ἐκεῖ Syr τὸ alt om PC(sscr C^2)N 4 λοιποῦντας Λ(corr m fort pr)YC(corr C^2) καὶ: ἐκεῖ Syr 6 τε om N 7 ante ταῦτα add καὶ Syr ἀστοχίας P 8 αὐτῆς E(ut vid, eras ς et corr ν E^2)PVC(corr -τὴν C^2)N: αὐτὴν cett v εὐθύναντα ER^{a}Tv εὐθύνοτα C(ο corr in α et adscr in fine lin ν C^2) 9 ἀγάπης om ΛY δὲ Syr: om codd v 10-11 ἡ ἀγάπη τοῦ βέλους ΛY 11 et om τὴν et coll δὲ post ἀγάπην v ἁγίας om PV 12 post γραφῆς 1 litt eras Θ αὐτοῦ ΛVv αὑτοῦ YPT 13 θεόν ΣPT(in marg γρ υἱὸν)CN Syr: υἱὸν καὶ θεὸν V υἱὸν cett v 14 τῆς pr om v 15 ἐν om R^a ἂν: ἐὰν ER^a om v συνεισαγάγοι T συνεισαγάγει C(corr C^2) συναγάγῃ Λ(ut vid, corr Λ^2)YSP συνεισάγῃ v 16 καὶ τὸν τοξότην εἰς ἓν (sic) coll ante 15 μετὰ Σ 17 post πατὴρ add μου Syr add ἕν ἐσμεν καὶ v ἐλευσώμεθα CN ποιησόμεθα ΣT: ποιησώμεθα PCN ποιήσομεν cett(-σω- R^a)v

γλυκὺ τῆς ἀγάπης βέλος ἐν ἑαυτῇ, ᾧ ἐτρώθη, καὶ καύχημα ποιεῖται τὴν τοιαύτην πληγὴν λέγουσα ὅτι Τετρωμένη ἀγάπης ἐγώ. ὢ καλοῦ τραύματος καὶ γλυκείας πληγῆς, δι' ἧς ἡ ζωὴ ἐπὶ τὰ ἐντὸς διαδύεται ὥσπερ τινὰ θύραν καὶ εἴσοδον τὴν ἐκ τοῦ βέλους διαίρεσιν ἑαυτῇ ὑπανοίξασα. ὁμοῦ τε γὰρ τὸ τῆς ἀγάπης βέλος ἐδέξατο καὶ παραχρῆμα εἰς γαμικὴν θυμηδίαν ἡ τοξεία μετεσκευάσθη· φανερὸν γάρ ἐστιν ὅπως αἱ χεῖρες τὸ τόξον μεταχειρίζονται μεριζόμεναι πρὸς τὴν χρείαν ταῖς ἐνεργείαις· ἡ μὲν γὰρ εὐώνυμος τοῦ τόξου ἅπτεται, ἡ δεξιὰ δὲ τὴν νευρὰν πρὸς ἑαυτὴν ἐπισπᾶται συνεφελκομένη διὰ τῶν γλυφίδων τὸ βέλος τῇ προσβολῇ τῆς ἀριστερᾶς χειρὸς πρὸς τὸν σκοπὸν εὐθυνόμενον. ἡ τοίνυν πρὸ ὀλίγου σκοπὸς γενομένη τοῦ βέλους νῦν ἑαυτὴν ἀντὶ βέλους ἐν ταῖς χερσὶ τοῦ τοξότου βλέπει, ἄλλως τῆς δεξιᾶς καὶ ἑτέρως τῆς εὐωνύμου διαλαμβανούσης τὸ βέλος. ἀλλ' ἐπειδὴ διὰ τῆς ἐπιθαλαμίου τροπῆς αἱ τῶν θεωρημάτων ἐμφάσεις δι' ἀκολούθου προάγονται, οὐκ ἐποίησε τὴν ἀκίδα τοῦ βέλους ὑπὸ τῆς ἀριστερᾶς ἀνεχομένην οὐδὲ τὴν δεξιὰν τὸ ἕτερον μέρος διαλαμβάνουσαν, ὡς ἂν γένοιτο ἡ ψυχὴ βέλος ἐν τῇ χειρὶ τοῦ δυνατοῦ πρὸς τὸν ἄνω σκοπὸν εὐθυνόμενον, ἀλλ' ἐποίησε τὴν μὲν εὐώνυμον ἀντὶ τῆς ἀκίδος τῇ κεφαλῇ ὑποβάλλεσθαι,

4 θύραν: cf Aristot Gener anim B 3, p 736 b 27: λείπεται δὲ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον et commentatores inde ab Alexandro Aphrod ad Aristot De an Γ 5, p 430 a 22   19-20 cf Ps 119, 4

$E R^{a}$ ΛYSΘ Σ PVT CN Syr 1 ἑαυτῷ N αὐτῇ P ᾧ coll ante ἐν ΛYSΘ post ἐτρώθη add τὴν καρδίαν Σ 2 τοιαύτην om v 3 πηγῆς C(λ sscr C^{2}) γλυκέος βέλους Syr 5 ἑαυτὴν P τε om TCN 7 κατεσκευάσθη V γάρ: δὲ Σ πῶς $E R^{a}$v 9 τῆς ἐνεργείας N ἅπτεται om N 10 δὲ δεξιὰ Σ πρός: εἰς ΛYSΘ ἑαυτὸν Y συνελκομένη v 11 ante τῇ add καὶ Syr προβολῇ $E R^{a}$SΘΣTv 12 εὐθυνούμενον V εὐθύνουσα Syr ὀλίγον V 13 σκοποῦ Y γινομένη Σ τῷ βέλει Syr 14 τόξου R^{a}ΛYP 15 διαλαβούσης ΛYSΘ διά: καὶ P 18 ἀνεχομένης N ἐχομένην E^{2}(eras ἀν)R^{a}v δεξιὰν in marg iterat P μέρος om v 19 λαμβάνουσαν P τῇ om $E R^{a}$v 20 ἐποίησαι R^{a}(sscr -ε R^{a2}) 21 τὴν μὲν om E(adscr initio lin E^{2})

διαλαμβάνεσθαι δὲ τῇ δεξιᾷ τὸ λειπόμενον, ὡς ἄν, οἶμαι, κατὰ ταὐτὸν ἐν τοῖς διπλοῖς αἰνίγμασι τὰ περὶ τῆς θείας ἀναβάσεως ὁ λόγος φιλοσοφήσειε, δεικνὺς ὅτι ὁ αὐτὸς καὶ νυμφίος καὶ τοξότης ἐστὶν ἡμῶν, νύμφῃ τε καὶ βέλει τῇ κεκαθαρμένῃ κεχρημένος ψυχῇ, ὡς βέλος πρὸς τὸν ἀγαθὸν εὐθύνων σκοπόν, ὡς νύμφην εἰς μετουσίαν ἀναλαμβάνων τῆς ἀφθάρτου ἀϊδιότητος, μῆκος βίου καὶ ἔτη ζωῆς διὰ τῆς δεξιᾶς χαριζόμενος, διὰ δὲ τῆς ἀριστερᾶς τὸν τῶν αἰωνίων ἀγαθῶν πλοῦτον καὶ τὴν τοῦ θεοῦ δόξαν, ἧς οἱ τὴν τοῦ κόσμου ζητοῦντες δόξαν ἀμέτοχοι γίνονται. διὰ τοῦτό φησιν Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, δι' ἧς εὐθύνεται πρὸς τὸν σκοπὸν τὸ βέλος, ἡ δεξιὰ δὲ αὐτοῦ πρὸς ἑαυτήν με διαλαβοῦσα καὶ ἐφελκυσαμένη κούφην με πρὸς τὴν ἄνω φορὰν ἀπεργάζεται, κἀκεῖ πεμπομένην καὶ τοῦ τοξότου μὴ χωριζομένην, ὡς ὁμοῦ τε φέρεσθαι διὰ τῆς βολῆς καὶ ταῖς
853 M. χερσὶ τοῦ τοξότου ἐναναπαύεσθαι. τὰ δὲ τῶν χειρῶν τούτων ἰδιώματά φησιν ἡ Παροιμία ὅτι Μῆκος βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ τῆς σοφίας, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα.

Εἶτα πρὸς τὰς θυγατέρας τῆς ἄνω Ἰερουσαλὴμ τρέπει τὸν λόγον. ὁ δὲ λόγος παράκλησίς ἐστιν ἐνόρκως προσαγομένη

7 sqq cf Prov 3, 16; cf Origen Comm III p 195, 28 sqq   9-10 cf Joh 5, 44; 12, 43   11 Cant 2, 6   17 Prov 3, 16

$E R^{a}$ ΛYSΘ Σ PVT CN Syr 2 κατ' αὐτὸν YΛ(?, corr in ras κατὰ τὸν $Λ^{2}$)SΘ om P Syr ἐν om V ·ιποῖς Λ(scr δ in ras, sscr λ $Λ^{2}$) π(ερὶ) corr in ras $Λ^{2}$ 3 φιλοσοφήσῃ V(η corr in ras m pr) ὁ alt om R^{a}ΛYSΘTC 4 ἡμῶν ἐστὶν Σ et νύμφην et βέλος ΛYSΘ 5 κεχρημένη N post βέλος add et del ἀγαθὸν ὄντα E 6 εἰς: πρὸς v κοινωνίαν ΛYSΘΣ ἀναλαβὼν PTCN 7 post μῆκος add μὲν TC^{2}(sscr) καὶ ἔτη ζωῆς om Syr 8 δὲ om PC(sscr C^{2})N 9 θεοῦ: ἰησοῦ R^{a} ἧς: οἷς V 10 δόξαν ζητοῦντες Σ ἀμέτοχοι: μέτοχοι οὐ PVCN 11 αὐτοῦ om N 12 τὸν: τὸ P ἡ om v με: μὲν YP om TCN 13 κοῦφον Y με: μὲν Y om PVCN 14 τόξου P 15 φέρεσθαι: φαίνεσθαι Θ 16 τοξότου: τόξου P δεσπότου TCNv ἐπαναπαύεσθαι TCN συναναπ. v δὲ om N(inser pr ut vid m) 18 post δεξιᾷ add αὐτῆς ἤ γουν V αὐτῆς om V 21 ἐν ὅρκῳ Pv

τοῦ πλεονάζειν καὶ ἐπαύξειν ἀεὶ τὴν ἀγάπην, ἕως ἂν ἐνεργὸν ἑαυτοῦ ποιήσῃ τὸ θέλημα ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. ὁ δὲ λόγος οὗτός ἐστιν ὃν πεποίηται Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, ἐν δυνάμεσι καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ. ὅρκος ἐστὶ λόγος πιστούμενος δι' ἑαυτοῦ τὴν ἀλήθειαν. διπλῆ δὲ ἡ κατὰ τὸν ὅρκον ἐνέργεια· ἢ γὰρ αὐτός τις πιστοῦται τῷ ἀκούοντι τὴν ἀλήθειαν ἢ ἄλλοις διὰ τοῦ ὁρκισμοῦ τὴν ἀνάγκην ἐπάγει τοῦ μηδὲν παραψεύσασθαι, οἷον Ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν. ἐνταῦθα τὸ πιστὸν τῆς ὑποσχέσεως ἐμπεδοῦται τῷ ὅρκῳ. ὅταν δὲ φροντίδα ποιούμενος ὁ Ἀβραὰμ τῆς εὐγενοῦς ἐπὶ τῷ μονογενεῖ συζυγίας προστάσσῃ τῷ ἰδίῳ θεράποντι μή τινα τῶν τοῦ γένους Χαναὰν τῶν τῇ δουλείᾳ καταδεδικασμένων συνοικίσαι πρὸς γάμον τῷ Ἰσαάκ, ὡς ἂν μὴ λυμήναιτο τῇ εὐγενείᾳ τῆς διαδοχῆς ἡ τοῦ δουλικοῦ γένους ἐπιμιξία, ἀλλ' ἐκ τῆς πατρῴας αὐτοῦ γῆς καὶ συγγενείας ἁρμόσασθαι τῷ παιδὶ τὴν συζυγίαν, ἀνάγκην ἐπάγει

2 cf I Tim 2,4 4 Cant 2, 7 10 Ps 131, 11 12 sqq cf Gen 24,2-9

ER^a ΛYSΘ Σ PVT CN Syr 1 super πλεονάζειν scr πλησια (= πλησιάζειν) P ἐπαυξάνειν N ἐπαυξεῖν (cf p 135,4) R^aPT καὶ ἐπαυξεῖν coll post ἀγάπην T ἐνεργὸν: ἔργον N 2 αὐτοῦ PT πάντα E(corr E^2) post πάντας add ἀνθρώπους (sec I Tim 2, 4) V Syr 3 οὕτως Λ(corr $Λ^2$)YSΘ 4 post ἐν add ταῖς ER^aΛYSΘΣv 5 post ἐν add ταῖς ER^aΣv ἐν iterat P 6 τὴν ἀγάπην in ras T post ἀγάπην add αὐτοῦ P ἕως οὗ θελήσῃ om CN θελήσει ΣV in marg adnot ὅρος ὅρκου E^2 8 τις om ER^av ἄκοντι YΛ(corr $Λ^2$)E(ut vid, corr E^2) ἄλλοις EΣv Syr: ἄλοϊος R^a ἄλλως Λ(corr $Λ^2$) ἄλλω P ἄλλος cett 9-10 παραψεύδεσθαι ER^av παραπέμψασθαι TC 10 ante κύριος add ὁ TC 11 ἀθετήσῃ ER^aΛYSΘP ἀυτήν Y(ut vid, η inc)$Λ^2$(η e corr) PVv: om TSyr αὐτόν cett 11-12 πεδοῦται Λ(corr $Λ^2$)YSΘ 13 super μονογενεῖ scr συγγενεῖ P συγγενεῖ E(?ut vid, corr E^2) συζύγω Y 14 θεράποντι: οἰκέτῃ ER^av μή: τιμήν N τῶν pr om P 15 συνοικῆσαι E(corr E^2)Λ(corr $Λ^2$)SΣT συνοικῇ N 16 ἂν iterat P λυμήναιτο PVC(-ετο, corr C^2)N: λυμαίνηται v λυμήνηται cett τὴν εὐγένειαν Σ 17-18 συγγενείας: συζυγίας TCN ἀνάγκη Y

τοῦ μὴ ῥᾳθυμῆσαι περὶ τὸ πρόσταγμα διὰ τοῦ ὁρκίσαι αὐτὸν ἦ μὴν ἐπιτελῆ ποιήσειν, ὅσα περὶ τοῦ παιδὸς ἐδοκίμασεν. [ὁρκίζεται τοίνυν ὑπὸ τοῦ Ἀβραὰμ ὁ θεράπων, ἵνα τῷ Ἰσαὰκ τὴν πρέπουσαν συζυγίαν ἁρμόσηται.] διπλῆς τοίνυν οὔσης τῆς κατὰ τὸν ὅρκον ἐνεργείας ἐνταῦθα ἡ πρὸς τοσοῦτον ὕψος ἀναδραμοῦσα ψυχή, ὅσον ἐν τοῖς προεξητασμένοις ἐθεωρήσαμεν, ταῖς μαθητευομέναις ψυχαῖς τὴν πρὸς τὸ τέλειον πρόοδον ὑφηγουμένη οὐχ ὧν αὐτὴ τετύχηκε παρέχει ταῖς ἀκουούσαις διὰ τοῦ ὅρκου τὸ ἀναμφίβολον, ἀλλ' ἐκείνας διὰ τοῦ ὁρκισμοῦ πρὸς τὸν κατ' ἀρετὴν χειραγωγεῖ βίον, μέχρι τότε ἀκοίμητόν τε καὶ ἐγρηγορυῖαν τὴν ἀγάπην ἔχειν, ἕως ἂν εἰς πέρας ἔλθῃ τὸ ἀγαθὸν αὐτοῦ θέλημα, τοῦτο δέ ἐστι τὸ πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. ὁ δὲ ὁρκισμὸς ὥσπερ ἐκεῖ ἐν τῷ μηρῷ τοῦ πατριάρχου ἐγένετο, οὕτως ἐνταῦθα ἐν δυνάμεσι καὶ ἐν ἰσχύσεσι τοῦ

13 cf I Tim 2, 4 14 cf Gen 24, 2; 9

ER^a ΛYSΘ Σ PVT CN Syr 2 εἶ μὴν Λ(corr ἦ $Λ^2$)YSC(corr ἦ C^2)N εἰ μὲν v ἐπιστέλλῃ v ποιήσειεν E(eras ε alt E^2) ποιῆσαι P(sscr ειν) post ποιήσειν (vel var lectt) add αὐτῷ ER^aΛYSΘΣ add δι' αὐτῶν PV add δι' αὐτὸν Nv add διατὸν (sic) C(corr διὰ τὸν ὅρκον C^2) add διὰ τὸν ὅρκον T quae additamenta om Syr recte quidem. opinor archetypum codd in initio lineae ante ὅσα de initio lineae superioris per errorem iteravisse αὐτόν. numerus litt inde ab αὐτὸν usque ad ποιήσειν est 24, id est litt numerus solitus uniuscuiusque lineae codd pervetust 2 columnis exaratorum. codd vocem αὐτόν sua sponte emendare conati sunt. ὅ(σα) in ras E(ut vid pr m) 3-4 ὁρκίζεται—ἁρμόσηται om Syr adnotationem margin in exemplari archetypi codd fuisse et ab archet (addito τοίνυν) in textum recepisse opinor (cf ex. gr. supra E^2 in marg ad p 130, 6). τῷ ἰσαάκ coll post ἁρμόσηται ΛY 4 συζύ (sic) N(an σύζυγον?) 6 ante ψυχή add ἡ Σ 7-8 πρὸς τὸ τέλειον: προτέλειον TC 8 αὐτὴ VT Syr: αὐτὴ P αὐτῇ N αὕτη cett v παρέχεται Σ 9 ἀμφίβολον E(corr E^2)ΣCN 9-10 τὸ—ὁρκισμοῦ om Θ 10 πρὸς om P τὸν: τὴν Y καταρετῇ N post βίον add πείθουσα vel sim quid Syr ante μέχρι add τότε μέχρι ἀκοίμητόν τε καὶ ἐγρηγορυῖαν τὴν ἀρετὴν χειραγωγεῖ βίον Y μέχρι: μετὰ v 11 τε om V ἔχειν τὴν ἀγάπην N ἔχει P 12 ἔλθοι ER^aΛYv 13 τὸ om P post πάντας add ἀνθρώπους Syr 15 ante δυνάμεσι add ταῖς ΛYSΘΣ ante ἰσχύσεσι add ταῖς Σ

ἀγροῦ γίνεται οὕτως εἰπόντος τοῦ λόγου Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, ἐν δυνάμεσι καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ.

Θεωρητέον τοίνυν ἐν τούτοις πρῶτον μὲν τίς ὁ ἀγρός, ἔπειτα δὲ τίς ἡ ἰσχὺς τοῦ ἀγροῦ καὶ ἡ δύναμις καὶ εἰ διαφορὰν ἔχει ταῦτα πρὸς ἄλληλα ἢ ἓν δι' ἀμφοτέρων ἐστὶ τὸ σημαινόμενον· πρὸς τούτοις τί τὸ ἐγείρεσθαι καὶ τί τὸ ἐξεγείρεσθαι τὴν ἀγάπην. τὸ γὰρ Ἕως οὗ θελήσῃ διὰ τῶν εἰρημένων προαποδέδοται. ὅτι μὲν οὖν διὰ τοῦ ἀγροῦ σημαίνει τὸν
856 M. κόσμον ἡ τοῦ δεσπότου φωνή, παντί που δῆλον ἐκ τῶν εὐαγγελίων ἐστίν, ὅτι δὲ παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου καὶ οὐδὲν πάγιον ἐν τῇ ἀστατούσῃ δείκνυται φύσει, δῆλον ἐκ τῆς τοῦ Ἐκκλησιαστοῦ μεγαλοφωνίας ἐστίν, ὃς πᾶν τὸ φαινόμενόν τε καὶ παρερχόμενον ἐν ματαίοις ἠρίθμησεν. τίς οὖν ἡ δύναμις τοῦ τοιούτου ἀγροῦ, ὅς ἐστιν ὁ κόσμος, ἢ τίς ἡ ἰσχύς, ὧν ἡ μνήμη ἀπαράβατον ποιεῖ διὰ τοῦ ὁρκισμοῦ ταῖς θυγατράσιν Ἰερουσαλὴμ τὸ παράγγελμα; εἰ μὲν γὰρ πρὸς τὰ φαινόμενα βλέποιμεν ὡς οὔσης τινὸς ἐν τούτοις δυνάμεως, παραγράφεται τὴν τοιαύτην ὑπόληψιν ὁ

1 Cant 2, 7   10-11 cf Matth 13, 38   14-16 cf Eccles 1, 2 et passim

ER^a ΛYSΘ Σ PVT CN Syr 1 γίνεται om v 2 ante δυνάμεσι add ταῖς ΛYSΘΣ 3 ad ἐὰν adnot in marg ἀντὶ τοῦ ἵνα T adnot τὸ ἐὰν ἐνταῦθα παραλαμβάνεται ἀντὶ ἵνα C^2 οὗ: ἂν TCN οὗ ἂν P 4 θελήσει ΣC(corr C^2) 6 δὲ om ER^aΣv εἰ: ἡ R^a post διαφοράν add τινα Syr 7 ante πρὸς eras 3 fere litt P ἢ: καὶ εἰ Syr 8 post πρὸς add δὲ Syr 9 θελήσει ΣVC(corr C^2) 10 οὖν om PVCNv ὑγροῦ Y σημαίνει: ἐκμαίνει R^a(fort μ ex β corr) 10-11 τὸν κόσμον coll post ἀγροῦ ER^av 11 ἡ τοῦ δεσπότου φωνή om Syr που ΛYSΘ: ὡς ἐγῷμαι Syr(sic persaepe pro adverb indef) om cett v 11-12 τοῦ εὐαγγελίου Syr 13 τούτου om T δείκνυται coll ante ἐν ER^av coll post φύσει ΣN 15 τὸ om v 16 τοῦ τοιούτου: τούτου τοῦ Syr τοιούτου om V ὅς: ὅ ER^aPC(corr C^2)Nv 17 super μνήμη scr νύμφη P 19 μὲν om V τὸ φαινόμενον T(sed corr) βλέπομεν ER^aPVCNv 19-20 τινὸς coll post τούτοις R^a 20 post δυνάμεως add καὶ ἰσχύος Syr καταγράφεται NC(ut vid, corr C^2) ταύτην τὴν Syr

Ἐκκλησιαστὴς μάταιον ὀνομάζων πᾶν τὸ ἐν τούτοις δεικνύμενόν τε καὶ σπουδαζόμενον· τὸ γὰρ μάταιον οὐχ ὑφέστηκε, τὸ δὲ μὴ ὑφεστὼς κατὰ τὴν οὐσίαν ἰσχὺν οὐκ ἔχει. ἢ τάχα διὰ τῆς πληθυντικῆς σημασίας τῆς κατὰ τὴν δύναμιν ἔστι τινὰ στοχασμὸν εὑρεῖν τοῦ νοήματος· τοιαύτην γὰρ εὕρομεν παρὰ τῇ ἁγίᾳ γραφῇ διαφορὰν ἐπὶ τῶν τοιούτων ὀνομάτων· ὅταν μοναδικῶς ἡ δύναμις λέγηται, πρὸς τὸ θεῖον ἀναπέμπεται διὰ ταύτης τῆς φωνῆς ἡ διάνοια, ὅταν δὲ διὰ τοῦ πληθυντικοῦ σχήματος ἐκφωνῆται, τὴν ἀγγελικὴν φύσιν τῷ λόγῳ παρίστησιν. οἷον Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία. ἐνταῦθα τῷ μοναδικῷ τὸ θεῖον ἐγνώρισεν. Εὐλογεῖτε τὸν κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. ὧδε τὸ πληθυντικὸν τῶν δυνάμεων τῆς νοητῆς τῶν ἀγγέλων φύσεως τὴν σημασίαν ἐνδείκνυται. τὸ δὲ τῆς ἰσχύος ὄνομα συμπαραληφθὲν μετὰ τῆς δυνάμεως ἐπίτασιν τῆς τοῦ νοήματος ἐμφάσεως ἔχει οὕτω τῆς γραφῆς διὰ τῆς ἐπαναλήψεως τῶν ἰσοδυναμούντων ῥημάτων βεβαιότερον ἐμφαινούσης ὃ βούλεται, ὡς τὸ Κύριε, ἡ ἰσχύς μου, κύριος στερέωμά μου· ταὐτὸν γὰρ ἑκατέρου τῶν ῥημάτων τὸ σημαινόμενον, ἀλλ' ἡ τῶν ἰσοδυναμούντων συνθήκη ἔνδειξιν ποιεῖται τῆς κατὰ τὸ σημαινόμενον ἐπιτά-

10 I Cor 1,24   11-12 Ps 102,21   17-18 Ps 17,2/3

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τὸ om v 2 ὑπέστηκεν VN ὑφίσταται Θ 3 ὑφεστὸς VC(corr C^2)v ὑφεστηκὼς Σ post οὐσίαν add ἑαυτοῦ Syr ἢ: εἰ N 4 τῆς alt: τὴν YΛ(ut vid, corr $Λ^2$) τὴν om P 5 et del τινὰ et add τινα post στοχασμόν P εὕρομεν ΣVT Syr: ἔγνωμεν cett v 6 διαφορὰν: χρῆσιν (vel συνήθειαν) Syr 7 post ὅταν add μὲν $E^2R^aC^2$v, fort recte 7-8 ἀναπέμπηται V ἀναπαύεται P 8 ταύτης τῆς Syr: τῆς αὔτης(sic) Y(corr τῆς τοιαύτης) τῆς τοιαύτης cett v 9 ἐκφωνεῖται ΣVC(corr C^2) 10 τῷ λόγῳ om T θεοῦ alt om v Syr 11 post σοφία add αὐτοῦ Syr τὸ μοναδικὸν N εὐλογεῖ N 12 τῷ πληθυντικῷ VTC^2(ex τὸ et -ὸν) 14 συμπαρηληφθὲν N 15 τοῦ νοήματος: ὀνόματος Σ 16 τῆς ἐπαναλήψεως om T 17 βούληται V κύριε: κύριος ΣPVCN 18 ἡ om PVTCN κύριος PVTCN LXX: καὶ κύριος ΛYΘΣ Syr καὶ κύριε S καὶ ER^av post γὰρ add(scil per dittogr) παρ' Σ Syr add(scil de coniectura) δι' PVTCN ἑκατέρων ΛYPTC ἑκάτερον v 19 τῶν pr om P 20 post ἔνδειξιν add ἡμῖν Σ

σεως. ἡ τοίνυν τῶν δυνάμεων πληθυντικὴ σημασία καὶ ἡ ὁμοιότροπος τῶν ἰσχύων μνήμη πρὸς τὴν ἀγγελικὴν ἔοικε φύσιν ἀπάγειν τῶν ἀκουόντων τὴν ἔννοιαν, ὥστε τὸν ὁρκισμὸν τὸν ἐπὶ βεβαιώσει τῶν κεκριμένων παρὰ τῆς διδασκάλου ταῖς μαθητευομέναις ψυχαῖς προσαγόμενον μὴ κατὰ τοῦ παράγοντος γίνεσθαι κόσμου ἀλλὰ κατὰ τῆς ἐπιδιαμενούσης εἰς ἀεὶ φύσεως τῶν ἀγγέλων, πρὸς οὓς βλέπειν διακελεύεται, ἵνα τὸ πάγιόν τε καὶ στάσιμον τῆς κατ' ἀρετὴν πολιτείας βεβαιώσῃ τῷ ὑποδείγματι. ἐπειδὴ γὰρ τὸν μετὰ τὴν ἀνάστασιν βίον ὅμοιον ἐπήγγελται τῇ ἀγγελικῇ καταστάσει [τῶν ἀνθρώπων] γενήσεσθαι (ἀψευδὴς δὲ ὁ ἐπαγγειλάμενος), ἀκόλουθον ἂν εἴη καὶ τὴν ἐν τῷ κόσμῳ ζωὴν πρὸς τὴν ἐλπιζομένην μετὰ ταῦτα παρασκευάζεσθαι, ὥστε ἐν σαρκὶ ζῶντας καὶ ἐν τῷ ἀγρῷ τοῦ κόσμου διάγοντας μὴ κατὰ σάρκα ζῆν μηδὲ συσχηματίζεσθαι τῷ κόσμῳ τούτῳ, ἀλλὰ προμελετᾶν τὸν ἐλπιζόμενον βίον διὰ τῆς ἐν τῷ κόσμῳ ζωῆς. διὰ τοῦτο τὴν διὰ τοῦ ὅρκου βεβαίωσιν ἐμποιεῖται ταῖς ψυχαῖς τῶν μαθητευομένων ἡ νύμφη, ὥστε τὴν ζωὴν αὐτῶν τὴν ἐν τῷ ἀγρῷ τούτῳ κατορθουμένην

6 cf I Cor 7, 31   10-11 cf Matth 22,30 parall   14-15 cf II Cor 10,3; Rom 8,12   15-16 cf Rom 12,2

ER^a ΛYSΘ Σ PVT CN Syr 3 ἄγειν Σ ἐπάγειν coniecit Jaeger ἀκουόντων: εἰρημένων T 4 οἰκισμὸν Λ(corr Λ^2)Y κεκρυμμένων ΣVN(-υμέ-) 5 διδασκαλίας Vv 6 παραγαγόντος ΣC(corr C^2)N super παράγοντος scr γαγον P γίνεται N 7 ἐπιμενούσης S(sscr δια) εἰς om VN εἰς ἀεὶ om Syr 8 ante στάσιμον add τὸ ΛSΘ 10 τὸν: τὸ N om P ἐπαγγέλλεται Σ 11 ἀγγελικῇ om v τῶν ἀνθρώπων codd(corr τὸν ἄνθρωπον E^2)v delevi om Syr. aut interpretamentum in marg archetypi ad 10 βίον falso loco in textum receptum aut corruptum e varia lectione τῶν ἀγγέλων, cf paraphr Syr pro τῇ ἀγγελικῇ καταστάσει: τῷ τῶν ἀγγέλων (scil βίῳ) 12 δὲ: γὰρ ER^{a}T(corr δὲ)v om Σ ἐπηγγειλάμενος Y 13 post κόσμῳ add τούτῳ Syr 14 καὶ om TCN τῷ om v et om ἀγρῷ τοῦ et scr κόσμω τούτω E(add ἀγρῷ τοῦ et corr κόσμου τούτου E^2) post κόσμου add τούτου R^{a}v Syr 16 κόσμῳ: αἰῶνι (scil de Rom 12, 2) E^2(in ras)R^a v μελετᾶν ΛYSΘ 17 τῷ om ΛYSΘΣ post τὴν add τοῦ N διὰ alt om ΛYSΘ 18 ἐμποιεῖ ER^{a}SΘVv ταῖς om Λ(add Λ^2)Y 19 αὐτῶν τὴν om P

857 M. πρὸς τὰς δυνάμεις βλέπειν, μιμουμένην διὰ τῆς ἀπαθείας τὴν ἀγγελικὴν καθαρότητα· οὕτω γὰρ ἐγειρομένης τῆς ἀγάπης καὶ ἐξεγειρομένης (ὅπερ ἐστὶν ὑψουμένης τε καὶ ἀεὶ διὰ προσθήκης πρὸς τὸ μεῖζον ἐπαυξομένης) τὸ ἀγαθὸν εἶπε θέλημα τοῦ θεοῦ τελειοῦσθαι ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς τῆς ἀγγελικῆς καὶ ἐν ἡμῖν ἀπαθείας κατορθουμένης. ταῦτα κατενοήσαμεν εἰς τὸ Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, ἐν δυνάμεσι καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ. εἰ δέ τις εὑρεθείη λόγος ἕτερος μᾶλλον προσεγγίζων τῇ ἀληθείᾳ τῶν ζητουμένων, δεξώμεθα τὴν χάριν καὶ εὐχαριστήσωμεν τῷ ἀποκαλύπτοντι τὰ κεκρυμμένα μυστήρια διὰ τοῦ ἁγίου πνεύματος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Λόγος ε'

Φωνὴ τοῦ ἀδελφιδοῦ μου· (2,8)
ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη,
διαλλόμενος ἐπὶ τοὺς βουνούς.
Ὅμοιός ἐστι ἀδελφιδός μου τῇ δορκάδι (9)
ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ.

5 cf Matth 6, 10   7 Cant 2, 7   12 cf I Cor 2, 7; 10; Col 1, 26; Rom 16, 25; 27

ER^a ΛYSΘ Σ PVT CN Syr 1 μιμουμένας Θ 3-4 ἀεὶ καὶ Σ 4 διὰ om P post διὰ add τῆς ΛYSΘ ante πρὸς add τε Θ ἐπαυξουμένης E(corr E^2)ΛYVC(corr C^2)N 5 τοῦ θεοῦ om T 6 γῆς τῆς ER^{a}v: τῆς γῆς PTCN τῆς γῆς τῆς ΛYSΘΣ γῆς V ἀπαθείας coll ante καὶ ER^{a}v 8 ante δυνάμεσι add ταῖς ΛYSΘΣ ante ἰσχύσεσι add ταῖς Σ 9 θελήσει ΣVC(corr C^2) 11 δεξόμεθα E^2(ex -ώ-)R^{a}Pv εὐχαριστήσομεν E^2(ex -ω-)Pv 12 ἀποκαλύψαντι TC διὰ om ER^a 13 ἐν—δόξα om Θ τῷ κυρίῳ ἡμῶν ER^{a}ΛYSv Syr: om (scil sec Rom 16, 27) cett post ᾧ add πρέπει ER^{a}PVCNv ἡ: πᾶσα P om VN 14 αἰῶνας ἀμήν om P post αἰῶνας add τῶν αἰώνων ER^{a}ΛYΣTv post ἀμήν add ἐτελειώθη λόγος ε' Syr 15 Λόγος ε' ΛY(in marg)VT(in marg post p 137, 3)N: λόγος ϛ' Syr τοῦ αὐτοῦ λόγος ε E τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος ε̄ Σ ὁμιλία ε YS(in in marg ξ δ)v ε R^a om titulum Θ(post p 137,3 in marg ε')PC(lac 3 lin) 16 τοῦ om v LXX 17 οὗτος om P 18 καὶ ἀλλόμενος Θ 19 ἀδελφιδούς P 20 βεθήλ E(in marg E^2 βαιθήλ, sed eras)R^{a}Λ(corr Λ^2)YΣV

ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν
παρακύπτων διὰ τῶν θυρίδων,
ἐκκύπτων διὰ τῶν δικτύων.
᾿Αποκρίνεται ὁ ἀδελφιδός μου καὶ λέγει μοι· (10)
ἀνάστα ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου,
῞Οτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, (11)
ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ,
Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, (12)
καιρὸς τῆς τομῆς ἔφθακεν,
φωνὴ τοῦ τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν,
῾Η συκῆ ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς, (13)
αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν.
ἀνάστα ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου,
Δεῦρο σεαυτῇ, περιστερά μου, ἐν σκέπῃ τῆς πέτρας (14)
ἐχόμενα τοῦ προτειχίσματος.
δεῖξόν μοι τὴν ὄψιν σου
καὶ ἀκούτισόν με τὴν φωνήν σου,
ὅτι ἡ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία.
Πιάσατε ἡμῖν ἀλώπεκας (15)
μικροὺς ἀφανίζοντας ἀμπελῶνας,
καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.
᾿Αδελφιδός μου ἐμοὶ κἀγὼ αὐτῷ, (16)
ὁ ποιμαίνων ἐν τοῖς κρίνοις,
῞Εως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. (17)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἕστηκεν om v 4 ὁ (cf p 145, 16) Σ: om cett v LXX post μου add ἐμοὶ Σ 6 ἰδοὺ om CN 7 ante ἐπορεύθη add καὶ Syr 8 ὤφη N 9 ante καιρὸς add ὁ ER^{a}ΛT ἔφθασε Θ ex ἔφθακεν corr πέφθακε C^2 9-10 καιρὸς—γῇ om Y 10 τοῦ Λ(ut vid, corr τῆς $Λ^2$)SVCN Syr LXX: τῆς cett v 11 τοὺς om ΛYSΘv LXX ἑαυτῆς P 12 ἄμπελοι (cf infra p 146, 2)ΛYSΘVv Syr LXX: ἄμπελοι ἡμῶν cett ante ἔδωκαν add καὶ Syr 14 δεῦρο σεαυτῇ: καὶ ἐλθὲ σύ LXX ἐλθὲ σεαυτῇ Syr(paraphr) δεῦρο—μου om v σεαυτὴν CN περιστερά μου(cf infra p 160, 6 sqq)ΛYSΘ Syr LXX: om cett 15 ἐχόμενα: ὀπίσω Syr 16 μοι: με ΛY 17 με: μοι E(corr E^2) ΣN 18 ἡδέα C(corr C^2)N ὡραία T(sscr ηδει) καὶ om v Syr 21 κυπρίζουσαι v 23 ποιμένων Σ 24 διαπνεύσει VN ἡ om ΛYPv καὶ—σκιαί om E(adscr in marg E^2)

ἀπόστρεψον ὁμοιώθητι, ἀδελφιδέ μου,
τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων
ἐπὶ τὰ ὄρη τῶν κοιλωμάτων.

Τὰ νῦν προτεθέντα διὰ τῆς ἀναγνώσεως ἡμῖν ἐκ τῆς τοῦ ῎Αισματος τῶν ᾿Αισμάτων φιλοσοφίας καὶ εἰς ἐπιθυμίαν ἄγει τῆς τῶν ὑπερκειμένων ἀγαθῶν θεωρίας καὶ λύπην ἐντίθησιν ἡμῶν ταῖς ψυχαῖς ἀπόγνωσιν ἐμποιοῦντα τρόπον τινὰ τῆς τῶν ἀλήπτων κατανοήσεως· πῶς γὰρ ἄν τις ἀλύπως διατεθείη σκοπῶν ὅτι ἐν τοσαύταις ἀνόδοις ὑψωθεῖσα δι' ἀγάπης πρὸς τὴν τοῦ ἀγαθοῦ μετουσίαν ἡ κεκαθαρμένη ψυχὴ οὔπω, καθώς φησιν ὁ ἀπόστολος, κατειληφέναι δοκεῖ τὸ ζητούμενον; καίτοι γε πρὸς τὰς ἀνόδους ἐκείνας βλέπων τὰς προδιηνυσμένας ἐν τοῖς πρὸ τούτων λόγοις ἐμακάριζον αὐτὴν τῆς ἀναβάσεως, ὅτε τὸ γλυκὺ μῆλον ἐπέγνω τῆς ἀκαρπίας τοῦ δρυμοῦ διακρίνασα καὶ ὡς ἐπιθυμητὴν αὐτοῦ τὴν σκιὰν ἐποιήσατο καὶ τῷ καρπῷ καταγλυκανθεῖσα ἐν τοῖς ταμιείοις τῆς εὐφροσύνης ἐγένετο (οἶνον δὲ ὀνομάζει τὴν

4-p 139,17 cum Origen Comm III p 202,11—204,6 comparatis cum similitudo tum differentia, quae est inter theologum gnosticum et mysticum, funditus perspici potest. 11 cf Phil 3,13

ER^a ΛYSΘ Σ PVT CN Syr 1 post ὁμοιώθητι add σύ ΛYSΘΣv LXX ἀδελφίδος CN ἀδελφιδέ μου ὁμοιώθητι T 2 τῷ δόρκωνι ΘY(δόρκων)Λ(ut vid, eras et corr $Λ^2$)v LXX ἐλάφω N 3 τὰ om v LXX τῶν om Σv LXX 4 et om ἡμῖν et post 6 θεωρίας add ἡμᾶς Syr 6 τῆς om T ἀγαθῶν om N 6-7 λύπην—ψυχαῖς om ΛYSΘ Syr numerus litt est 28, id est maximus unius lineae cod binis columnis exarati. 7 τῇ ψυχῇ Σ fort recte, nam hoc modo numerus litt lineae omissae (v. supra) est 24, id est numerus solitus. ἐμποιεῖ ΛYSΘ scil e coniectura 10 τοῦ om T 11 οὔπω: οὕτω C(corr C^2) 11-12 τὸ ζητούμενον δοκεῖ ΛYSΘ 12 ἐκείνας om Λ(sscr $Λ^2$) YSΘ 13 προδιηνυμένας Λ(corr $Λ^2$)Y προσδιηνυσμένας C(corr C^2) 14 post ἀναβάσεως add ἐκείνης τῆς τοσαύτης τὲ καὶ τηλικαύτης Σ ὅτε: ὅτι C post γλυκὺ add ἐκεῖνο Σ 15 δι(ακρίνασα) in ras E pr m 15-16 τὴν σκιὰν αὐτοῦ ΛY 16 κατεγλυκάνθη et add καὶ τότε Syr 17 ταμιείοις ER^{a}SΘΣv: ταμείοις cett τῆς: τοῖς VN γίνεται E(corr E^2)PVTCN respondet praesenti p 138,2 et 5, sed delet clausulam

860 M. εὐφροσύνην, ᾧ ἡ καρδία τῶν μετεχόντων εὐφραίνεται) καὶ ὡς ἐν τῇ ἀγάπῃ ταχθεῖσα τοῖς μύροις στηρίζεται διαληφθεῖσα τῇ τῶν μήλων περιβολῇ καὶ ὡς ἐγκάρδιον δεξαμένη τῆς ἀγάπης τὸ βέλος πάλιν ἐν ταῖς χερσὶ τοῦ τοξότου καὶ αὐτὴ βέλος γίνεται πρὸς τὸν τῆς ἀληθείας σκοπὸν ἐν ταῖς χερσὶ τοῦ δυνατοῦ εὐθυνομένη· ταῦτα καὶ τὰ τοιαῦτα βλέπων τοῦ ἀκροτάτου τῆς μακαριότητος ἐπειλῆφθαι τὴν διὰ τοσούτων ὑψωθεῖσαν ἐλογιζόμην. ἀλλ' ὡς ἔοικεν ἔτι προοίμια τῆς ἀνόδου τὰ προδιηνυσμένα ἐστί· πάσας γὰρ τὰς ἀναβάσεις ἐκείνας οὐ θεωρίαν τε καὶ κατάληψιν ἐναργῆ τῆς ἀληθείας ἀλλὰ φωνὴν τοῦ ποθουμένου κατονομάζει διὰ τῆς ἀκοῆς χαρακτηριζομένην τοῖς ἰδιώμασιν, οὐ διὰ τῆς κατανοήσεως γινωσκομένην τε καὶ εὐφραίνουσαν. εἰ οὖν ἐκείνη τοσοῦτον ὑψωθεῖσα, καθὼς περὶ τοῦ μεγάλου Παύλου μανθάνομεν τοῦ τριῶν οὐρανῶν ὑπεραρθέντος, οὔπω κατειληφέναι τὸ ζητούμενον δι' ἀκριβείας ἐνδείκνυται, τί παθεῖν εἰκὸς ἡμᾶς ἢ ἐν τίσιν εἶναι λογίσασθαι τοὺς μήπω τοῖς προθύροις τῶν ἀδύτων τῆς θεωρίας ἐγγίσαντας; ἔξεστι δὲ δι' αὐτῶν τῶν παρ' αὐτῆς εἰρημένων κατιδεῖν τοῦ ζητουμένου τὸ δυσθεώρη-

1 cf Ps 103, 15 5-6 cf Ps 126, 4 12-13 scil contra Origen disputat; cf Origen Comm III p 220, 15: 'doctrina scilicet vel mystica vel moralis, quae laetificat cor hominum'. 14-15 cf II Cor 12, 2-4

ER^a ΛYSΘ Σ PVT CN Syr 1 εὐφραίνεται τῶν μετεχόντων C 2 τοῖς—διαληφθεῖσα om N διαληφεῖσα ΛY 4 ἐν: ἐπὶ PVTCN 6 εὐθυνομένη ER^{a}ΛYSΘΣv Syr: εὐθυνόμενον cett (-νούμ- VC) 8 super ἔτι sscr iterum ἔτϊ P 9 ante τὰ add πάντα Syr 10 τε: τινὰ ER^{a}v κατάληψιν: κατάλογον v τῆς ἀληθείας ἐναργῆ T 11 post φωνὴν add μόνον Syr διὰ τῆς ἀκοῆς om P 12 χαρακτηριζομένην ex corr Λ ante τοῖς add ἐν PVCN χαρακτηρίζουσα τὰ ἰδιώματα αὐτοῦ Syr (scil interpretatio) οὐ om P (sscr ead m) 13 γινωσκομένη Λ (corr Λ^2) YS (corr S^2) Θ γινωσκομένου Syr τε om v εὐφραίνουσα YS (corr S^2) Θ εὐφραίνοντος Syr 14 post καθὼς add καὶ Syr 15 ante τριῶν add ἕως (scil secund II Cor 12, 2) ER^{a}v Syr (sed ἀρθέντος) τρίτον οὐρανὸν Θ 16 ζητούμενον: προκείμενον ER^{a}v δείκνυται PVTCN 17 μηδὲ Σ τοῖς: τῆς Y om Σ post προθύροις add πω Σ 18 δι'αὐτῶν: διὰ TC om v 19 παρ': δι' v αὐτῆς: αὐτοῖς VCN τῶν ζητουμένων v τοῦ—δυσθεώρητον: τοῦτο ὃ λέγει Syr, id est in

τον· Φωνὴ τοῦ ἀδελφιδοῦ μου, φησίν, οὐκ εἶδος, οὐ πρόσωπον, οὐ χαρακτὴρ ἐμφαίνων τοῦ ζητουμένου τὴν φύσιν, ἀλλὰ φωνὴ στοχασμὸν μᾶλλον ἢ βεβαίωσιν ἐμποιοῦσα περὶ τοῦ φθεγγομένου, ὅστις ἐστίν, ὅτι γὰρ εἰκασμῷ μᾶλλον ἔοικε τὸ λεγόμενον καὶ οὐχὶ ἀναμφιβόλῳ τινὶ πληροφορίᾳ τῆς καταλήψεως, δῆλόν ἐστιν ἐκ τοῦ μὴ μιᾷ τινι προσφυῆναι διανοίᾳ τὸν λόγον μηδὲ πρὸς ἓν εἶδος ὁρᾶν, ἀλλ' ἐπὶ πολλὰ φέρεσθαι ταῖς ὀπτασίαις ἄλλοτε ἄλλως βλέπειν οἰομένην καὶ οὐ πάντοτε τῷ αὐτῷ παραμένουσαν χαρακτῆρι τοῦ καταληφθέντος [δῆλον ἐκ τῶν λεγομένων ἐστίν]· Ἰδοὺ γάρ φησιν οὗτος ἥκει, οὐχ ἑστὼς οὐδὲ παραμένων, ὡς διὰ τῆς ἐπιμονῆς γνωρισθῆναι τῷ ἀτενίζοντι ἀλλ' ἀφαρπάζων ἑαυτὸν τῶν ὄψεων, πρὶν εἰς τελείαν γνῶσιν ἐλθεῖν· Πηδῶν γάρ φησιν ἐπὶ τὰ ὄρη καὶ τοῖς βουνοῖς ἐφαλλόμενος. καὶ νῦν μὲν δορκὰς νομίζεται, πάλιν δὲ νεβρῷ προσεικάζεται· Ὅμοιος γάρ φησιν ἀδελφιδός μού ἐστι τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ. οὕτως

10 Cant 2,8 15 Cant 2,9

exemplari Graeco interpretis erat omissa 1 lin = 23 litt (τοῦ—δυσθεώρη). litt ultimas τον sua sponte interpretatus est Syr

ER^a ΛYSΘ Σ PVT CN Syr 1 φησίν om P οὐ πρόσωπον: τοῦ προσώπου Syr 3 μᾶλλον: μόνον v Syr ἤ: οὐδὲ Syr om Σ ἐμποιοῦσα ἢ βεβαίωσιν ER^{a}v περὶ om ER^{a}v 5 οὐκ ΛYSΘ ἀμφιβόλω Λ (corr Λ^2) Y 6 μὴ om ER^{a}C (sscr C^2) Nv διανοίᾳ coll ante προσφυῆναι ER^{a}v post λόγον P 7 ὁρᾷ ΛY πολὺ V πολλὰς φέρεσθαι ὀπτασίας Syr 8 ἄλλως om v πάντη τε Λ (corr Λ^2) YSΘ 9 περιμένουσαν P ante δῆλον add καὶ τοῦτο Syr post δῆλον add δὲ C^2 9-10 δῆλον—ἐστίν eras Θ delevit Jaeger verba genuina glossae apud Syr exstare intellegens 10 οὐχ: οὐκ VC (corr C^2) N οὐδὲ ER^{a}v 11 γνωρίζεσθαι ER^{a}v 12 ἀλλ' om ER^a ἀφαρπάζων—ὄψεων om Σ post ἀφαρπάζων add πάντοτε Syr αὐτὸν CN ὄψεων: ὀφθαλμῶν PVCN ante πρὶν add καὶ Syr 12-13 γνῶσιν τελείαν Σ 13 post ἐλθεῖν add τοὺς ὁρῶντας αὐτόν, ἀποφεύγων καὶ ἀπερχόμενος Syr (paraphr ut vid) ante πηδῶν add ἰδοὺ γάρ φησιν οὗτος ἥκει Syr γάρ φησιν om P Syr (cf supra) τοῖς βουνοῖς om P 14 super νῦν scr ποτὲ P ὀνομάζεται ΣTC λογίζεται P γνωρίζεται v 15 προσεικάζεται om Syr γάρ φησιν om V ante ἀδελφιδός add ὁ ΛYSΘ ἐστιν ἀδελφιδός μου V LXX 16 δορκάδη (om ἢ) Σ ἐλάφω C (corr C^2) τῷ ὄρει v βεθήλ ER^{a}ΣV

τὸ ἀεὶ καταλαμβανόμενον ἄλλοτε ἄλλος ἐστὶ χαρακτήρ.

Ταῦτά ἐστιν, ἅ με κατὰ τὴν πρόχειρον ἔννοιαν εἰς λύπην ἄγει ἀπόγνωσιν ἐμποιοῦντα τῆς ἀκριβοῦς τῶν ὑπερκειμένων κατανοήσεως. πλὴν ἀλλὰ πειρατέον ἀναθέντας τῷ θεῷ τὴν ἐλπίδα, τῷ διδόντι ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, προσαρμόσαι τοῖς προκατανενοημένοις ἐν εἱρμῷ τινι δι' ἀκολούθου τὴν θεωρίαν. Φωνὴ τοῦ ἀδελφιδοῦ μού φησι καὶ εὐθὺς ἐπήγαγεν Ἰδοὺ οὗτος ἥκει. τί οὖν ἐν τούτοις ὑπενοήσαμεν; προβλέπει τάχα τὴν διὰ τοῦ εὐαγγελίου φανερωθεῖσαν ἡμῖν τοῦ θεοῦ λόγου οἰκονομίαν τὰ εἰρημένα,
861 M. τὴν προκαταγγελθεῖσαν μὲν διὰ τῶν προφητῶν, φανερωθεῖσαν δὲ διὰ τῆς κατὰ σάρκα τοῦ θεοῦ ἐπιφανείας· μαρτυρεῖται γὰρ τοῖς ἔργοις ἡ θεία φωνὴ καὶ συνάπτεται τῷ λόγῳ τῆς ἐπαγγελίας ἡ ἔκβασις, καθώς φησιν ὁ προφήτης ὅτι Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν. Φωνή, φησί, τοῦ ἀδελφιδοῦ μου· τοῦτό ἐστιν ὃ ἠκούσαμεν. Ἰδοὺ οὗτος ἥκει· τοῦτο ὃ τοῖς ὀφθαλμοῖς ἐδεξάμεθα. Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις· αὕτη ἡ τῆς φωνῆς ἀκοή. Ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν

5-6 Ps 67,12   7-12 cf Origen Comm III p 201, 5-10   9 sqq cf Eph 2, 6; 9   11-12 cf II Tim 1, 10   12-13 cf Joh 5, 36/7   14 Ps 47, 9   17 Hebr 1, 1   19 Hebr 1, 2

ER^a ΛYSΘ Σ PVT CN Syr   1 et τοῦ et καταλαμβανομένου C^2(e τὸ et -νον)   ante καταλαμβανόμενον add μὴ Syr (vel ἀκατάληπτον)   χαρακτὴρ εἶναι νομίζεται Syr   6 κατανενοημένοις ΛYΘNV (add τὸ πρὶν post κατ.)   8 καὶ om Σ   ἐπήγαγεν εὐθὺς Σ   10 προειρημένα P   11 μὲν om E(add E^2)N   12 post δὲ add νῦν Σ   τῆς—ἐπιφανείας: τῆς ἐνσαρκώσεως τοῦ σωτῆρος ἡμῶν Syr   θεοῦ C: υἱοῦ ER^av κυρίου cett   ἐπιφανείας ΛY: θεοφανείας cett v   voce θεοῦ egere non possumus (cf p 141, 10 θεὸς ἐφανερώθη). variam lect θεοφανείας e θεοῦ ἐπιφανείας mutilatam esse opinor. et codd et exemplar Syr verba τοῦ θεοφανείας additis vel υἱοῦ vel κυρίου vel σωτῆρος emendare conati sunt. ἡ κατὰ σάρκα τοῦ κυρίου (etc) θεοφάνεια minime placet.   μαρτυρεῖ Θ μαρτύρεται PV   14 ἡ om Σ   15 καὶ om ΛYSN   ἴδωμεν ΣC(corr C^2) ἴδαμεν N εἴδαμεν P   16 τουτέστιν ΛYSΘN   ὃ pr: ἃ ΛYSΘ   τοῦτο alt om V   18 ἐλάλησε ΛYSΘ   post πατράσιν add ἡμῶν ER^aΣVTCv

ἡμῖν ἐν υἱῷ· τοῦτό ἐστι τὸ εἰρημένον Ἰδοὺ οὗτος ἥκει ἐπιπηδῶν τοῖς ὄρεσι καὶ κατὰ τῶν βουνῶν διαλλόμενος, προσφυῶς καὶ καταλλήλως τῇ τε δορκάδι κατά τινα ἴδιον λόγον καὶ πάλιν τῷ νεβρῷ τῶν ἐλάφων καθ' ἑτέραν ἔννοιαν ὁμοιούμενος. ἡ δορκὰς σημαίνει τὴν ὀξυωπίαν τοῦ τὸ πᾶν ἐπιβλέποντος· φασὶ γὰρ τοῦτο τὸ ζῷον ὑπερφυῶς δερκόμενον ἐκ τῆς ἐνεργείας ἔχειν τὸ ὄνομα. ἀλλὰ μὴν ταὐτόν ἐστι τῷ θεᾶσθαι τὸ δέρκεσθαι. οὐκοῦν ὁ ἐφορῶν τὰ πάντα καὶ ἐπιβλέπων ἐκ τοῦ θεᾶσθαι τὰ πάντα θεὸς τῶν πάντων ἐπονομάζεται. ἐπειδὴ τοίνυν θεὸς ἐφανερώθη ἐν σαρκὶ ὁ ἐπὶ καθαιρέσει τῶν ἀντικειμένων δυνάμεων ἐπιφανεὶς τῷ βίῳ, διὰ τοῦτο δορκάδι μὲν ὁμοιοῦται ὁ ἐκ τῶν οὐρανῶν ἐπὶ τὴν γῆν ἐπιβλέψας, νεβρῷ δὲ ὁ τὰ ὄρη καὶ τοὺς βουνοὺς διαλαμβάνων τοῖς ἅλμασι, τουτέστιν ὁ καταπατῶν τε καὶ καταλύων τὰ πονηρὰ τῆς τῶν δαιμόνων κακίας ὑψώματα· ὄρη μὲν γὰρ λέγει τὰ ἐν τῇ κραταιότητι αὐτοῦ ταρασσόμενα, ὥς φησιν ὁ Δαβίδ, τὰ μετατιθέμενα ἐν καρδίᾳ θαλασσῶν καὶ τῷ συγγενεῖ τόπῳ τῆς ἀβύσσου καταδυόμενα, περὶ ὧν πρὸς τοὺς μαθητὰς εἶπεν ὁ κύριος ὅτι Ἐὰν ἔχητε

5-7 cf Origen Comm III p 201,17; 214, 29 sqq; cf Plinius nat hist 28, 11   8-10 cf Ad Ablabium p 44, 10-16 (Vol III, 1 Jaeger)   11 cf II Cor 10, 4   14-15 cf Origen Comm III p 213, 25/6; 214, 17/8; 216, 8/9   15 cf II Cor 10, 5   16-17 cf Ps 45, 3/4   19 Matth 17, 20

ER^a ΛYSΘ Σ PVT CN Syr   1 post υἱῷ add αὐτοῦ Syr   post εἰρημένον add ὅτι ΣPVT   2 τὸν βουνὸν C(corr C^2)   ἐξαλλόμενος V   3 τε om ΛYSΘ   4 ἑκατέραν C(eras -κα-)   5 ὁμοιούμενος: ἐννοούμενος V   τοῦ τὸ ex corr Λ^2 τουτο (sic) Σ(super υ aliquid eras) τοῦτο τὸ P   6 φησὶ Y   post ὑπερφυῶς add καὶ καταλλήλως N   7 ταὐτὸν: τοῦτο TC   8 τῷ ER^aSΣVv: τὸ cett Syr   θεᾶσθαι (praestat et tempus et clausula) SΘ: θεάσασθαι cett v   post θεᾶσθαι add καὶ Syr   τὸ: τῷ Λ^2(ex τὸ)P   8-9 ἐπιβλέπων καὶ ἐφορῶν τὰ πάντα T   9 θεάσασθαι ER^aVC(corr C^2)Nv   12 μὲν—ὁ om P   ὁ om VC(sscr C^2)N   13 ἐπὶ τὴν γῆν om ΛYSΘ iterat P   ὁ om ER^av   τοὺς βουνοὺς καὶ τὰ ὄρη ΛYSΘΣ   14 αἵμασι Y   τοῦτό ἐστιν ΛYS   15 διαλύων P(sscr κατα) λύων N   τῆς: τοῖς P   16 τασσόμενα Λ(corr Λ^2)Y   17 ὁ om N   καρδίᾳ CN Syr: καρδίαις cett v LXX   17-18 ἐν—καταδυόμενα om P   18 τόπῳ om V   19 τοὺς om Σ   ὅτι om Syr

πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ (δεικνὺς τῷ λόγῳ τὸ πονηρὸν ἐκεῖνο τὸ σεληναῖον δαιμόνιον), ὅτι Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν. ἐπειδὴ τοίνυν ἴδιον τῆς τῶν νεβρῶν ἐστι φύσεως τὸ ἀναλωτικὸν τῶν θηρίων καὶ τὸ φυγαδεύειν τῷ ἄσθματι καὶ τῇ τοῦ χρωτὸς ἰδιότητι τὸ τῶν ὄφεων γένος, διὰ τοῦτο δορκάδι μὲν ὁ ἐφορῶν τὰ πάντα ὡμοίωται, νεβρῷ δὲ ἐλάφων ὡς πατῶν τε καὶ ἀναλίσκων τὴν ἐναντίαν ἐνέργειαν, ἣν ἡ τροπικὴ σημασία ὄρη καὶ βουνοὺς κατωνόμασεν. γέγονέ τε οὖν ἡ τοῦ νυμφίου φωνὴ διὰ τῶν προφητῶν, ἐν οἷς ἐλάλησεν ὁ θεός, καὶ μετὰ τὴν φωνὴν ἦλθεν ὁ λόγος ἐπιπηδῶν τοῖς ἀντικειμένοις ὄρεσι καὶ τῶν βουνῶν καθαλλόμενος, πᾶσαν ἐκ τοῦ ἴσου τὴν ἀποστατικὴν δύναμιν ὑπίχνιον ἑαυτῷ ποιῶν, τήν τε ὑποδεεστέραν καὶ τὴν προάγουσαν· τοῦτο γὰρ ἡ τῶν βουνῶν πρὸς τὰ ὄρη διαστολὴ ὑπαινίσσεται ὅτι καὶ τὸ ἐξέχον ἐν τοῖς ἀντικειμένοις ὁμοίως τῷ ὑποβεβηκότι καθαιρεῖται ἐν τῇ αὐτῇ δυνάμει τε καὶ ἐξουσίᾳ πατούμενον· ὁμοίως γὰρ καταπατεῖται ὁ λέων τε καὶ ὁ δράκων, τὰ ὑπερέχοντα, ὅ τε ὄφις καὶ ὁ σκορπίος, τὰ

2 cf Matth 17, 15 3 Marc 11, 23 4-6 cf Origen Comm III p 201, 30 (frgt e Procop) et quae Baehrens adnot: Aelian nat an 2, 9 et Plinius nat hist VIII 118. cf Physiologus ed Sbordone p 97 sq; cf In Psal p 452 A/B (Migne); cf infra p 376, 18-19 8-9 cf Origen Comm III p 206, 7-9 12-13 cf Ps 109, 1 17-18 cf Ps 90, 13 18 cf Luc 10, 19

ER^a ΛYSΘ Σ PVT CN Syr 1 post πίστιν add θεοῦ P post ἐρεῖτε add τε R^a 2 post λόγῳ add τούτῳ PVTCN τὸ alt: καὶ ER^aΣv om V ante δαιμόνιον add τὸ S post δαιμόνιον add ὃ ἐξέβαλε ἐκ τοῦ ἀνδρός Syr(explic) 3 post θάλασσαν add ἔσται οὕτως Syr (scil secund Marc 11, 23) 4 τῶν pr om v post φύσεως add ὡς N 5 τὸ: τῷ P τῷ: τὸ Σ 6 post τοῦτο add δορκάδια τοῦτο Λ(del $Λ^2$)Y(del) 8 post τὴν add ἰοβόλων τὲ καὶ Σ ἣν ἡ τροπικὴ: ἐν ᾗ τροπικῇ ΛYSΘ ἡ om T 9 τε οὖν: τοίνυν R^aE^2(ex τε οὖν ut vid)Σv ante διὰ add ἡ ER^av 12 ante πᾶσαν add καὶ Σ Syr: post πᾶσαν add τε P add τὴν C(eras)N 14 προσάγουσαν C(eras σ pr) ἄγουσαν N ἡ coll post βουνῶν v πρὸς: καὶ V 15 ὑπαινίττεται v 16 καθαίρεται Λ(corr $Λ^2$)YSΘC(corr C^2)N καθαρρεῖται P αὐτῇ om ER^av 18 ὅ τε: ὅτϊ N ὁ tert om T

δοκοῦντα καταδεέστερα. οἷόν τι λέγω· ἦν ἐν τοῖς ἀκολου-
864 M. θοῦσιν αὐτῷ ὄχλοις ὄρη δαιμόνια, ἦν ἐν ταῖς συναγωγαῖς, ἦν ἐν τῇ χώρᾳ τῶν Γερασηνῶν, ἦν ἐν ἑτέροις τόποις πολλοῖς, κατὰ τῆς ἀνθρωπίνης φύσεως ὑψούμενά τε καὶ κορυφούμενα. ἐκ τούτων ἦσαν καὶ βουνοὶ καὶ ὄρη, ὑπερέχοντές τε καὶ ὑποκείμενοι. ἀλλ' ὁ νεβρὸς τῶν ἐλάφων, ὁ ἀναλωτικὸς τῶν ὄφεων, ὁ καὶ τοὺς μαθητὰς εἰς τὴν τῶν ἐλάφων καταρτιζόμενος φύσιν, ἐν οἷς λέγει ὅτι Δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, πᾶσιν ἐπίσης ἐπιβάλλει τὸ ἴχνος, ταῦτά τε φυγαδεύων καὶ μεθαλλόμενος ἀπὸ τούτων πρὸς ἕτερα, ὡς διὰ τούτων τὸ μέγεθος τῶν κατ' ἀρετὴν ὑψουμένων ἀναφανῆναι μηκέτι τοῖς γεωλόφοις τῆς κακίας ἐπισκοτούμενον· τὰ γὰρ ὄρη Βαιθὴλ ἔοικεν ἐκ τῆς τοῦ ὀνόματος ἑρμηνείας τὸν ὑψηλὸν καὶ οὐράνιον ἐνδείκνυσθαι βίον· οἶκον γὰρ θεοῦ σημαίνειν τὴν λέξιν ταύτην φασὶν οἱ τῆς Ἑβραίων φωνῆς ἐπιστήμονες. διό φησιν Ἐπὶ τὰ ὄρη Βαιθήλ.

Εἶδε ταῦτα ὁ κεκαθαρμένος τε καὶ διορατικὸς τῆς ψυχῆς

1-2 cf Matth 9, 32/3; 17, 14 sqq et parallel 2 cf Marc 1, 23 sqq = Luc 4, 33-37 3 cf Matth 8, 28 sqq et parall 4 cf II Cor 10, 5 6 cf Origen Comm III p 213, 25/6 7 cf Ps 28, 9; cf Origen Comm III p 212, 18 sqq; 214, 11 8 Luc 10, 19 11 cf Origen Comm III p 206, 4 sqq 15 cf Origen Comm III p 216, 11

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἦν om v 2 ἦν: ἢ PVTCNv post ἦν add καὶ Syr 3 ἦν pr ΛYSΘΣ(ἣν) Syr: ἢ PVTCN ἦν, ἢ v om ER^a γερασηνῶν E(eras α et sscr γε E^2) C(γερασινῶν, corr γεργεσηνῶν C^2)Nv: γεργεσηνῶν R^aΛYSΘΣ (-σιν-)T γεγερσινῶν P γεργασινῶν V Γεννησάρ Syr ἦν alt—πολλοῖς om Syr (nota 24 litt = 1 lin) ἦν alt: ἢ PVTCNv τόποις om ΣPVC(sscr C^2)N πολλοῖς om ΛYSΘ 5 καὶ pr om v 6 ὑπερκείμενοι V(-ερ- corr ex -ο- pr m ut vid) 8 ante δέδωκα add e Luc 10, 19 ἰδοὺ Syr ἡμῖν N 9 ante ὄφεων add τῶν v post σκορπίων add καὶ ἑρμηνεύειν βουλόμενος, τίνες εἰσιν οἱ ὄφεις καὶ οἱ σκορπίοι, προστίθησι Καὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ Syr (scil e Luc 10, 19) 10 ταῦτά τε: ταῦτε C(sscr τα C^2) τε om Θ ἀπὸ τούτων om Syr 11 πρὸς: εἰς Σ 13 βεθὴλ ER^aΣV 13-14 τῆς coll post ὀνόματος v 14 τῶν ὑψηλῶν Σ 15 σημαίνει R^a φησὶν N(dist post φ.) post οἱ add τε YΛ (eras) 16 διό—βαιθήλ om Syr (22 litt, id est desunt 2 litt numero litt totius lin. an erat olim in lin om διὸ δή ?) 17 post εἶδε add τοίνυν Syr ὁ om Σ τε om v

ὀφθαλμός, ὁ τοῖς θείοις ἐκείνοις ἅλμασι τοῖς κατὰ τῶν ἀντικειμένων γεωλόφων γινομένοις συμμεθαλλόμενος, καὶ περὶ τοῦ χρόνοις ὕστερον γενησομένου ὡς ἤδη παρόντος ποιεῖται τὸν λόγον διὰ τὸ πιστόν τε καὶ ἀναμφίβολον τῆς ἐλπιζομένης χάριτος ὡς ἔργον τὴν ἐλπίδα βλέπων· φησὶ γὰρ ὅτι ὁ κατὰ τῶν ὀρέων πηδῶν ἐν εὐκινήτῳ τῷ τάχει καὶ εἰς βουνοὺς ἀπὸ βουνῶν διαλλόμενος στάσιμον δείκνυσιν ἡμῖν ἑαυτὸν κατόπιν τοῦ τοίχου γενόμενος καὶ ἐκ τῶν δικτύων τῶν θυρίδων διαλεγόμενος. ἔχει δὲ οὕτως ἡ λέξις· Ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν παρακύπτων διὰ τῶν θυρίδων, ἐκκύπτων διὰ τῶν δικτύων. τὸ μὲν οὖν σωματικῶς ἐν τῷ λόγῳ ὑπογραφόμενον τοιοῦτόν ἐστι, ὅτι ἔνδον οἰκουρούσῃ τῇ νύμφῃ διὰ τῶν θυρίδων ὁ ἐραστὴς διαλέγεται καὶ τοῦ τοίχου κατὰ τὸ μέσον ἀμφοτέρους διείργοντος ἀνεμπόδιστος γίνεται τοῦ λόγου ἡ κοινωνία διὰ μὲν τῶν θυρίδων τῆς κεφαλῆς παρακυπτούσης, διὰ δὲ τῶν δικτύων τῶν ἐν ταῖς θυρίσι πρὸς τὰ ἐντὸς τοῦ ὀφθαλμοῦ διακύπτοντος, ἡ δὲ κατὰ ἀναγωγὴν θεωρία τῆς προεξητασμένης ἔχεται διανοίας· ὁδῷ γὰρ καὶ ἀκολουθίᾳ προσοικειοῖ τῷ θεῷ τὴν

4-5 cf Hebr 11,1 9 Cant 2,9

ER^a ΛYSΘ Σ PVT CN Syr 1 θείοις—τοῖς alt om Σ(24 litt, scil scriba per homoioteleuton in lin inferiorem aberravit) ἐκείνοις om ΛY 2 γενομένοις P post καὶ add τοῖς P 3 et τῶν et γενησομένων et παρόντων Syr χρόνου v τοῦ ἐν ὑστέροις χρόνοις Σ 6 ὁ κατὰ om P, sed sscr super ὅ(τι) κατὰ. id est exhibet pro ὅτι var lect ὁ κατὰ post ὀρέων add ἐκείνων ΛYSΘ Syr(sed in talibus maxima liberalitate usus est) πηδῶν om ΛYSΘ scil in fonte communi ΛYSΘ erat super πηδῶν scriptum ἐκείνων ἐν om ER^{a}ΛYSΘv τῷ om ΛYSΘVT 7 μεθαλλόμενος v 8 ὑμῖν P ἡμῶν N om v γινόμενος ΛYSΘ 8-9 δικτύων τῶν θυρίδων ΣPVC^2(corr θυρίδων e θηρίων)v: δικτυωτῶν θυρίδων ER^{a}TN δικτύων(om τῶν θ.) Syr θυρίδων τῶν δικτυωτῶν ΛYS θυρίδων τῶν δικτύων Θ(corr δικτυωτον(sic) Θ^1) 9 ἔχει—λέξις om P ἡ λέξις οὕτως ΛYC 11 post θυρίδων add καὶ S 12 ἐν om TCN προγραφόμενον (id est fere 'palam pronuntiatum') ΛYSΘ^1(corr e ὑπογρ.) Syr (ut vid) 12-13 οἰκουρούσῃ: post ρ eras 1 vel 2 litt E οἰκουροῦσαν τὴν νύμφην v 14 κατὰ: διὰ Θ τὸ om N ἀμφοτέρου Y 14-15 ἀνεμποδίστως P 15 τοῦ λόγου γίνεται TC τῶν om v 19 καὶ om N

ἀνθρωπίνην φύσιν ὁ λόγος, πρῶτον μὲν αὐτὴν διὰ τῶν προφητῶν καταυγάζων καὶ τῶν νομικῶν παραγγελμάτων (οὕτω γὰρ νοοῦμεν· θυρίδας μὲν τοὺς προφήτας τοὺς τὸ φῶς εἰσάγοντας, δίκτυα δὲ τὴν τῶν νομικῶν παραγγελμάτων πλοκήν, δι' ὧν ἀμφοτέρων ἡ αὐγὴ τοῦ ἀληθινοῦ φωτὸς ἐπὶ τὰ ἐντὸς παραδύεται)· μετὰ ταῦτα δὲ ἡ τελεία τοῦ φωτὸς ἔλλαμψις γίνεται, ὅταν ἐπιφανῇ τὸ φῶς τὸ ἀληθινὸν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις διὰ τῆς πρὸς τὴν φύσιν ἡμῶν συνανακράσεως. πρότερον οὖν αἱ αὐγαὶ τῶν προφητικῶν τε καὶ νομικῶν νοημάτων ἐλλάμπουσαι τῇ ψυχῇ διὰ τῶν νοηθεισῶν ἡμῖν θυρίδων τε καὶ δικτύων ἐπιθυμίαν ἐμποιοῦσι τοῦ ἰδεῖν ἐν ὑπαίθρῳ τὸν ἥλιον, εἶθ' οὕτω τὸ ποθούμενον εἰς ἔργον προέρχεται.

Ἀκούσωμεν δὲ οἷα πρὸς τὴν ἐκκλησίαν λαλεῖ ὁ μήπω ἐντὸς τοῦ τοίχου γενόμενος ἀλλ' ἔτι διὰ τῶν φωταγωγῶν αὐτῇ
865 M. προσφθεγγόμενος· Ἀποκρίνεται, φησίν, ὁ ἀδελφιδός μου καὶ λέγει μοι· Ἀνάστα, ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου, ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ, τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, ὁ καιρὸς τῆς τομῆς ἔφθακεν,

3-4 cf Origen Comm III p 220, 19: 'per fenestras legis ac prophetarum' 5-13 cf De orat domin II p 1137 B (Migne) 7 cf Joh 1, 9 7-8 cf Luc 1, 79 16-p 146,3 Cant 2,10-13

ER^a ΛYSΘ(post 17 πλησίον deff foll 3) Σ PVT CN Syr 1 τῶν ER^{a}v: om cett 2 νομίμων TCN 3-4 τοὺς alt—εἰσάγοντας om R^a 4 εἰσαγαγόντας Σ νομίμων ER^{a}ΛSΘv 6 παραδεύεται C(corr παρωδεύεται C^2)N παρεισδύεται R^{a}E^2(corr e παραδύει ut vid) v 7 ἔλλαψις E ante τοῖς add ὁ ΛYSΘ 8 σκιᾶς N θανάτου om v ad καθημένος (sic) adnot in marg τοῖχος δὲ κατονομάζει τὴν σάρκα ἣν ἀνέλα(βεν) ὁ λόγος. τὸ δὲ ὀπίσω τὸ ἀφανὲς καὶ ἄληπτον τῆς θεότητος δηλοῖ V 9 ἀνακράσεως Θ (sscr συν Θ^1) post συνανακράσεως add ἐπιφαίνεται ΛYSΘ ante οὖν add μὲν R^{a}ΛY αἱ om ΛYS 10 τε καὶ νομικῶν om PVCN ἐκλάμπουσαι P ἐπιλάμπουσαι Σ 11 ante διὰ del 1 litt P 14 ἀκούσομεν Σ ἐντὸς: ἐν τοῖς E(corr E^2) 14-15 μήπω—ἔτι om Syr 15 ἔτι: ἔστη v 15-16 ἀλλ'—προσφθεγγόμενος om CN 16 ante φησίν add γὰρ omnes praeter ΛYSΘ Syr ὁ om ΛYSΘ ἀδελφιδοῦς TC^2(ex -ός) 18 μου om ΛYSCN ὁ ὑετὸς ἀπῆλθεν om E(adscr in marg pr man ut vid) ante ἐπορεύθη add καὶ Syr 19 ὤφθη om P πέφθακε TC^2(add π)

φωνὴ τοῦ τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν, ἡ συκῆ ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς, αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν.

Ὦ πῶς γλαφυρῶς ἡμῖν ὑπογράφει τὴν τοῦ ἔαρος χάριν ὁ πλάστης τοῦ ἔαρος, πρὸς ὅν φησιν ὁ Δαβὶδ ὅτι Θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά. λύει τὴν τοῦ χειμῶνος κατήφειαν παρεληλυθέναι λέγων τὴν χειμερινὴν σκυθρωπότητα καὶ τὴν τῶν ὑετῶν ἀηδίαν· λειμῶνας δείκνυσι βρύοντας καὶ ὡραϊζομένους τοῖς ἄνθεσιν, τὰ δὲ ἄνθη ἐν ἀκμῇ εἶναι λέγει καὶ πρὸς τομὴν ἐπιτηδείως ἔχειν, ὡς εἰς στεφάνου πλοκὴν ἢ μύρου κατασκευὴν ἀναιρεῖσθαι πάντως τοὺς ἀνθολόγους. ἡδύνει δὲ τὸν καιρὸν ὁ λόγος καὶ ταῖς τῶν ὀρνίθων ᾠδαῖς κατὰ τὰ ἄλση περιηχούμενον τῆς ἡδείας τῶν τρυγόνων φωνῆς ταῖς ἀκοαῖς προσηχούσης, συκῆν δὲ λέγει καὶ ἄμπελον τὴν ἀπ' αὐτῶν γενησομένην τρυφὴν τοῖς φαινομένοις προοιμιάζεσθαι, τὴν μὲν τοὺς ὀλύνθους ἐκφέρουσαν, τὴν δὲ τῷ ἄνθει κυπρίζουσαν, ὡς κατατρυφᾶν τῆς εὐωδίας τὴν ὄσφρησιν. οὕτω μὲν οὖν ἁβρύνεται τῇ ὑπογραφῇ τῆς ἐαρινῆς ὥρας ὁ λόγος τό τε σκυθρωπὸν ἀποβάλλων καὶ τοῖς γλυκυτέ-

5 Ps 73,17

ER^{a} ΛYS Σ PVT CN Syr 1 τοῦ: τῆς ΣE^{2}(ex τοῦ)P(var lect τῆς sscr)v om R^{a} ἠκούσθη iterat P ἡ om P(sed sscr) 2 ἑαυτῆς P post ἄμπελοι add ἡμῶν ER^{a}Pv ante ἔδωκαν add καὶ Syr 4 ὢ πῶς PVTCN: καλῶς καὶ Syr ὡς cett v τοῦ om P ἔαρος: ἀέρος ΣV(corr)CN Syr χάριν: εἶδος(vel μορφὴν) Syr(nota ἀέρος!) 5 ἔαρος: ἀέρος ΣV(corr)CN Syr 6 ἔαρ: ῎αρ (sic)Y χειμῶνα Syr(scil secundum textum masorethicum) λύειν Y(eras ν ut vid) post λύει add γὰρ Syr 7-8 καὶ—ἀηδίαν om Syr 8 ante δείκνυσι add δὲ Syr ante βρύοντας add τοὺς ΛY 9 ἐν om P εἶναι om E(sscr E^{2}) 10 τομὴν: τὴν P(in marg adn λείπ) ὡς εἰς: εἰ E(corr E^{2}) ὡσεὶ (vel ὡς εἰ) ΣPC(corr C^{2})N ὡς ἐς v 11 ἢ om Σ(sscr Σ^{2}) μύρου ΛYSΣ Syr: μύρων cett v πάντως: αὐτὰ Syr 12 δὲ om Λ(sscr Λ^{2})Y ὁ λόγος om Syr 13 περιηχούμενος T 14 προσηλούσης R^{a} προηχούσης VC προαχούσης N 15 ἀπ'αὐτῶν: ἀπάντων Y τροφὴν V 16 προοιμιαζόμενος T 17 τὰ ἄνθη TCN, cf infra p 156, 20 18 ἐναβρύνεται V ἐαρινῆς: ἀερίνης Syr 19 ἀποβαλὼν V ἀποβάλον N

ροις ἐμφιλοχωρῶν διηγήμασιν. χρὴ δέ, οἶμαι, μὴ παραμεῖναι τὴν διάνοιαν τῇ τῶν γλαφυρῶν τούτων ὑπογραφῇ, ἀλλὰ δι' αὐτῶν ὁδηγηθῆναι πρὸς τὰ δηλούμενα διὰ τῶν λογίων τούτων μυστήρια, ὥστε ἀνακαλυφθῆναι τὸν θησαυρὸν τῶν νοημάτων τὸν ἐγκεκρυμμένον τοῖς ῥήμασιν. τί οὖν ἐστιν ὅ φαμεν; πεπήγει ποτὲ τῷ τῆς εἰδωλολατρίας κρυμῷ τὸ ἀνθρώπινον τῆς εὐκινήτου φύσεως τῶν ἀνθρώπων πρὸς τὴν τῶν ἀκινήτων σεβασμάτων φύσιν μεταβληθείσης· Ὅμοιοι γάρ φησιν αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. καὶ τὸ εἰκὸς ἐν τοῖς γινομένοις ἦν· ὥσπερ γὰρ οἱ πρὸς τὴν ἀληθινὴν θεότητα βλέποντες ἐφ' ἑαυτῶν δέχονται τὰ τῆς θείας φύσεως ἰδιώματα, οὕτως ὁ τῇ ματαιότητι τῶν εἰδώλων προσανέχων μετεστοιχειοῦτο πρὸς τὸ βλεπόμενον λίθος ἐξ ἀνθρώπου γινόμενος. ἐπειδὴ τοίνυν ἀπολιθωθεῖσα διὰ τῆς τῶν εἰδώλων λατρείας ἀκίνητος ἦν πρὸς τὸ κρεῖττον ἡ φύσις ἐμπεπηγυῖα τῷ τῆς εἰδωλολατρίας κρυμῷ, τούτου χάριν ἐπανατέλλει τῷ χαλεπῷ τούτῳ χειμῶνι ὁ τῆς δικαιοσύνης ἥλιος καὶ ἔαρ ποιεῖ τοῦ μεσημβρινοῦ πνεύματος, τοῦ τὴν τοιαύτην διαλύοντος πῆξιν, ἅμα τῇ ἀνατολῇ τῶν ἀκτίνων συνεπιθάλποντος ἅπαν τὸ ὑποκείμενον, ἵνα διαθερμανθεὶς τῷ πνεύματι ὁ διὰ τοῦ κρύους λιθωθεὶς ἄνθρωπος καὶ ὑποθαλφθεὶς τῇ ἀκτῖνι

4-5 cf Col 2, 3; Isai 45, 3 9 Ps 113, 16 11-12 cf Plato Phaedr 253 a 13-14 cf Ezech 36, 25/6 18 cf Mal 3, 20

ER^{a} ΛYS Σ PVT CN Syr 1 χρή: δεῖ ΛY παραμεῖναι: παραδυῆναι ER^{a} παραδραμεῖν ΛYS 2 ὑπογραφὴ τούτων Σ 3 αὐτὸν N διὰ om V λόγων ΛYSΣ 4 τῶν θησαυρῶν C (corr C^{2}) 6 ἐπεπήγει TC^{2}(add ἐ-) εἰδωλολατρείας ER^{a}ΣPVCv κρυμμῷ V 8 φύσιν om CN 9 αὐτοῖς coll ante φησὶ ΣPVT om ER^{a}CNv 10-11 ἦν coll ante ἐν Σ(ἦν) 11 γενομένοις v πρὸς ΛYSΣ Syr(ut vid): om cett v 12 θείας om ΛYS 13 post οὕτως add καὶ Syr 13-14 et οἱ et προσανέχοντες μεταστοιχοῦνται Σ μετεστοιχειούτω CN 14 ἀνθρώπων ER^{a}Σ et λίθοι et γινόμενοι Σ 16 ante φύσις add ἀνθρωπίνη Syr ἐμπεδ·γυία (sic) P(sscr πη) πεπηγυῖα ER^{a}ΣTv ante τῷ add ὡς ἔλεγον Syr 17 κρυμμῷ V 18 ἔαρ: ἔαν (sic) Y 19 τοῦ om Σ τὴν om P 20 ἅμα: ἅπαν Λ(corr Λ^{2})Y ante ἅμα add καὶ Σ 21 ἀπολιθωθεὶς ΛYSΣE^{2}(adscr ἀπο)R^{a}v

τοῦ λόγου πάλιν γένηται ὕδωρ ἀλλόμενον εἰς ζωὴν αἰώνιον· Πνεύσεται γὰρ τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα Στρεφομένης τῆς πέτρας εἰς λίμνας ὑδάτων καὶ τῆς ἀκροτόμου εἰς πηγὰς ὑδάτων. ὅπερ γυμνότερον πρὸς τοὺς Ἰουδαίους ὁ βαπτιστὴς ἀνεβόησε λέγων τοὺς λίθους τούτους ἐγείρεσθαι
868 M. εἰς τὸ γενέσθαι τέκνα τοῦ πατριάρχου δι' ἀρετῆς ὁμοιούμενα. ταῦτα τοίνυν ἀκούει τοῦ λόγου ἡ ἐκκλησία διὰ τῶν προφητικῶν θυρίδων καὶ τῶν νομικῶν δικτύων δεχομένη τὴν τῆς ἀληθείας αὐγὴν ἔτι συνεστῶτος τοῦ τυπικοῦ τῆς διδασκαλίας τοίχου, τοῦ νόμου λέγω, τοῦ τὴν σκιὰν ποιοῦντος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων δεικνύοντος, οὗ κατόπιν ἵσταται ἡ ἀλήθεια ἐχομένη τοῦ τύπου πρῶτον μὲν διὰ τῶν προφητῶν ἐναυγάζουσα τῇ ἐκκλησίᾳ τὸν λόγον, μέτα ταῦτα δὲ τῇ φανερώσει τοῦ εὐαγγελίου πᾶσαν τοῦ τύπου τὴν σκιοειδῆ φαντασίαν ἐξαναλίσκουσα, δι' ἧς καθαιρεῖται μὲν τὸ μεσότοιχον, συνάπτεται δὲ ὁ ἐν τῷ οἴκῳ ἀὴρ πρὸς τὸ αἴθριον φῶς, ὡς μηκέτι διὰ τῶν θυρίδων χρείαν ἔχειν περιαυγάζεσθαι αὐτοῦ τοῦ ἀληθινοῦ φωτὸς διὰ τῶν εὐαγγελικῶν ἀκτίνων τὰ ἔνδον πάντα καταφωτίζοντος. διὰ τοῦτο ἐμβοᾷ διὰ τῶν φωταγωγῶν τῇ ἐκκλησίᾳ ὁ λόγος ὁ ἀνορθῶν τοὺς κατερραγμένους

1 cf Joh 4, 14 2 Ps 147, 7 2-4 Ps 113, 8 5-6 cf Matth 3, 9 ~ Luc 3, 8 6 cf Joh 8, 39 10 sqq cf Plato Resp 514 b sqq 10-11 cf Col 2, 17 13 cf Hebr 1, 1 sqq 14-15 cf II Cor 3, 14 sqq 16 cf Eph 2, 14 19 cf Joh 1, 9 21 cf Ps 144, 14; 145, 8

ER^aΛYS Σ PVT CN Syr 2 πνεύσει ΣVE^2(e πνεύσεται) R^av LXX add φησι post γάρ ER^aΣTv post αὐτοῦ P ῥύσεται ΛS(corr $Λ^2S^2$) ῥυσσεται P(corr) 3-4 καὶ—ὑδάτων om V 4 τούς: τὸ C(corr C^2) 5 ante ὁ add Ἰωάννης Syr ἀνεγείρεσθαι Σ 6 τοῦ πατριάρχου: τῷ ἀβραάμ V Syr (scil sec Matth 3, 9) 7 λόγου: νυμφίου τοῦ Χριστοῦ Syr 8 θυρίδων—νομικῶν om ΛYSΣ 9 ἔτι: ἥτις V ὅτι TCN 10 τοῦ alt om V 12 δεικνύντος ΛYS 15 σκιώδη TC^2(ω ex ο, inter ω et δ ras)N 16 ἐξαναλίσκουσαν C(eras -ν) 17 ὁ om ΛYSC ἐν om ΛY αἴθριον PCN Syr: αἰθέριον cett v post μηκέτι add τοὺς ἐν τῷ οἴκῳ ὄντας Syr (interpres ut vid) 20 ἐνβοᾶ PN βοᾶ ΛY φωταγῶν ΛY 21 τῆς ἐκκλησίας V ὁ λόγος coll ante τῇ Σ λόγος: νυμφίος Syr θεῖος λόγος S κατηραγμένους ΣPN

λέγων Ἀνάστηθι (δηλαδὴ ἐκ τοῦ πτώματος) ἡ τῷ γλίσχρῳ τῆς ἁμαρτίας ἐνολισθήσασα, ἡ συμποδισθεῖσα διὰ τοῦ ὄφεως καὶ εἰς γῆν πεσοῦσα καὶ ἐν τῷ πτώματι τῆς παρακοῆς γενομένη, ἀνάστα. οὐκ ἀρκεῖ δέ σοι, φησί, τὸ ἀνορθωθῆναι μόνον ἐκ τοῦ πτώματος, ἀλλὰ καὶ πρόελθε διὰ τῆς τῶν ἀγαθῶν προκοπῆς τὸν ἐν ἀρετῇ διανύουσα δρόμον. ὅπερ δὴ καὶ ἐπὶ τοῦ παραλυτικοῦ μεμαθήκαμεν· οὐ γὰρ διανίστησι μόνον ὁ λόγος τὸ ἐπικλίνιον ἄχθος ἐκεῖνο, ἀλλὰ καὶ περιπατεῖν ἐγκελεύεται. ὅπερ μοι δοκεῖ τὴν πρὸς τὸ κρεῖττον πρόοδόν τε καὶ ἐπαύξησιν διὰ τῆς μεταβατικῆς κινήσεως σημαίνειν [ὁ λόγος]. Ἀνάστα οὖν φησι καὶ Ἐλθέ. ὢ προστάγματος δύναμις. ὄντως φωνὴ δυνάμεώς ἐστιν ἡ φωνὴ τοῦ θεοῦ, καθὼς ἡ ψαλμῳδία φησὶν ὅτι Ἰδοὺ δώσει τὴν φωνὴν αὐτοῦ, φωνὴν δυνάμεως· καὶ Αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. ἰδοὺ καὶ νῦν εἶπε πρὸς τὴν κειμένην ὅτι Ἀνάστηθι καὶ ὅτι Ἐλθὲ καὶ εὐθὺς ἔργον τὸ πρόσταγμα γίνεται· ὁμοῦ γὰρ τῷ δέξασθαι τοῦ λόγου τὴν

2-3 cf Gen 3 3 spectat ad Rom 6, 12 et 16. Gregorius usum auctorum novi testamenti vocis πτῶμα pro 'corpus' explicare videtur, scil doctrinam Origenis de origine generis humani secutus. cf Origen Comm III (IV) p 225, 16/7, sed cave, ne timidam Rufini interpretationem nimis respicias. 6 cf II Tim 4, 7 7-9 cf Matth 9,5 sqq et parall 13 Ps 67,34 14 Ps 32,9

ER^a ΛYS Σ PVT CN Syr 1 λέγων om V ἀνάσταθι N δηλαδή: δή PCN om V post πτώματος add ἀνάστηθι Syr γλίσχρῳ: αἰσχῷ ER^av 4 ἀνάστηθι Σ φησί coll post ἀνορθωθῆναι ER^av om Syr 5 μόνον om ER^av ἐκ: ἀπὸ CN καταπτώματος Λ(eras κατα)YΣ καὶ om P πρόσελθε ER^aΣVv 6 ἀγαθῶν: θυρίδων P τὸν coll ante δρόμον PVCN ἐν ἀρετῇ: ἐνάρετον Σ 7 διανίστησι: διαβαστάζειν T 8 ὁ λόγος om Syr super τὸ sscr καὶ ἆραι C^2 ἐπικλινίδιον ER^av 9 ὅπερ μοι δοκεῖ: δοκεῖ δέ μοι Syr δοκεῖ om V 10 αὔξησιν ER^av σημαίνει Σ(sscr ν $Σ^2$) 11 ὁ λόγος delevi om Syr(sed cf 8 et 9) οὖν om PVCN ἔξελθε ER^av 11-16 ὢ—ἐλθὲ om Λ (in marg add $Λ^2$)Y 13 τὴν φωνήν: τῇ φωνῇ S$Λ^2$(in marg)PN LXX(cod S, alii ἐν τῇ φωνῇ) 14 φωνήν: φωνὴ N καὶ pr $R^a$$E^2$(add)Σv Syr: om cett ἐγεννήθησαν C ante αὐτὸς alt add καὶ Syr 14-15 αὐτὸς alt—ἐκτίσθησαν om $Λ^2$(in marg) 15-16 τὴν κειμένην: ταύτην (vel αὐτὴν) Syr 16 ὅτι alt: ἔτι P om Σ$Λ^2$(in marg) πρόσελθε v ἔργου Λ 17 πρόσταγμα: πρᾶγμα T(sed corr) ἐγένετο V τῷ: τὸ ΛYΣC(corr C^2)Nv τοῦ P

δύναμιν καὶ ἵσταται καὶ παρίσταται καὶ πλησίον γίνεται τοῦ φωτός, ὡς ὑπ' αὐτοῦ τοῦ καλέσαντος αὐτὴν μεμαρτύρηται οὕτως εἰπόντος τοῦ λόγου Ἀνάστα, ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου. τίς ἡ τάξις αὕτη τοῦ λόγου; πῶς ἔχεται τοῦ ἑτέρου τὸ ἕτερον; πῶς σῴζεται καθ' εἱρμὸν ὥσπερ ἐν ἁλύσει τινὶ τὸ τῶν νοημάτων ἀκόλουθον; ἀκούει τοῦ προστάγματος, ἐνδυναμοῦται τῷ λόγῳ, ἐγείρεται, προέρχεται, πλησιάζει, καλὴ γίνεται, περιστερὰ ὀνομάζεται. πῶς γάρ ἐστι δυνατὸν καλὴν ὄψιν ἐν κατόπτρῳ γενέσθαι μὴ καλῆς τινος μορφῆς δεξαμένῳ τὴν ἔμφασιν; οὐκοῦν καὶ τὸ τῆς ἀνθρωπίνης φύσεως κάτοπτρον οὐ πρότερον ἐγένετο καλόν, ἀλλ' ὅτε τῷ καλῷ ἐπλησίασε καὶ τῇ εἰκόνι τοῦ θείου κάλλους ἐνεμορφώθη. ὥσπερ γὰρ τὸ τοῦ ὄφεως εἶχεν εἶδος ἕως ἔκειτο ἐπὶ τῆς γῆς καὶ πρὸς αὐτὸν ἀφεώρα, κατὰ τὸν αὐτὸν τρόπον ἐπειδὴ ἀνέστη καὶ τῷ ἀγαθῷ ἔδειξεν ἑαυτὴν ἀντιπρόσωπον κατὰ νώτου τὴν κακίαν ποιησαμένη, πρὸς ὃ βλέπει κατ' ἐκεῖνο καὶ σχηματίζεται·
869 M. βλέπει δὲ πρὸς τὸ ἀρχέτυπον κάλλος. διὰ τοῦτο τῷ φωτὶ προσεγγίσασα φῶς γίνεται, τῷ δὲ φωτὶ τὸ καλὸν τῆς

3 Cant 2, 10   11-13 cf Origen Comm III (IV) p 223, 22: 'nec diceret eam speciosam, nisi videret imaginem eius renovari de die in diem' (cf II Cor 4, 16); cf II Cor 3, 18;   17 cf supra p 103, 15-104, 15   18 sq cf Plotin I 6, 9; cf ex. gr. De Perf p 195, 3/4 (Vol VIII, 1 Jaeger)

ER^a ΛYS Σ PVT CN Syr 1 ἵσταται: ἀνίσταται ΣV   1-2 τοῦ φωτὸς γίνεται ΛY   3 τῷ λόγῳ Syr   ante καλή add ἡ Σ   4 μου alt om ΛYS   5 τὸ ἕτερον τοῦ ἑτέρου v   6 τὸ: τῶ C(corr C^2)   7 ἐνδυναμοῦνται C(eras ν)   8 προέρχεται YΛ(? corr $Λ^2$ in ras προσ-)SP Syr(ut vid): προσέρχεται cett v   9 ἐν om ΛYS   κατόπτω YΛ(?ut vid)   γενέσθαι: ἰδεῖν ER^aTv   10 δεξαμένῳ VTC^2(-ῳ ex -ου) Syr: δεξαμένου cett v   ἔμφυσιν C   12 ἐπλησίαζε P   13 ἐμορφώθη TC   τὸ om P   14 εἶδος εἶχεν Σ   εἶχεν om P   ἕως: ὡς E(corr E^2) ἕως οὗ Σ   post ἔκειτο add τε SΣ add τότε ΛY   15 ἀφεώρα—τρόπον om Σ(add in marg inf cum nota γρ $Σ^2$)   τῷ: τὸ Vv   ἀγαθὸν v   16 αὐτὴν N   κακίαν: σκϊαν (sic) N   17 post ποιησαμένη eras 1 litt E   18 κάλλος om P   ante διὰ add περιστερὰ δὲ τὸ κάλλος omnes praeter TCN Syr   ante διὰ add καὶ Syr   τούτω C(corr C^2)   19 ante φῶς add καὶ V

περιστερᾶς εἶδος ἐνεικονίζεται, ἐκείνης λέγω τῆς περιστερᾶς, ἧς τὸ εἶδος τὴν τοῦ ἁγίου πνεύματος παρουσίαν ἐγνώρισεν. οὕτω τοίνυν αὐτῇ προσφωνήσας ὁ λόγος καὶ ὀνομάσας αὐτὴν καλὴν μὲν διὰ τὸ πλησίον, περιστερὰν δὲ διὰ τὸ κάλλος, καὶ τὰ ἐφεξῆς διεξέρχεται οὐκέτι λέγων κρατεῖν τοῦ χειμῶνος τῶν ψυχῶν τὴν κατήφειαν· οὐ γὰρ ἀντέχει πρὸς τὴν ἀκτῖνα τὸ κρύος. Ἰδού, φησίν, ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ. πολυώνυμον ποιεῖ τὸ κακὸν κατὰ τὰς διαφορὰς τῶν ἐνεργημάτων ὀνομαζόμενον· ὁ αὐτὸς γὰρ καὶ χειμὼν καὶ ὑετὸς καὶ σταγόνες, καθ' ἕκαστον τῶν ὀνομάτων πειρασμοῦ τινος κατὰ τὸ ἰδιάζον σημαινομένου· χειμὼν λέγεται διὰ τὴν πολυειδῆ τῶν κακῶν σημασίαν· ἐν γὰρ τῷ χειμῶνι τὰ τεθηλότα μαραίνεται, τὸ ἐπὶ τῶν δένδρων κάλλος, ὃ διὰ τῶν φύλλων φυσικῶς ὡραΐζεται, ἀπορρεῖ τῶν κλάδων καὶ τῇ γῇ καταμίγνυται, σιγᾷ τῶν μουσικῶν ὀρνίθων ἡ μελῳδία, φεύγει ἡ ἀηδών, ναρκᾷ ἡ χελιδών, ἀποξενοῦται τῆς καλιᾶς ἡ τρυγών, μιμεῖται τὰ πάντα τὴν τοῦ θανάτου κατήφειαν, νεκροῦται ὁ βλαστός, ἀποθνῄσκει ἡ πόα· ὥσπερ ὀστέα σαρκῶν κεχωρισμένα οὕτως οἱ κλάδοι τῶν φύλλων γυμνωθέντες εἰδεχθὲς θέαμα γίνονται ἀντὶ τῆς

1-2 cf Luc 3, 22; Joh 1, 32; cf Origen Comm III (IV) p 223,24/5
7 Cant 2,11   10 sqq cf Origen Comm III (IV) p 228, 2/3

ER^a ΛYS Σ PVT CN Syr 1 εἶδος: κάλλος V   ἐνεικονίζετο N   2 τὴν: ἡ ΛY   παρουσία ΛY   3 λόγος: νυμφίος Syr   ante ὀνομάσας add ὁ N   4 αὐτὴν om V   περιστερα (sic) N   5 καὶ eras ut vid E   τὰ: τὸ T(corr T^2)CN   διέρχεται N   6 λειμῶνος P(sscr χ)   7 ἀκτῖναν N   τοῦ κρύους P   post ἰδοὺ add γὰρ P   ὁ χειμὼν φησὶν Σ   9 κακὸν corr e καλὸν V   ὀνομαζόμενον om Syr   10 γὰρ om P   ante καθ' add καὶ N   11 ante τῶν add διὰ V(δι corr in ras)   τῶν om C(sscr C^2)   ἰδιάζων ἐκμαινομένου R^a 12 χειμὼν—σημασίαν om v   post χειμὼν add δὲ R^aE^2ΣSyr   λέγε (sic) N   13 τῷ om N   14 ὃ: ὧ ER^aΛYSP   ὡραΐζεται: ὀνομάζεται καὶ ὡραΐζεται C   ὁρᾶται Syr(an errore interpr pro ὁραΐζεται?)   16 φεύγει: φεύγη R^a φέγγη C(ut vid, corr C^2)   17 τὰ om ER^av   18 θανάτου: χειμῶνος ΛY   19 ante ὥσπερ add καὶ R^aE^2 v Syr   ὀστᾶ ΛYS   ante σαρκῶν add τῶν v

προσούσης αὐτοῖς ἐκ τῶν βλαστῶν ἀγλαΐας. τί δ' ἄν τις λέγοι τὰ κατὰ θάλασσαν πάθη, τὰ διὰ τοῦ χειμῶνος γινόμενα, πῶς ἐκ βυθῶν ἀναστρεφομένη καὶ διοιδαίνουσα σκοπέλους καὶ ὄρη μιμεῖται πρὸς τὸ ὄρθιον σχῆμα κορυφουμένη τῷ ὕδατι, πῶς ἐφορμᾷ καθάπερ πολεμία τῇ γῇ ὑπὲρ τὰς ἠϊόνας ἑαυτὴν ἐπεκβάλλουσα καὶ ταῖς ἐπαλλήλοις τῶν κυμάτων πληγαῖς οἷόν τισι μηχανημάτων προσβολαῖς αὐτὴν κατασείουσα; ἀλλά μοι νόει τὰ τοῦ χειμῶνος πάθη ταῦτα καὶ τὰ τοιαῦτα πάντα μεταλαμβάνων εἰς τροπικὴν σημασίαν, τί ἐστιν ἐν χειμῶνι τὸ ἀπανθοῦν τε καὶ μαραινόμενον, τί τὸ εἰς γῆν ἐκ τῶν ἀκρεμόνων ἀναλυόμενον, τίς ἡ σιωπῶσα τῶν ᾠδικῶν ὀρνίθων φωνή, τίς ἡ θάλασσα ἡ ἐπωρυομένη τοῖς κύμασι, τίς ἐπὶ τούτοις ὁ ὑετός, τίνες τοῦ ὑετοῦ αἱ σταγόνες, πῶς ἑαυτῷ πορεύεται ὁ ὑετός· διὰ τούτου γὰρ τὸ ἔμψυχόν τε καὶ προαιρετικὸν τοῦ τοιούτου χειμῶνος ὑποσημαίνει τὸ αἴνιγμα. τάχα γὰρ κἂν μὴ τὰ καθ' ἕκαστον διασαφήσῃ ὁ λόγος, πρόδηλός ἐστι τῷ ἀκούοντι ἡ ἑκάστῳ τούτων ἐμφαινομένη διάνοια, πῶς τεθήλει τὸ κατ' ἀρχὰς ἡ ἀνθρωπίνη φύσις, ἕως ἐν τῷ παραδείσῳ ἦν τῷ τῆς πηγῆς ἐκείνης ὕδατι πιαινο-

3 cf supra p 81, 3 4 sqq cf Ilias 4, 422-6 5 ἠϊόνας, vox epica, cf ex. gr. Ilias 17, 265

ER^a ΛYS Σ PVT CN Syr 1 λέγη ΛYT 2 τὰ pr om P(sed sscr) γινόμενα om P 4 πρὸς: ς eras C(add C^2) κορυφουμένων τῶν ὑδάτων (vel singul) Syr 5 τὰς: τῆς P ἠϊόνας ΣVTE^2 Syr: ἰηόνας S ἠόνας R^{a}ΛY ἰόνας E ἠϊόνος P μονὰς CNv αὐτὴν ΛY 6 ὑπεκβάλλουσα TP(sed corr) ἐπεκβάλουσα N ἐκβάλλουσα ΛYS 7 ex οἷόν corr ὃν ut vid P οἵων N ἑαυτὴν V 8 ante τὰ pr add πάντα Syr 9 πάντα om T μεταβάλλων E(corr E^2)P 10 post ἐν add τῷ V ἐπανθοῦν ER^a ἀπαθοῦν P(sed sscr ν)N 11 γῆν: τὴν (sic) ΛYS τὴν γῆν τὸ P γῆν τὸ VCN ἐκ τῶν om Λ(sscr Λ^2)YS ad ἀκρεμόνων adnot in marg βλαστῶν ἢ κλάδων Λ^{2}Y^2 12 ἐπωρυομένη: super ω sscr α P ἐπωρωμένη R^a 13 κύμασι: ὕδασι v τίς: τί v 14 post διὰ spatium 2 litt S τὸ om Syr 15 τὸν τοιοῦτον χειμῶνα Syr 16 et κἂν om et post μ 6 fere litt eras C(et sscr κἂν et corr μὴ C^2) τὰ om ER^{a}Vv ἕκαστα T post ὁ add ἡμέτερος Syr 17 ἀκούσαντι v ἑκάστῳ ΛYSΣC(ut vid, corr -ου C^2)Syr: ἑκάστου cett v 18 ἐτεθήλει ER^{a}STC^2(adscr ἐ-)v ante ἡ add ἡμῖν C 19 ἐκείνω S

μένη καὶ θάλλουσα, ὅτε ἦν ἀντὶ φύλλων ὁ τῆς ἀθανασίας βλαστὸς ὡραΐζων τὴν φύσιν· ἀλλὰ τοῦ χειμῶνος τῆς παρακοῆς τὴν ῥίζαν ἀποξηράναντος ἀπετινάχθη τὸ ἄνθος καὶ εἰς γῆν ἀνελύθη, καὶ ἐγυμνώθη τοῦ κάλλους τῆς ἀθανασίας ὁ ἄνθρωπος καὶ ἡ τῶν ἀρετῶν πόα κατεξηράνθη τῆς πρὸς τὸν θεὸν ἀγάπης διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν καταψυγείσης, ὅθεν τὰ ποικίλα παθήματα τοῖς ἀντικειμένοις πνεύμασιν ἐν ἡμῖν ἐκορυφώθη, δι' ὧν τὰ πονηρὰ τῆς ψυχῆς ναυάγια γίνεται. ἀλλὰ ἐλθόντος τοῦ τὸ ἔαρ ἡμῖν τῶν ψυχῶν ἐμποιήσαντος, ὃς τοῦ πονηροῦ ἀνέμου τὴν θάλασσάν ποτε
872 M. διεγείραντος καὶ τοῖς πνεύμασιν ἐπιτιμᾷ καὶ τῇ θαλάσσῃ λέγει Σιώπα πεφίμωσο, πάντα εἰς γαλήνην καὶ νηνεμίαν μετεσκευάσθη, καὶ πάλιν ἀναθάλλειν ἄρχεται καὶ τοῖς ἰδίοις ἄνθεσιν ἡ φύσις ἡμῶν ὡραΐζεσθαι. ἄνθη δὲ τῆς ζωῆς ἡμῶν αἱ ἀρεταὶ νῦν μὲν ἀνθοῦσαι, τὸν δὲ καρπὸν αὐτῶν τῷ ἰδίῳ καιρῷ παρεχόμεναι. διὰ τοῦτό φησιν ὁ λόγος Ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ, τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς τομῆς ἔφθακεν. ὁρᾷς, φησί, τὸν

8 ναυάγια: cf I Tim 1,19; cf Origen Comm III (IV) p 226, 6 10-13 cf Marc 4, 39 14-15 cf Origen Comm III (IV) p 224, 12/3 16 Cant 2,11/2

ER^a ΛYS Σ PVT CN Syr Θ(inde a 18 ἔφθασεν) 2 βλαστὸς: καρπὸς V Syr 3 ὑποξηράναντος ΛY ἀποξηραίνοντος C καὶ om Σ 4 ἀνελύθη om Σ τοῦ om P 5 ὁ ἄνθρωπος om Syr κατεξηράνθην N 6 τὸν om PN 7 καταψυχούσης v πάθη ER^{a}Σv 7-8 τῶν ἀντικειμένων πνευμάτων Σ 8 ἀπεκορυφώθη ΛYS 8-9 ναυάγια coll ante τῆς T 9 γίνονται Σ ἡμῖν coll post ψυχῶν ΛYSΣ ἡμῶν (sic) coll post ψυχῶν ER^{a}v 10 ὃς: ὡς ΣΛ^2(ex ὃς) ποτε coll ante τὴν PT τότε ΛYSC 11 πνεύμασιν: κύμασιν T 12 σιώπα om V γαλήνην καὶ om P καὶ νηνεμίαν: καινὴν καὶ μίαν V καινὴν ER^a καὶ μίαν C(sscr εὐδίαν? ut vid C^2) ad καὶ adn in marg γρ καινὴν Σ^2 13 κατεσκευάσθη ST ἀναθάλλειν ER^{a}ΣTv Syr: ἀνατέλλειν Λ(corr Λ^2)YS om PVCN post ἄρχεται adscr in marg τὸ ἔαρ C^2 καὶ alt om V 14 ὡραΐζεσθαι PVN Syr: ὡραΐζε ··· C(4 fere litt eras, adscr ται C^2) ὡραΐζεται cett v 15 ἀνθοῦσϊν C(corr C^2)N 16 παρεχόμεναι καιρῷ ER^{a}v παρερχόμεναι N ὁ λόγος om PVCN 16-17 ὁ χειμὼν— ὑετὸς om Σ 17 ὁ ὑετὸς ἀπῆλθεν om CN 18 ante καιρὸς add ὁ VT ἔφθασεν Θ πέφθακεν TC^2(add π)

λειμῶνα τὸν διὰ τῶν ἀρετῶν ἀνθοῦντα, ὁρᾷς τὴν σωφροσύνην, τουτέστι τὸ λαμπρόν τε καὶ εὐῶδες κρίνον, ὁρᾷς τὴν αἰδῶ, τὸ ῥόδον, ὁρᾷς τὸ ἴον, τοῦ Χριστοῦ τὴν εὐωδίαν. τί οὖν οὐ στεφανηπλοκεῖς διὰ τούτων; οὗτός ἐστιν ὁ καιρός, ἐν ᾧ χρὴ δρεψάμενον τῇ πλοκῇ τῶν τοιούτων στεφάνων ἐγκαλλωπίσασθαι. ὁ καιρὸς τῆς τομῆς αὐτῶν ἔφθακεν. τοῦτό σοι διαμαρτύρεται ἡ φωνὴ τοῦ τρυγόνος, τουτέστιν ἡ φωνὴ τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἰωάννης γάρ ἐστιν ὁ τρυγὼν οὗτος, ὁ τοῦ φαιδροῦ τούτου ἔαρος πρόδρομος ὁ τὰ καλὰ τῆς ἀρετῆς ἄνθη τοῖς ἀνθρώποις δεικνύων καὶ τοῖς βουλομένοις ἀνθολογεῖν προτείνων, δι' ὧν ὑπεδείκνυε τὸ ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ ἄνθος, τὸν ἀμνὸν τοῦ θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ ὑπετίθετο τὴν ἐκ τῶν κακῶν μετάνοιαν καὶ τὴν κατ' ἀρετὴν πολιτείαν· Ἠκούσθη γάρ φησιν ἡ φωνὴ τοῦ τρυγόνος ἐν τῇ γῇ ἡμῶν. τάχα γῆν τοὺς κατεγνωσμένους ἐν κακίᾳ κατονομάζει, οὓς τελώνας τε καὶ πόρνας λέγει τὸ εὐαγγέλιον, ἐν οἷς ἠκούσθη τοῦ Ἰωάννου ὁ λόγος τῶν λοιπῶν οὐ παραδεξαμένων τὸ κήρυγμα. τὸ δὲ περὶ τῆς συκῆς εἰρημένον ὅτι Ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς οὑτωσὶ τῷ λόγῳ κατανοήσωμεν· ἑλκτικὴ τῆς ἐν τῷ βάθει νοτίδος

7-8 cf Joh 1, 23; Matth 3, 3 parall   11-12 cf Isai 11, 1   12 cf Joh 1, 29   13 cf Matth 3, 7 ∼ Luc 3, 7   14 Cant 2, 12   16 cf Matth 21, 32   19 Cant 2, 13

ER^a ΛYSΘ Σ PVT CN Syr   1 χειμῶνα Y   τὸν: τῶν Σ   δι' ἀρετῶν PTCN   2 εὐῶδες καὶ λαμπρόν τε T   τε om V   3 ὁρᾷς om ER^av   τὸ ἴον om Syr   οὐ: εἰ P   4 στεφανηπλοκεῖς E(corr η in ο E^2)SΘ: στεφανήπλοκες NC(corr ή in ο et ες in εῖς C^2) στεφανοπλοκεῖς cett v   5-6 ἐγκαλλοπίζεσθαι VT(sscr σα T^2)   6 post καιρὸς add γὰρ Σ   αὐτῶν om VCNv   ἔφθασεν Θ πέφθακε TC^2(add π)   post τοῦτο add γὰρ Syr   σοι om P   6-7 ἐπιδιαμαρτύρεται P   7 τοῦ pr: τῆς E^2(e τοῦ) R^aΘv om Σ(sscr τοῦ $Σ^2$)   8 γάρ om ER^aTv   ὁ pr: ἡ E^2 (ex ὁ)R^aΘv   οὗτος om Θ   9 τούτου coll post ἔαρος E super ἔαρος scr R^a om v   πρόδρομον Y   10 τοῖς ἀνθρώποις om PVCN   ἀνθομολογεῖν YΛ(ut vid, corr $Λ^2$)   11 ἐπεδείκνυε P   τοῦ om ΛYSΘΣT   14 κούσθη E(corr E^2)   φησιν om V   ἡ om ER^av   15 τοῦ: τῆς E^2(e τοῦ)R^aΘv   16 τε om Θ   πόρνους R^aΛYST   πόρνους τε καὶ τελώνας Σ   20 κατανοήσομεν ΘΣ   ante ἑλκτικὴ 1 litt eras C   ἐκλϊωτικὴ P   τῆς: τις E(corr E^2)

διαφερόντως ὑπὸ θερμότητός ἐστιν ἡ συκῆ, πολλῆς δὲ κατὰ τὰς ἐντεριώνας τῆς ἰκμάδος συνισταμένης ἀναγκαίως ἡ φύσις διὰ τῆς τῶν ὑγρῶν πέψεως τῆς ἐν τῷ φυτῷ γινομένης τὸ ἀχρεῖόν τε καὶ γεῶδες τῆς ἰκμάδος ἐκ τῶν ἀκρεμόνων ἀποσκευάζεται, καὶ πολλάκις τοῦτο ποιεῖ, ἕως ἂν τὸ εἰλικρινές τε καὶ τρόφιμον ἐν τῷ καθήκοντι καιρῷ προβάλῃ κεκαθαρμένον τῆς ἀχρήστου ποιότητος. τὸ τοίνυν πρὸ τοῦ γλυκέος τε καὶ τελείου καρποῦ ὑπὸ τῆς συκῆς ἐν καρπῶν εἴδει προβαλλόμενον ὄλυνθος λέγεται, ὅπερ καὶ αὐτὸ μὲν ἐδώδιμον ἔσθ' ὅτε τοῖς βουλομένοις ἐστίν. οὐ μὴν ἐκεῖνό ἐστιν ὁ καρπός, ἀλλὰ τοῦ καρποῦ προοίμιον γίνεται· ὁ ταῦτα τοίνυν θεασάμενος καὶ τὸν καρπὸν ὅσον οὐδέπω πάντως ἐκδέχεται· σημεῖον γὰρ τῶν ἐδωδίμων σύκων οἱ ὄλυνθοι γίνονται, οὓς ἐξενηνοχέναι φησὶ τὴν συκῆν. ἐπειδὴ γὰρ τὸ πνευματικὸν ἔαρ ὑπογράφει τῇ νύμφῃ ὁ λόγος, ὁ δὲ καιρὸς οὗτος μεθόριός ἐστι τῶν δύο καιρῶν, τῆς τε χειμερινῆς κατηφείας καὶ τῆς ἐν τῷ θέρει τῶν καρπῶν μετουσίας, διὰ τοῦτο τὸ μὲν παρῳχηκέναι τὰ κακὰ διαρρήδην εὐαγγελίζεται, τοὺς δὲ καρποὺς τῆς ἀρετῆς οὔπω τελείως προδεικνυσιν. ἀλλὰ τούτους μὲν ἐν τῷ καθήκοντι καιρῷ ταμιεύσεται, ὅταν ἐνστῇ τὸ θέρος (οἶδας δὲ πάντως τὸ διὰ τοῦ θέρους δηλούμενον ἐκ τῆς τοῦ κυρίου
873 M. φωνῆς, ἢ τοῦτό φησιν ὅτι Ὁ θερισμὸς συντέλεια τοῦ αἰῶνός

10-11 cf Origen Comm III (IV) p 224, 23   22 Matth 13, 39

ER^a ΛYSΘ Σ PVT CN Syr   1 ὑπὸ corr fort ex ὑπὲρ V   1-2 κατασεντερϊῶνας (sic) N   2 ad ἐντεριώνας adnot in marg τὰ ἔσω τῶν δένδρων ἤγουν αἱ καρδίαι ΛY^2 τοὺς καρδίας τῶν δένδρων Θ   τῆς om V   ἀναγκαίως om E(adscr inter col E^2)   3 φύσις ER^aPVCN$Λ^2$v Syr: ῥύσις cett   τῆς pr om E(sscr E^2)   γενομένης TCN   4 ante τῆς add διὰ V   ἐκ om P   5 ἕως: ὡς ER^aTNv   6 προβάλλῃ PCNv   7 τὸ: τοῦτο ER^aT(ut vid, sed eras τοῦ)v   γλυκέως EVv   8 καρπῶν: καρποῦ Θ   ἔνκαρπον ἤδη CP(ἐγκ.) ἐνκαρεΐδει (sic) N   9 λέγεται: γίνεται V   ἐδόδιμον μὲν N   10 ἐκεῖνος YΣTCN   11 τοίνυν ταῦτα PT   12 σημείων V   15 τῶν om ER^aPVCNv   17 τὸ om ΛYPVCN   19 τελείους S$Λ^2$(ου corr in ras)   post τελείως add φαίνεσθαι Syr   ἐν om Syr   20 ταμιεύσεται Jaeger (cf 156,1 νῦν δὲ et 15 πληρώσει et 20 νῦν): ταμιεύεται codd v   στῇ v   22 ἢ τοῦτό φησιν om PVCN   ὁ om P   ante συντέλεια add ἡ Σ   τοῦ om Matth 13, 39

ἐστιν), νῦν δὲ τὰς ἐλπίδας δείκνυσι διὰ τῶν ἀρετῶν ἀνθούσας, ὧν ὁ καρπός, καθώς φησιν ὁ προφήτης, ἐν τῷ καιρῷ τῷ ἰδίῳ προφαίνεται. τῆς τοίνυν ἀνθρωπίνης φύσεως κατὰ τὴν μνημονευθεῖσαν ἐνταῦθα συκῆν πολλὴν διὰ τοῦ νοηθέντος ἡμῖν χειμῶνος τὴν κακὴν ἰκμάδα συλλεξαμένης καλῶς ὁ τὸ ψυχικὸν ἔαρ ἡμῖν ἐργαζόμενος καὶ τῇ καθηκούσῃ γεωπονίᾳ φυτηκομῶν τὸ ἀνθρώπινον πρῶτον μὲν ἐκβάλλει τῆς φύσεως πᾶν ὅσον γεῶδες καὶ ἄχρηστον ἀντὶ ἀκρεμόνων δι' ἐξομολογήσεως ἀποσκευάζων τὰ περιττώματα, εἶθ' οὕτως χαρακτῆρά τινα τῆς ἐλπιζομένης μακαριότητος διὰ τῆς ἀστειοτέρας ζωῆς ἐπιβάλλων τῷ βίῳ οἱόν τισιν ὀλύνθοις τὴν μέλλουσαν γλυκύτητα τῶν σύκων εὐαγγελίζεται. καὶ τοῦτό ἐστι τὸ λεγόμενον ὅτι Ἡ συκῆ ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς.

Οὕτω μοι νόησον καὶ τὴν κυπρίζουσαν ἄμπελον, ἧς ὁ μὲν οἶνος ὁ τὴν καρδίαν εὐφραίνων πληρώσει ποτὲ τὸν τῆς σοφίας κρατῆρα καὶ προκείσεται τοῖς συμπόταις ἐκ τοῦ ὑψηλοῦ κηρύγματος κατ' ἐξουσίαν ἀρύεσθαι εἰς ἀγαθήν τε καὶ νηφάλιον μέθην. ἐκείνην λέγω τὴν μέθην, δι' ἧς τοῖς ἀνθρώποις ἐκ τῶν ὑλικῶν πρὸς τὸ θειότερον ἡ ἔκστασις γίνεται. νῦν μέντοι κυπρίζει διὰ τοῦ ἄνθους ἡ ἄμπελος καὶ

2-3 cf Ps 1,3 9-12 cf Origen Comm III (IV) p 228,6 15 cf Ps 103,15; cf Origen in Joh I 30 (= p 37,15-18) 16 sqq cf Prov 9,2; 5/6 18 νηφάλιον μέθην: pervulgate inde a Philone, cf ex. gr. Philo Quod omnis prob lib § 12 sq; cf H. Lewy 'Sobria ebrietas', Giessen 1929

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἐστι coll ante 155,22 τοῦ Σ τὰς om V διὰ om C 2 ὧν: ὃν C(corr C^2) προφήτης: Δαβίδ Syr 5 τὴν om ER^aΛYTv συνδεξαμένης SΘ συλλεξάμενος P(sscr γρ συλλεξαμένης) 5-6 καλῶς—καὶ om P 6 ἡμῖν ἔαρ Σ ante τῇ add ὁ P γεηπονίᾳ ΛYSΘPC(ut vid, corr C^2) 6-7 φυτοκομίᾳ γεηπονῶν T 7 φυτοκομῶν PV 9 περιπτώματα P 10 τινα om P τῶν ἐλπιζομένων μακαριοτήτων ΛYSΘ 11 ἐπιβαλὼν VTΛ(-βάλ-, sscr λ alt) 15 post οἶνος add ἐστὶν T τότε T(sed corr) 16 προσκείσεται E(sed eras σ pr) ἐμπόταις V 17 ἀρύσασθαι ER^av 18 τε om ΛYS(ut vid)Θ ἐκείνην—μέθην alt om Θ τὴν μέθην om PVCN 19 ἡ om Σ ἔκστασις ER^aSPVT Syr(ut vid, sic fere interpr: 'vocantur homines, ut veniant ...'): ἐξέτασις NC (ut vid, corr ἐπέκτασις C^2) ἔκτασις ΛYΘΣv 20 μέντοι: μέν τι V μὲν ER^aTv ἄθους N

τις ἐκδίδοται παρ' αὐτῆς ἀτμὸς εὐωδιάζων, ἡδὺς καὶ προσηνής, πρὸς τὸ περιέχον πνεῦμα κατακιρνάμενος. οἶδας δὲ τὸ πνεῦμα πάντως, ὃ τὴν εὐωδίαν ταύτην τοῖς σῳζομένοις ἐργάζεται, παρὰ τοῦ Παύλου μαθών.

Ταῦτα προδείκνυσι τῇ νύμφῃ ὁ λόγος τοῦ καλοῦ τῶν ψυχῶν ἔαρος τὰ γνωρίσματα καὶ ἐπισπεύδει πρὸς τὴν τῶν προκειμένων ἀπόλαυσιν διεγείρων αὐτὴν τῷ λόγῳ Ἀνάστα, λέγων, ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου. ὅσα δόγματα δι' ὀλίγων ἐν τοῖς ῥήμασι τούτοις ὁ λόγος ἡμῖν ὑποδείκνυσιν. οὐ γὰρ κατά τινα περιττὴν καὶ παρέλκουσαν ματαιολογίαν τοῖς αὐτοῖς ῥήμασιν ἐμφιλοχωρεῖν τὴν θεόπνευστον διδασκαλίαν ἐστὶν εἰκός, ἀλλά τι μέγα καὶ θεοπρεπὲς νόημα διὰ τῆς παλιλλογίας ἡμῖν ὑποδείκνυται. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· ἡ μακαρία καὶ ἀΐδιος καὶ πάντα νοῦν ὑπερέχουσα φύσις πάντα τὰ ὄντα ἐν ἑαυτῇ περιείργουσα ὑπ' οὐδενὸς περιέχεται ὅρου· οὐδὲν γάρ ἐστι περὶ αὐτὴν θεωρούμενον, οὐ χρόνος, οὐ τόπος, οὐ χρῶμα, οὐ σχῆμα, οὐκ εἶδος, οὐκ ὄγκος, οὐ πηλικότης, οὐ διάστημα, οὐδὲ ἄλλο τι περιγραπτικὸν ὄνομα ἢ πρᾶγμα ἢ νόημα, ἀλλὰ πᾶν τὸ περὶ αὐτὴν νοούμενον ἀγαθὸν εἰς ἄπειρόν τε καὶ ἀόριστον πρόεισιν. ὅπου γὰρ κακία χώραν οὐκ ἔχει, ἀγαθοῦ

1 sqq cf Origen Comm III (IV) p 225, 11-13 4 cf II Cor 2, 15/6 7 Cant 2, 13 15 cf Plato Resp 508 e; 509 b; Aristot Eth Eud Θ 2, p 1248 a 28/9; Arist frg e περὶ εὐχῆς: ὁ θεὸς ἢ νοῦς ἐστιν ἢ ἐπέκεινά τι τοῦ νοῦ. similia persaepe apud Platonicos inde a Plotino, cf ex. gr. Plotin I 7, 1 15-21 Ex hoc loco theologiam illam negativam posteriores Christiani praecipue hausisse viden-

ER^a ΛYSΘ Σ PVT CN Syr 1 super ἀτ(μὸς) scr ασ P post ἡδὺς add τὲ VCN 2 πρὸς: καὶ P περιέχων C(corr C^2) κατακριϊνάμενος NC(corr C^2) 5 ὁ λόγος τῇ νύμφῃ Σ 6 ἄερος C 8 λέγων coll post ἐλθέ T om R^a(sscr R^{a2}) 9 ante δι' add τοῦ V 10 περιττὴν καὶ om v 12 τί Σ 13 διὰ om V πολυλογίας PVCN 15 ὄντα coll post ἑαυτῇ E(corr E^2) αὐτῇ VN 16 περιείργουσα: περιέχουσα $R^a$$E^2$(ex -είργ-)Sv περιέρχεται N 18 οὐ σχῆμα om T ὄγγος Σ ποικϊλότης P 19 οὐδὲ: οὐκ Σ περιγραπτὸν ΘV τῶν περιγραπτικῶν ER^av ἢ πρᾶγμα om Syr ἢ νόημα om E(adscr E^2) 20 τὸ om v 21 γὰρ om PVCN κακίαν χώραν N(ν alt fort del)

πέρας ἐστὶν οὐδέν. ἐπὶ γὰρ τῆς τρεπτῆς φύσεως διὰ τὸ ἴσην ἐγκεῖσθαι τὴν δύναμιν τῇ προαιρέσει πρὸς τὴν ἐφ' ἑκάτερα τῶν ἐναντίων ῥοπὴν τό τε ἀγαθὸν τὸ ἐν ἡμῖν καὶ τὸ κακὸν ταῖς διαδοχαῖς ἀλλήλων ἐναπολήγει καὶ γίνεται τοῦ ἀγαθοῦ ὅρος ἡ ἐπιγινομένη κακία καὶ πάντα τὰ τῶν ψυχῶν ἡμῶν ἐπιτηδεύματα, ὅσα κατὰ τὸ ἐναντίον ἀλλήλοις ἀντικαθέστηκεν, εἰς ἄλληλα λήγει καὶ ὑπ' ἀλλήλων ὁρίζεται· ἡ δὲ ἁπλῆ καὶ καθαρὰ καὶ μονοειδὴς καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος φύσις ἀεὶ ὡσαύτως ἔχουσα καὶ οὐδέποτε ἑαυτῆς ἐξισταμένη διὰ τὸ ἀπαράδεκτος εἶναι τῆς πρὸς τὸ κακὸν
876 M. κοινωνίας ἀόριστος ἐν τῷ ἀγαθῷ μένει, οὐδὲν ἑαυτῆς βλέπουσα πέρας διὰ τὸ μηδὲν περὶ ἑαυτὴν τῶν ἐναντίων βλέπειν. ὅταν τοίνυν ἐφέλκηται πρὸς μετουσίαν ἑαυτῆς τὴν ἀνθρωπίνην ψυχήν, ἀεὶ τῷ ἴσῳ μέτρῳ κατὰ τὴν πρὸς τὸ κρεῖττον ὑπεροχὴν τῆς μετεχούσης ὑπερανέστηκεν· ἡ μὲν γὰρ ψυχὴ μείζων ἑαυτῆς πάντοτε διὰ τῆς τοῦ ὑπερέχοντος μετουσίας γίνεται καὶ αὐξομένη οὐχ ἵσταται, τὸ δὲ μετεχόμενον ἀγαθὸν ἐν ἴσῳ μένει ὡσαύτως ὑπὸ τῆς ἐπὶ πλεῖον ἀεὶ μετεχούσης ἐν ἴσῃ πάντοτε τῇ ὑπεροχῇ εὑρισκόμενον. ὁρῶμεν τοίνυν ὥσπερ ἐν βαθμῶν ἀναβάσει χειραγωγουμένην διὰ τῶν τῆς ἀρετῆς ἀνόδων ἐπὶ τὰ ὕψη παρὰ τοῦ λόγου τὴν νύμφην, ᾗ ἐνίησι

tur. cf ex. gr. Dionysium qui dicitur Areopag De div nom cap 7; Theolog myst cap 4/5. alios locos invenies apud Diekamp: 'Die Gotteslehre des hl. Gregor von Nyssa' p 187 sqq 158, 13-19 cf ex. gr. De Perf p 194,11 sqq (Vol VIII, 1 Jaeger)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 γὰρ: δε Σ στρεπτῆς R^a τρεπτικῆς v 2 ἴσον Y τὴν pr om Θ ἐφ': ἀφ' R^{a}Θ 3 ῥοπὴν om V 5 ἐπιγενομένη T 9 ἀναλύοτος Σ οὔποτε Σ 10 ἀπαράδεκτον ΣTN 11 οὐδὲν ἑαυτῆς: οὐδὲν ἐν ἑαυτῇ PC οὐδὲν ἐν αὐτῇ VN (sscr ἑ) οὐδὲ αὐτῆς v οὐ Syr βλέπουσα: δεχομένη Syr 12 ante περὶ add τῶν V αὐτὴν YΣT περὶ ἑαυτὴν om v 13 ἐφέλκεται VNC (ut vid, corr C^2) 14 ψυχήν: φύσιν E (corr E^2) T κατὰ om Λ (sscr Λ^2) Y πρός: ἐς v 15 μετεχούσης: μετουσίας T ἑαυτῆς οὐσίας Syr μείζονα R^a 16 αὐτῆς v πάντοτε om P 17 αὐξουμένη VC αὐξανομένη ER^{a}v οὐχ ἵσταται om CN 18 μένη Σ μένην C (corr C^2) πλείονα P ἀεί: αὐτῆι Θ om V ἐχούσης V ἐν ἴσῃ om ΛY 19 ὥσπερ: σ eras C^2 (add C^3) 20 βαθμῷ VN χειραγωγούμενον C (corr C^2) 21 ὑψηλὰ T λόγου: νυμφίου Syr ᾗ ER^{a}TΛ^{2}C^2: ἣν v om cett Syr ἄνεισι Syr

πρῶτον διὰ τῶν προφητικῶν θυρίδων καὶ τῶν δικτυωτῶν τοῦ νόμου παραγγελμάτων τὴν ἀκτῖνα ὁ λόγος καὶ προσκαλεῖται αὐτὴν ἐγγίσαι τῷ φωτὶ καὶ καλὴν γενέσθαι πρὸς τὸ εἶδος τῆς περιστερᾶς ἐν τῷ φωτὶ μορφωθεῖσαν. εἶτα μετασχοῦσαν τῶν καλῶν ὅσον ἐχώρησε πάλιν ἐξ ὑπαρχῆς ὡς ἔτι τῶν καλῶν οὖσαν ἀμέτοχον πρὸς τὴν τοῦ ὑπερκειμένου κάλλους μετουσίαν ἐφέλκεται, ὥστε αὐτῇ κατὰ τὴν ἀναλογίαν τῆς προκοπῆς πρὸς τὸ ἀεὶ προφαινόμενον καὶ τὴν ἐπιθυμίαν συναύξεσθαι καὶ διὰ τὴν ὑπερβολὴν τῶν πάντοτε κατὰ τὸ ὑπερκείμενον εὑρισκομένων ἀγαθῶν πρώτως ἅπτεσθαι τῆς ἀνόδου δοκεῖν. διὰ τοῦτό φησι πάλιν πρὸς τὴν ἐγηγερμένην ὅτι Ἀνάστηθι καὶ πρὸς τὴν ἐλθοῦσαν ὅτι Ἐλθέ· οὔτε γὰρ τῷ οὕτως ἀνισταμένῳ λείψει ποτὲ τὸ ἀεὶ ἀνίστασθαι οὔτε τῷ τρέχοντι πρὸς τὸν κύριον ἡ πρὸς τὸν θεῖον δρόμον εὐρυχωρία δαπανηθήσεται. ἀεί τε γὰρ ἐγείρεσθαι χρὴ καὶ μηδέποτε διὰ τοῦ δρόμου προσεγγίζοντας παύεσθαι. ὥστε ὁσάκις ἂν λέγῃ τὸ Ἀνάστηθι καὶ τὸ Ἐλθέ, τοσαυτάκις τῆς πρὸς τὸ κρεῖττον ἀναβάσεως τὴν δύναμιν δίδωσιν. οὕτω νόει καὶ τὰ

14 cf I Cor 9, 24-26; Gal 5,7; Hebr 12,1; II Tim 4,7; Act 20,24

ER^a ΛYSΘ Σ PVT CN Syr 1 προφητῶν v δικτυωτῶν T Syr: δικτύων τῶν cett v 2 post λόγος 7 fere litt eras T 2-3 προσκαλεῖτ' v 3 αὐτὴν om T ἐγγίσαι τῷ φωτὶ καί: εἶτα καὶ τῇ φωνῇ ΛYSΘ τῷ om v καὶ om N καλὴ P 3-4 πρὸς—περιστερᾶς: καὶ περιστερὰν γενέσθαι Syr (interpr) 4-5 μετασχοῦσα Y 5 ἐχώρισε VC (corr C^2) ἀπαρχῆς P ὑπεραρχῆς C (ut vid, eras ερ) ὑπεροχῆς Λ (corr Λ^2) YSΘΣ ἐξ ὑπαρχῆς om Syr ἔτι: ὅτι Λ (corr Λ^2) YSΘ 6 ante πρὸς add οὕτω Syr τὴν om v ὑποκειμένου PCN om V 7 αὐτὴ YVN αὐτὴν P 8 πρὸς om N καὶ om Syr 9 συναυξάνεσθα ΘΣV συνεύξασθαι N post πάντοτε add ὑπερκειμένων ἀγαθῶν Θ (sed exp) 10 εὑρισκομένην Y πρῶτος P 11 δοκεῖ P 12 ante ὅτι pr add ὁ λόγος R^{a}E^2 (adscr inter col) Σv ὅτι pr om PVCN ὅτι alt om P 13 τῷ pr: τὸ C (corr C^2) et τῶν et ἀνισταμένων P ὅυτως (sic) C ὄντως Nv τὸ om v 14 τὸν pr om Σ 16 διὰ om ΛYSΘ προσεγγίζουσαν Σ παύσασθαι ER^{a}v ὥστε: ὡς v 17 ἂν om Σ λέγει Σv θέλει λέγειν C (corr θέλῃ C^2) τὸ alt om Σ τοσάκις v τῆς om Y 18 τὴν—καί: ἔχεσθαι προτρέπεται P om VCN

ἐφεξῆς τῷ λόγῳ προσκείμενα· ὁ γὰρ καλὴν ἐκ καλῆς γενέσθαι κελεύων τὸ ἀποστολικὸν ἄντικρυς ὑποτίθεται τὴν αὐτὴν εἰκόνα προστάσσων ἀπὸ δόξης εἰς δόξαν μεταμορφοῦσθαι, ὡς πάντοτε δόξαν εἶναι τὸ λαμβανόμενον καὶ τὸ ἀεὶ εὑρισκόμενον, κἂν ὅτι μάλιστα μέγα τε καὶ ὑψηλὸν ᾖ, μικρότερον εἶναι τοῦ ἐλπιζομένου πιστεύεσθαι. οὕτω τοίνυν περιστερὰν οὖσαν ἐν τοῖς προκατωρθωμένοις οὐδὲν ἧττον περιστερὰν αὐτὴν πάλιν διὰ τῆς πρὸς τὸ κρεῖττον μεταμορφώσεως γενέσθαι διακελεύεται καί, εἰ τοῦτο γένοιτο, τὸ ὑπὲρ τοῦτο πάλιν ὁ λόγος καθεξῆς διὰ τοῦ ὀνόματος ὑποδείξει· λέγει γὰρ Δεῦρο σεαυτῇ, περιστερά μου, ἐν σκέπῃ τῆς πέτρας ἐχόμενα τοῦ προτειχίσματος. τίς οὖν ἡ πρὸς τὸ τέλειον ἄνοδος, ἥτις τοῖς νῦν εἰρημένοις ἐμφαίνεται; τὸ μηκέτι πρὸς τὴν τῶν ἐφελκομένων βλέπειν σπουδήν, ἀλλ' ὁδηγὸν πρὸς τὸ κρεῖττον τὴν ἰδίαν ἐπιθυμίαν ἔχειν. Δεῦρο, γάρ φησι, σεαυτῇ, μὴ ἐκ λύπης μηδὲ ἐξ ἀνάγκης, ἀλλὰ σεαυτῇ, τοῖς ἰδίοις λογισμοῖς τὴν ἐπιθυμίαν πρὸς τὸ
877 M. καλὸν ἐπιρρώσασα, οὐκ ἀνάγκης καθηγουμένης· ἀδέσποτον

2-3 cf II Cor 3, 18 10 Cant 2, 14 16 ad virtutem Aristotelicam σωφροσύνην spectare videtur cf ex. gr. Nic Eth H 8, p 1150 a 26 17-161,1 cf De hom opif p 184 B (Migne)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 προκείμενα ER^{a}ΘPVTΛ^2(eras -σ-) v τοῦ λόγου (sic) coll post προκείμενα v 1-2 κελεύων γενέσθαι PVCN 2 αὐτὴν om P 4 τὸ pr om v μεταλαμβανόμενον Σ καταλαμβανόμενον T καὶ τὸ ἀεὶ εὑρισκόμενον om Σ ἀεὶ: μετὰ τοῦτο Syr 5 κἂν: καὶ C post κἂν add γὰρ Syr τε: τι ER^{a}Tv ᾖ PVT: om E(sscr ᾖ E^2) ἢ cett v εἶναι δοκῇ, χρὴ (vel δεῖ) Syr μακρότερον Λ(corr Λ^2)YSΘ 6 πιστεύηται S πιστεύεται R^{a}E^2(ex -εσθαι)Θv 7 προκατορθωμένοις Σ προκατορθουμένοις PVCN πάλιν om P 8 διακελεύεται om C 9 γένηται VCN τὸ: τὰ Σ τοῦτο alt corr in τούτου P πάλιν coll ante τὸ T 11 ἐχομένη Θ^2(ex ἐχόμενα)v 'iuxta' (id est ἐχόμενα) Origen Comm III (IV) p 228, 22, cf p 233, 26 12 ἥτις: ἢ τίς TN et τῆς et εἰρημένης Λ(corr Λ^2)Y νῦν: συν Σ 14 ὁδηγῶν C (corr C^2) 15 γάρ om P ἑαυτῇ N μηδὲ: ἢ ER^{a}v 15-16 ἔχειν—ἐπιθυμίαν om Y μὴ—σεαυτῇ om Λ(add in marg Λ^2)SΘ et fort Syr (sed 15-p 161,1 ἑκούσιον longius quam rectius circumscripsit) 16 προθυμίαν R^{a}E^2(ex ἐπι-)ΛSΘΣTv 16-17 τὴν ἐπιθυμίαν coll post καλὸν CN ἐν τῷ καλῷ v 17 ἐπιρρώσασθαι T καθηγουμένοις R^a

γὰρ ἡ ἀρετὴ καὶ ἑκούσιον καὶ ἀνάγκης πάσης ἐλεύθερον. τοιοῦτος ἦν ὁ Δαβὶδ ὁ τὰ ἑκούσια μόνα τῶν παρ' αὐτοῦ γινομένων εὐδοκηθῆναι τῷ θεῷ προσευχόμενος καὶ ἑκουσίως θύειν ἐπαγγελλόμενος· τοιοῦτος ἕκαστος τῶν ἁγίων ἑαυτὸν τῷ θεῷ προσάγων, οὐκ ἐξ ἀνάγκης ἀγόμενος, καὶ σὺ τοίνυν δεῖξον τὴν τελείαν κατάστασιν ἐν τῷ σεαυτῇ τῆς πρὸς τὸ κρεῖττον ἀνόδου τὴν ἐπιθυμίαν λαβεῖν. τοιαύτη δὲ γενομένη, φησίν, ἥξεις ἐπὶ τὴν σκέπην τῆς πέτρας ἐχόμενα τοῦ προτειχίσματος. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν (χρὴ γὰρ μεταβαλεῖν τὸν λόγον ἀπὸ τῶν αἰνιγμάτων πρὸς τὸ σαφέστερον)· μία σκέπη τῆς ἀνθρωπίνης ἐστὶ ψυχῆς τὸ ὑψηλὸν εὐαγγέλιον, ἐν ᾧ ὁ γενόμενος τῆς σκιοειδοῦς διδασκαλίας διὰ τῶν τυπικῶν τε καὶ συμβολικῶν νοημάτων οὐκέτι προσδέεται φανερούσης τῆς ἀληθείας τὰ κεκαλυμμένα τῶν προσταγμάτων αἰνίγματα· πέτραν δὲ τὴν εὐαγγελικὴν ὀνομάζεσθαι χάριν οὐδεὶς ἂν ἀντείποι τῶν ὁπωσοῦν μετεχόντων τῆς πίστεως· πολλαχόθεν γάρ ἔστιν ἐκ τῆς γραφῆς τοῦτο μαθεῖν τὸ πέτραν εἶναι τὸ εὐαγγέλιον. τὸ τοίνυν λεγόμενον τοιοῦτόν ἐστι· εἰ ἐνεγυμνάσθης, ὦ ψυχή, τῷ νόμῳ, εἰ τὰς διὰ τῶν προφητικῶν θυρίδων αὐγὰς τῇ διανοίᾳ τεθέασαι, μηκέτι ὑπὸ τὴν τοῦ νομικοῦ

1 cf Aristot Nic Eth Γ 7, p 1113 b 3 sqq~Eud Eth B 6, p 1222 b 14 sqq nec non Stoicos; cf Origen Comm III (IV) p 227,7 sqq 2-3 cf Ps 118, 108 3-4 cf Ps 53, 8 12-14 cf II Cor 3, 7-18 15 cf I Cor 10, 4; cf Matth 7, 24~Luc 6, 48; cf Origen Comm III (IV) p 230, 14/5 17 praeter ad loc laud NT Gregorius ad locos Vet Test allegorice explicatos spectare videtur, ex. gr. Deut 32, 13; Ps 26, 5; Ps 39, 3 (cf Origen Comm III (IV) p 231, 2 sqq) 19-20 cf supra p 145, 3/4

ER^a ΛYSΘ Σ PVT CN Syr 2 ὁ pr om ER^{a}ΣVTNv αὐτῷ E αὐτῶν R^a 4 θύσειν (secundum LXX) V 5 προσαγόμενος ΛYSΘ 6 ἐν om ER^{a}v τῷ: τοῦ v σεαυτὴν T τῆς: τῇ Λ(corr Λ^2)Y 7 ἄνοδον Θ 8 ἥξεις: ἐξῆς ΛYSΘ τὴν πέτραν τῆς σκέπης N ἐχόμενα ΛYSΘΣC^2(ex ἐχομένη) Syr: ἐχομένη ER^{a}PV(add ν post η V^2)CNv δεχομένη T 8-9 τοῦ—μεταβαλεῖν om T 9 μεταβάλλειν v μεταλαβεῖν YΛ(ut vid, corr -βαλεῖν Λ^2)SN 11 ἐστὶ om ΛYSΘ ψυχῆς: φύσεως Σ 12 σκιώδους ΛYTv 13 προδέεται V 15 ἀγγελικὴν Λ(corr Λ^2)Y(corr Y^2) ὀνομάζει N ἂν om ΛYΘVv 17 τὸ alt om v 18 εἰ om Syr 18-19 ἐνεγυμνάσθη C(corr C^2) 19 εἰ τὰς om N εἶτα Syr 20-162,1 τῶν νομικῶν τοίχων Θ

τοίχου σκιὰν μένε (σκιὰν γὰρ ὁ τοῖχος ποιεῖ τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων), ἀλλ' ἐπὶ τὴν πέτραν ἐκ τοῦ σύνεγγυς ἀπὸ τοῦ τοίχου μετάβηθι· ἔχεται γὰρ ἡ πέτρα τοῦ προτειχίσματος, ἐπειδὴ τῆς εὐαγγελικῆς πίστεως ὁ νόμος προτείχισμα γέγονε, καὶ ἔχεται ἀλλήλων τὰ δόγματα γειτνιῶντα κατὰ τὴν δύναμιν. τί γὰρ ἐγγύτερον τοῦ Μὴ μοιχεῦσαι τῷ Μὴ ἐπιθυμῆσαι καὶ τοῦ καθαρεύειν ἀπὸ φόνου τῷ μηδὲ ὀργῇ τὴν καρδίαν μολύνεσθαι; ἐπεὶ οὖν ἔχεται τοῦ προτειχίσματος ἡ σκέπη τῆς πέτρας, ἀδιάστατός ἐστί σοι ἡ ἀπὸ τοῦ τοίχου ἐπὶ τὴν πέτραν μετάστασις· περιτομὴ ἐν τῷ τοίχῳ καὶ περιτομὴ ἐν τῇ πέτρᾳ, πρόβατον καὶ πρόβατον, αἷμα καὶ αἷμα, πάσχα καὶ πάσχα, καὶ πάντα σχεδὸν τὰ αὐτὰ καὶ διὰ τῶν αὐτῶν ἀλλήλων ἐχόμενα, πλὴν ὅσον πνευματικὴ μὲν ἡ πέτρα, χοϊκὸς δὲ ὁ τοῖχος, ᾧ συναναπέπλασται τὸ σωματικὸν καὶ γεῶδες. ἡ δὲ εὐαγγελικὴ πέτρα τὸν σαρκώδη τῶν νοημάτων πηλὸν οὐκ ἔχει (ἀλλὰ καὶ περιτομὴν λαμβάνει ὁ ἄνθρωπος καὶ ὅλος ὑγιὴς μένει μηδεμιᾶς λώβης ἀκρωτηριαζούσης τὸ πλάσμα τῆς φύσεως καὶ φυλάσσει ἐν τῇ τῶν κακῶν ἀπραξίᾳ τὸ σάββατον καὶ τὴν πρὸς τὸ καλὸν ἀργίαν οὐ καταδέχεται

1-2 cf Hebr 10, 1; cf Plato Resp 514 b sqq 7 Exod 20, 13; Deut 5, 17; Matth 5, 28; cf Rom 7, 7/8 8 Exod 20, 15; Deut 5, 18; Matth 5, 22 11 cf Rom 2, 25-29 12 cf Act 8, 32 (Isai 53, 7); αἷμα: cf ex. gr. Hebr 9, 18 sqq; πάσχα: cf I Cor 5, 7 14 cf I Cor 10, 4; χοϊκὸς: cf I Cor 15, 47/8 17 cf Rom 2, 28/9

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 τοίχου: τοίχους N τοῖχος: τεῖχος R^{a} 7 τοῦ pr: τῷ Λ^{2} (corr e τοῦ) μὴ pr om S τῷ Syr: τοῦ P fort recte, de Λ et Λ^{2} non liquet τὸ cett v τοῦ alt: τὸ Λ (corr Λ^{2} τῶ) YΘC (corr C^{2}) N 8 τῷ Syr: τὸ codd v ante ὀργῇ add τῇ ΛYS τὴν ὀργὴν ἐν τῇ καρδίᾳ Θ μολύνεσθαι: ἔχειν Θ 10 ἐστί: ἔσται ER^{a} ἔστω Y (corr ex ἔστι, ut vid) ἐπὶ Θ τείχους P (sed corr ει in οι) ante ἐπὶ add ἡ N πέτραν om Λ (add Λ^{2}) Y 10-11 μετάστασιν Λ (corr Λ^{2}) Y 13 αὐτῶν om Y 14 ὅσον: ὡς ἐν NC (ut vid, corr C^{2}) δὲ: μὲν N 15 ᾧ: ὡς YΛ (corr Λ^{2}) συναπέπλασται Θ (corr Θ^{2}) καὶ om v 16 post εὐαγγελικὴ add πνευματικὴ ΛYSΘ σπηλὸν Σ 17 καὶ pr om C (add C vel C^{2}) ὁ om PVTCN 18 διαμένει Σ 19 φυλάττει Σ τῶν om P 20 τὴν om PCN οὐ om C (adscr C^{2}) παραδέχεται ER^{a}Pv

μαθὼν ὅτι Ἔξεστι τῷ σαββάτῳ καλὸν ποιεῖν, καὶ ἀδιάκριτον ποιεῖται τῆς τροφῆς τὴν μετουσίαν καὶ ἀκαθάρτου οὐχ ἅπτεται· οὐδὲν γὰρ τῶν εἰσερχομένων διὰ τοῦ στόματος κοινὸν εἶναι παρὰ τῆς πέτρας παιδεύεται), ἀλλὰ διὰ πάντων τὰς σωματικὰς τοῦ νόμου παρατηρήσεις ἀπωσαμένη πρὸς τὸ πνευματικόν τε καὶ νοητὸν μεταλαμβάνει τῶν ῥημάτων τὴν διάνοιαν, οὕτως εἰπόντος τοῦ Παύλου ὅτι Ὁ νόμος πνευματικός ἐστιν. ὁ γὰρ οὕτως ἐκλαβὼν τὸν νόμον ὑπὸ τὴν σκέπην τῆς εὐαγγελικῆς γίνεται πέτρας τὴν ἐχομένην τοῦ σωματικοῦ προτειχίσματος.

880 M. Ταῦτα τοῦ λόγου διὰ τῶν θυρίδων αὐτῇ ἐμβοήσαντος καλῶς ἀποκρίνεται ἡ περιστερὰ ἡ περιλαμφθεῖσα διὰ τῆς τῶν νοημάτων αὐγῆς καὶ τὴν πέτραν νοήσασα, ἥτις ἐστὶν ὁ Χριστός· λέγει γὰρ Δεῖξόν μοι τὴν ὄψιν σου καὶ ἀκούτισόν με τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι· μηκέτι μοι διαλέγου διὰ τῶν προφητικῶν τε καὶ νομικῶν αἰνιγμάτων, ἀλλ' ὡς ἰδεῖν δύναμαι, οὕτω μοι δεῖξον σαυτὸν ἐμφανῶς, ἵνα ἐντὸς γένωμαι τῆς εὐαγγελικῆς πέτρας καταλιποῦσα τὸ τοῦ νόμου προτείχισμα, καὶ ὡς χωρεῖ ἡ ἀκοή μου, οὕτω δὸς τὴν φωνήν σου ἐν τοῖς ὠσί μου γενέσθαι· εἰ γὰρ ἡ διὰ

1 Matth 12, 12 parallel; secundum Tatiani Διὰ τεσσάρων ut vid (cf Tat Diat aus d. Arab übers von Preuschen VII, 53 = p 85) 3-4 cf Matth 15, 11 7 Rom 7, 14 14-16 Cant 2, 14

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 ἐξέσται CNV (ut vid, corr V^{2}) καλοποιεῖν PVCN διάκριτον R^{a} 2 τὴν om P 3 ἅπτεσθαι Θ οὐδὲν: οὐδὲ Θ τοῦ ER^{a}ΣCNv: om cett 5 παρωσαμένη Θ ἀποθεμένη ER^{a}v 6 πνευματικόν: ἀσώματόν PVCN ῥητῶν PVCN 8 οὕτως: ὄντως v ἐκβαλὼν Nv 9 εὐαγγελι(κῆς) corr in ras E^{2} 11 post ταῦτα et add et eras διὰ C λόγου: νυμφίου Syr 12 ante περιστερὰ add χαρίεσσα Syr 12-13 διὰ τῶν τῶν φωνῶν αὐτοῦ ἀκτίνων Syr 13 αὐγῆς: αὐχῆς (sic) N νοήσασαν Y (sed eras ν) ἥτι R^{a} 14 post γὰρ add ὅτι Σv 15 με: μοι Σv 16 ἡ om v ὡραία om P (sed marg adscr) δὲ om P 17 διαλέγου coll post αἰνιγμάτων ΛYSΘ διαλέγει P (sed corr) αἰνιγμάτων: διδαγμάτων Θ (in marg var lect αἰνιγμάτων Θ^{2}) T (? fort, sed corr in ras) 18 σεαυτὸν Σ αὐτὸν N 19 γένομαι V γίνομαι P 20 τὸ om Λ (sscr Λ^{2}) Y (sed sscr) 21 εἰ γὰρ ἡ: ἡ γὰρ N

τῶν θυρίδων φωνὴ τοσοῦτόν ἐστιν ἡδεῖα, πολὺ μᾶλλον ἡ κατὰ πρόσωπόν σου ἐμφάνεια τὸ ἐράσμιον ἕξει. ταῦτα λέγει ἡ νύμφη νοήσασα τὸ κατὰ τὴν εὐαγγελικὴν πέτραν μυστήριον, εἰς ὅπερ αὐτὴν ὁ πολυμερῶς καὶ πολυτρόπως ἐν ταῖς θυρίσι γενόμενος λόγος ἐχειραγώγησε, καὶ ἐν ἐπιθυμίᾳ γίνεται τῆς διὰ σαρκὸς θεοφανείας, ὥστε τὸν λόγον γενέσθαι σάρκα καὶ τὸν θεὸν ἐν σαρκὶ φανερωθῆναι καὶ παραθέσθαι ταῖς ἀκοαῖς ἡμῶν τὰς θείας φωνὰς τὰς ἐπαγγελλομένας τοῖς ἀξίοις τὴν αἰωνίαν μακαριότητα. πῶς συμβαίνουσι τῇ εὐχῇ τῆς νύμφης αἱ τοῦ Συμεῶνος φωναί, ὅς φησι Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου; εἶδε γὰρ ἐκεῖνος, ὡς ἰδεῖν ἐπεπόθησεν αὐτή. τὴν δὲ φωνὴν αὐτοῦ τὴν ἡδεῖαν οἱ δεξάμενοι τοῦ εὐαγγελίου τὴν χάριν ἐπιγινώσκουσιν οἱ εἰπόντες ὅτι Ῥήματα ζωῆς αἰωνίου ἔχεις.

Διὰ ταῦτα δέχεται τὴν εὐχὴν τῆς νύμφης δικαίαν οὖσαν ὁ καθαρὸς νυμφίος καὶ μέλλων δεικνύειν ἑαυτὸν ἐμφανῶς πρῶτον τοὺς θηρευτὰς παρορμᾷ πρὸς τὴν ἄγραν τῶν ἀλωπέκων, ὡς μηκέτι τὸν ἀμπελῶνα δι' αὐτῶν πρὸς τὸν κυπρισμὸν ἐμποδίζεσθαι, λέγων Πιάσατε ἡμῖν ἀλώπεκας, μικροὺς μὲν ὄντας, ἀφανιστικοὺς δὲ τῶν ἀμπελώνων· ἀνθήσουσι

4 cf Hebr 1, 1 6 cf Joh 1, 14 7 cf I Tim 3,16 10-12 Luc 2, 29/30 13-14 cf II Cor 6, 1 15 Joh 6, 68

ER^a ΛYSΘ Σ PVT CN Syr 1 φωνή: αὐγὴ ΛYSΘ post φωνή add σου Syr ἐστιν om Θ πολλῷ ΣN post κατὰ add τὸ P 3 νοήσασα: ποθήσασα Syr 4 αὐτὴν coll post πολυμερῶς Σ 5 λόγος om E(adscr E^2) γεγένηται ER^av 6 ὥστε: καὶ εὔχεται Syr γίνεσθαι T καὶ om N 9 αἰώνιον ER^aPTv ante πῶς add ὅρα δὲ Syr post πῶς add δὲ E^2R^av 10 αἱ om C (add C^2) ὅς: ὡς SΘ ἅς TC^2(ex ὡς ut vid) ἀπολύεις νῦν v 11 δέσποτα om CN 12 μου: σου P εἶδε: ἴδε EC(corr C^2)v ὡς: ὅ τι Syr 13 ἐπόθησεν ΛYSΘTN ἐπεθύμησεν V αὐτη om Σ Syr αὐτὴν PCN post οἱ add δὲ P 15 ῥήματι P 16 ταῦτα: τοῦτο S ante τὴν add καὶ Syr τὴν om v εὐχὴν: φωνὴν S(scil e coni) νύμφης: εὐχῆς YΛ(?, eras et corr $Λ^2$)SΘ δικαίας οὔσης Θ 17 post νυμφίος et add et exp καὶ μέλλων δεικνύειν ἑαυτὸν ἐμφανῶς πρῶτον ὁ καθαρὸς νυμφίος Y 18 θηρεύοντας C 21 ἀνθοῦσι Σ

γὰρ αἱ ἄμπελοι, εἰ μηκέτι εἴη τὰ λυμαινόμενα. Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας, καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν. ἆρ' ἐστι δυνατὸν κατ' ἀξίαν ἐφικέσθαι τῆς μεγαλοφυΐας τῶν νοημάτων; ὅσον θαῦμα τῆς θείας μεγαλειότητος περιέχει ὁ λόγος, ὅσην ἐμφαίνει τῆς δυνάμεως τοῦ θεοῦ τὴν ὑπερβολὴν ἡ τῶν εἰρημένων διάνοια. πῶς ἐκεῖνος, περὶ οὗ τὰ τηλικαῦτα λέγεται, ὁ ἀνθρωποκτόνος, ὁ ἐν κακίᾳ δυνατός, οὗ ἡ γλῶσσα ὡσεὶ ξυρὸν ἠκονημένον, περὶ οὗ φησιν ὁ προφήτης ὅτι Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς, καὶ Ἐνεδρεύει ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ, ὁ δράκων ὁ μέγας, ὁ ἀποστάτης, ὁ ᾅδης ὁ πλατύνων τὸ στόμα αὐτοῦ, ὁ κοσμοκράτωρ τῆς ἐξουσίας τοῦ σκότους, ὁ ἔχων τοῦ θανάτου τὸ κράτος, καὶ ὅσα ἐκ προσώπου αὐτοῦ διηγεῖται ἡ προφητεία, ὁ ἀφαιρούμενος ὅρια ἐθνῶν ἃ ἔστησε (δηλονότι ὁ ὕψιστος) κατ' ἀριθμὸν ἀγγέλων αὐτοῦ, ὁ καταλαμβάνων τὴν οἰκουμένην ὡς
881 M. νοσσιὰν καὶ ὡς καταλελειμμένα ᾠὰ αἴρων αὐτήν, ὁ λέγων τιθέναι ἐπάνω τῶν νεφελῶν τὸν θρόνον αὐτοῦ καὶ ὅμοιος γίνεσθαι τῷ ὑψίστῳ, καὶ ὅσα ἐν τῷ Ἰὼβ ὁ λόγος περὶ

1 Cant 2, 15 7 cf Joh 8, 44 8 cf Ps 51, 3/4 9 Ps 119, 4 10 Ps 9, 30 11 cf Ezech 29, 3 (ὁ δράκων ὁ μέγας) 11-12 cf Isai 5, 14 12 cf Eph 6, 12 13 cf Hebr 2, 14 14-17 cf Isai 10, 13/14 14-16 cf Deut 32, 8 18-19 cf Isai 14, 13/14

ER^a ΛYSΘ Σ PVT CN Syr 1 εἰ: ἡ C(corr C^2) λοιμαινόμενα E (sed corr)VC(corr C^2) 1-3 πιάσατε—κυπρίζουσιν om V seclusit Jaeger de p 168, 4-5 sumpta et hic adscripta existimans 2 post ἡμῖν add γάρ φησιν Syr ἀλωπέκους T ante ἀμπελῶνας add τοὺς v 5 ὅσην ER^aΣPTv Syr: ἣν cett(corr οἷαν $Λ^2$, ἵν' C^2) 8 οὗ: ὧ T 9 περὶ—ὅτι: οὗ Syr ὁ προφήτης om ER^a ὅτι om v 10 ἐρημικοῖς: ἐρημένοις P(sed corr) καὶ om V ἐνεδρεύσει P 11 αὐτοῦ om V post αὐτοῦ eras 3 vel 4 litt E μέγας: ἀνήμερος ER^a ὁ tert: καὶ Syr 13 τοῦ pr: τοῦς N ἐκ: ἀπὸ T 14 ὁ προφήτης V super (ἀφαι)ρού(μενος) sscr μεν P 15 post ἃ add δὲ V ὕψιστος: κύριος Θ 16 ἀγγέλων: ἀλλήλων v ὁ: καὶ Syr 17 καταλελειμένα ΛSVv ante αἴρων add ὁ C(eras) αὐτήν SP$Λ^2$(-ήν corr in ras) Syr: αὐτά cett v non habet Isai 10, 14 18 τιθέναι coll post νεφελῶν ΛY 19 γίνεσθαι ER^aVTCv: γενέσθαι cett ante τῷ pr add ἐν N τοῦ ὑψίστου ΛY

αὐτοῦ διεξέρχεται τὰ φοβερὰ καὶ φρικώδη, οὗ χαλκαῖ μὲν αἱ πλευραί, σίδηρος δὲ χυτὸς ἡ ῥάχις, ἔγκατα δὲ αὐτοῦ σμιρίτης λίθος, καὶ πάντα τὰ τοιαῦτα, δι' ὧν τὴν φοβερὰν φύσιν ἐκείνην ὑπογράφει ὁ λόγος; οὗτος οὖν ὁ τοσοῦτος καὶ τοιοῦτος, ὁ στρατηγὸς τῶν ἐν τοῖς δαίμοσι λεγεώνων, πῶς ὀνομάζεται παρὰ τῆς ἀληθινῆς τε καὶ μόνης δυνάμεως; μικρὸν ἀλωπέκιον. καὶ οἱ περὶ αὐτὸν πάντες, ἡ ὑποχείριος αὐτῷ στρατιά, πάντες κατὰ τὸ ἴσον ἐξευτελισθέντες κατονομάζονται παρὰ τοῦ παρορμῶντος πρὸς τὴν κατ' αὐτῶν ἄγραν τοὺς θηρευτάς. εἶεν δ' ἂν οὗτοι τάχα μὲν αἱ ἀγγελικαὶ δυνάμεις αἱ τῆς δεσποτικῆς παρουσίας ἐπὶ τὴν γῆν προπομπεύουσαι καὶ τὸν βασιλέα τῆς δόξης ἐντὸς τοῦ βίου παράγουσαι, αἱ τοῖς ἀγνοοῦσιν ὑποδεικνύουσαι, Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης, ὁ κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ, ἴσως δ' ἄν τις εἴποι καὶ τὰ Λειτουργικὰ πνεύματα τὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, τάχα δὲ θηρευτὰς εἴποι τις ἂν καὶ τοὺς ἁγίους ἀποστόλους εἶναι τοὺς εἰς τὴν ἄγραν τῶν θηρίων τούτων ἐκπεμπομένους,

1-2 cf Job 40, 18   2-3 cf Job 41, 7   5 cf Marc 5, 9 parall   7-8 cf Origen Comm III (IV) p 235, 18/9: 'vulpes contrariae potestates et nequitiae daemonum intelligi debeant'; cf Ps 62, 11   10-11 cf Origen Comm III (IV) p 236, 10/11   13 Ps 23, 8   15 Hebr 1, 14; cf Origen Comm III (IV) p 235, 21 sqq

ERª ΛYSΘ Σ PVT CN Syr   1 τὰ om V   φοβερὰ: φανερὰ N   χάλκειαι PVCN Job 40, 18   3 σμιρίτης ERª Job 41, 7: σμυρίτης v σμηρίτης SΘΣV σμηρήτης YΛ(-ῆτις Λ²) μυρίτης P ὁμηρίτης TCN   τὰ om v   4-5 οὗτος—τοιοῦτος V: οὗτος καὶ τοιοῦτος Syr οὕτως οὗτος ὁ τοιοῦτος YΛ(eras οὕτως) οὗτος οὖν οὗτος ὁ τοιοῦτος SΘ οὗτος οὖν ὁ τοσοῦτος ὁ τοιοῦτος PNC(οὕτως pr, corr C²) οὗτος οὖν ὁ τοσοῦτος T οὗτος οὖν ὁ τοιοῦτος ὁ τοσοῦτος EΣv οὗτος οὖν ὁ τοιοῦτος Rª, quas lect varias e linea non distincta fluxisse patet.   5 ὁ om ΛYSΘ   τῶν δαιμόνων (om ἐν) Syr   8 αὐτοῦ Σ om T   9 παρορμοῦντος NC(corr C²)   10 ante μὲν add ἂν N   11 παρρουσίας N   12 καὶ: αἱ ΣPVCN   ἐν τῷ βίῳ PVCN   13 αἱ: καὶ Vv Syr(in paraphr)   ἐπιδεικνύουσαι ERªv   τί N   οὗτος om ΣV   14 ἴσω Rª   15 εἴπῃ VT   πνεῦμα C(corr C²)   εἰς: εἰ N   16 post σωτηρίαν add et exp τάχα δὲ θηρευτὰς εἴποι καὶ τὰ λειτουργικὰ πνεύματα τὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν Y   17 ἁγίους om v   18 ante τῶν add τὴν TC

πρὸς οὓς εἶπεν ὅτι Ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· οὐ γὰρ ἂν ἐνήργησαν τὴν ἀνθρωπίνην ἁλείαν τῇ τῶν λόγων περιβολῇ τὰς τῶν σῳζομένων ψυχὰς σαγηνεύοντας, εἰ μὴ πρότερον ἐκ τῶν φωλεῶν τὰ θηρία ταῦτα ἐξέβαλον, τοὺς μικροὺς ἐκείνους ἀλώπεκας ἐκ τῶν καρδιῶν λέγω, αἷς ἐνεφώλευον, ὥστε ποιῆσαι τόπον τῷ υἱῷ τοῦ θεοῦ, ὅπου ἑαυτοῦ τὴν κεφαλὴν ἀναπαύσει, μηκέτι τοῦ γένους τῶν ἀλωπέκων ἐν ταῖς καρδίαις φωλεύοντος. πλὴν οὕσπερ ἂν ὑποθῆται τοὺς ἀγρευτὰς εἶναι ὁ λόγος, τὸ μεγαλεῖον καὶ ἄφραστον τῆς θείας δυνάμεως διὰ τῶν προστεταγμένων αὐτοῖς διδασκόμεθα· οὐ γὰρ εἶπεν ὅτι θηράσατε τὸν ὗν τὸν ἐκ τοῦ δρυμοῦ τὴν ἄμπελον τοῦ θεοῦ λυμαινόμενον ἢ τὸν μονιὸν τὸν ἄγριον ἢ τὸν ὠρυόμενον λέοντα ἢ τὸ μέγα κῆτος ἢ τὸν ὑποβρύχιον δράκοντα (ἣ γὰρ ἄν τινα δύναμιν τῶν ἀντιμαχούντων διὰ τῶν τοιούτων ὁ λόγος τοῖς θηρευταῖς ἐνεδείκνυτο), ἀλλὰ πᾶσαι, φησίν, ἐκεῖναι αἱ περίγειοι δυναστεῖαι, πρὸς ἃς ἡ πάλη τοῖς ἀνθρώποις ἐστίν, ἀρχαί τε καὶ ἐξουσίαι καὶ κοσμοκράτορες σκότους καὶ πνεύματα πονηρίας, ἀλωπέκιά ἐστι μικρά, δολερά τε καὶ δύστηνα, πρὸς τὴν ὑμετέραν κρινόμενα δύναμιν.

1 Matth 4, 19   4-7 cf Matth 8, 20   11-12 cf Ps 79, 14   13 cf Ps 21, 14; μέγα κῆτος: cf Ion 2, 1   13-14 δράκων ὁ ἐν τῇ θαλάσσῃ: cf Ezech 32, 2   16-18 cf Eph 6, 12

ERª ΛYSΘ Σ PVT CN Syr   1 post εἶπεν add ὁ νυμφίος Syr   ἡμᾶς Rª   ante ἀνθρώπων add τῶν v   ἂν om V   2 λογίων v   4 ταῦτα om TCN   ἐξέβαλλον Y   πικροὺς C   5 ἐκ—λέγω om V   λέγων NC(eras ν) om T   6 τοῦ θεοῦ: καὶ θεῷ N   τὴν ἑαυτοῦ v   7 ἀναπαύσῃ ERªΣPv   τοῦ: τοὺς P   8 ὥσπερ Y ὁπότερον Syr(in paraphr)   9 ἀγρεύοντας C θηρευτὰς ERªv   10 αὐτῆς P   11 ὅτι om ΛYPVC   θηρεύσατε Σv   post θηράσατε add ἡμῖν Syr   τὸν pr om v   ῢῒν (sic) N υἱὸν Y   ἐκ om Syr   post δρυμοῦ add τὸν ΛYSΘΣ   12 τῇ ἀμπέλω E (corr E²)ΣVTN τῆς ἀμπέλου C(ut vid, corr τῇ ἀμπέλῳ C²)   ἢ pr—ἄγριον om Syr   12-13 ἢ pr—κῆτος om Y   13 ὀρυόμενον PN(ὀρυώμ-) ὠρυόμενον καὶ ὀρυόμενον Syr   ἢ pr—κῆτος om Rª   13-14 τὸ—δράκοντα: τὸν μέγαν καὶ κραταιὸν δράκοντα Syr   14 δράκοντα: λέοντα N   ἢ ΣV Syr   γὰρ ἄν τινα: ἑτέραν Syr   γὰρ—τῶν pr om Σ   διὰ coll ante τῶν pr T   ante διὰ add ut vid ἃ vel οὓς Syr(in paraphr)   16 περίγειαι YT   17 ἀνθρωπίνοις N   19 ὑμετέραν ΣVTC Syr: ἡμετέραν cett v

ἐὰν ἐκείνων κατακρατήσητε, τότε ἀπολήψεται τὴν ἰδίαν χάριν ὁ ἀμπελὼν ὁ ἡμέτερος, ἡ ἀνθρωπίνη φύσις, καὶ τὴν τῶν βοτρύων φορὰν διὰ τοῦ ἄνθους τῆς ἐναρέτου πολιτείας προοιμιάσεται. Πιάσατε οὖν ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.

Ἤκουσε τοῦ θείου προστάγματος ἡ ἄμπελος, ἡ γυνή, περὶ ἧς φησιν ὁ Δαβὶδ ὅτι Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα, καὶ εἶδεν ἑαυτὴν ἐν τῇ δυνάμει τοῦ κελεύσαντος τῆς ἐκ τῶν θηρίων τούτων λύμης κεκαθαρμένην καὶ εὐθὺς δίδωσιν ἑαυτὴν τῷ γεωργῷ τῷ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντι· οὐκέτι γὰρ τῷ τοίχῳ τοῦ νόμου πρὸς τὴν συνάφειαν τοῦ ποθουμένου διατειχίζεται, ἀλλά φησιν Ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ὁ ἀδελφιδός μου ἐμοί, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις, ἕως 884 M. οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. τοῦτο δέ ἐστιν· εἶδον, φησί, πρόσωπον πρὸς πρόσωπον τὸν ἀεὶ μὲν ὄντα ὅπερ ἐστί, δι' ἐμὲ δὲ ἐκ τῆς ἀδελφῆς μου τῆς συναγωγῆς ἀνθρωπικῶς ἀνατείλαντα καὶ ἐν αὐτῷ ἀναπαύομαι καὶ γίνομαι αὐτῷ οἰκητήριον. οὗτος γάρ ἐστιν ὁ ποιμὴν ὁ καλός, ὃς οὐχὶ χόρτον ποιεῖται τὴν τῶν ποιμνίων νομήν, ἀλλὰ

7 Ps 127, 3   10 cf Eph 2, 14   12 Cant 2, 16/7   15 cf I Cor 13, 12   15-16 cf Exod 3, 14   17 cf II Cor 5, 2   18 cf I Cor 3, 16/7; II Cor 6, 16; cf Joh 10, 11

ER^a ΛYSΘ Σ PVT CN Syr   1 κατακρατήσηται C(corr C^2) κατακρατήσεται P   τότε V Syr: om cett v   ἀπολήψετε R^aN v   2 καὶ om PVCN   3 φορὰν: διαφορὰν V   ἐναρέτου: ἀρετῆς P   4 προοιμιάσατε YΛ(corr $Λ^2$) προοιμιάζεται v   οὖν om N   μικροὺς ἀλώπεκας ER^av   5 ἀμπελῶνα v ἀμπέλους C   καὶ fort eras Λ   6 ἡ alt: καὶ P   8 ἴδεν EC(corr C^2)v   τῆς: τὴν P   ἐκ coll ante τῆς ΛYSΘ Syr(vel om)   9 τούτων om ΛY   10 τῷ γεωργῷ ἑαυτὴν Σ   διαλύσαντι (claus praestat; fort recte)ΛY   12 ἀλλά: καὶ διὰ τοῦτο Syr   13 ἀδελφιδοῦς T   14 διαπνεύσει ΣV   ἡ om P   15 post ἐστι add τί ΛYSΘΣ   φησί om PVCN   post φησί add τὸν θεὸν Syr   πρὸς πρόσωπον om P(sed sscr)   μὲν ὄντα: μένοντα PVTCN   μὲν om v   post μένοντα add ἐπὶ τὸ αὐτὸ V   17 ἀνθρωπικῶς om Θ   ἀνατείλωντα Y ἀνατέλαντα R^a ἀναπαύσομαι P   post ἀναπαύομαι add καὶ αὐτὸς ἐν ἐμοὶ Syr   18 ἑαυτῷ N   post οἰκητήριον add καὶ γίνομαι ἐν αὐτῷ ἐνοικέτις Syr   19 οὐ ΣN   post ἀλλὰ add καὶ V

καθαροῖς κρίνοις τρέφει τὰ πρόβατα· ἀληθῶς γὰρ ὁ μηκέτι τῷ χόρτῳ τρέφων τὸν χόρτον· ἰδία γὰρ τροφὴ τῆς ἀλόγου φύσεως ὁ χόρτος ἐστίν, ὁ δὲ ἄνθρωπος λογικὸς ὢν τῷ ἀληθινῷ τρέφεται λόγῳ, εἰ δὲ τοῦ τοιούτου χόρτου ἐμφορηθείη, καὶ αὐτὸς γίνεται χόρτος· Πᾶσα γάρ φησι σὰρξ χόρτος ἐστίν, ἕως ἂν ᾖ σάρξ. εἰ δέ τις πνεῦμα γένοιτο γεννηθεὶς ἐκ τοῦ πνεύματος, οὐκέτι τὸν χορτώδη ἐπιβοσκηθήσεται βίον, ἀλλὰ τὸ πνεῦμα ἔσται αὐτοῦ τροφή, ὅπερ ἡ καθαρότης καὶ ἡ εὔπνοια τοῦ κρίνου αἰνίσσεται. ἔσται οὖν καὶ αὐτὸς κρίνον καθαρὸν καὶ εὔπνουν πρὸς τὴν φύσιν τῆς τροφῆς ἀλλοιούμενος. τοῦτό ἐστιν ἡ διαχεομένη ταῖς ἀκτῖσιν ἡμέρα ἤτοι διαπνέουσα, καθὼς ὠνόμασεν ἡ θεία φωνὴ τὴν διὰ τοῦ πνεύματος τῶν ἀκτίνων γινομένην διάχυσιν διαπνοὴν ὀνομάσασα, ὅθεν αἱ τοῦ βίου μετακινοῦνται σκιαί, περὶ ἃς κατὰ σπουδὴν ὁρῶσιν

5 Isai 40, 6; cf I Petr 1, 24   6-7 cf Joh 3, 6   8 cf Hebr 5, 14; 6, 4   9-10 cf II Cor 2, 15   14-p 170, 3 cf Plato Resp 515 c

ER^a ΛYSΘ Σ PVT CN Syr   1 ante ἀληθῶς add ὡς Syr   ἀληθῶς γὰρ om R^av   (ἀλη)θῶς ut vid ex corr in fine lin E^2 ante ὁ add ποιμὴν T add in marg ποιμὴν καλὸς C^2 ὁ: οὐ v   2 τῷ om ER^aVTv   χόρτον eras et corr ἄνθρωπον C^2 in marg adnot γρ ἄνθρωπον T super χόρτον sscr γρ τὸν λόγον P   1-2 verba ὁ—χόρτον sic fere interpret Syr: οὗτος ὁ οὐκ ἐν τῷ χόρτῳ ποιμαίνων τὰ πρόβατα ἑαυτοῦ, ἀλλὰ ἐν τοῖς κρίνοις, ἐν πνευματικῇ νομῇ τρέφει αὐτά. Gregorius voce τὸν χόρτον (2) allegorice pro τὴν σάρκα usus est (cf infra 5). sententiam anacoluthum ἀληθῶς— χόρτον recte interpr sunt T et C^2, sed cave, ne interpretamentum in textum inseras.   2 ἰδία: ἡδεία V   4 post δέ add τις T   τοῦ ΣPVTN: om cett v   τοῦ τοιούτου om Syr   χόρτου om v   5 ante καὶ add οὐ μόνον θηρίον γίνεται ἀλλὰ Syr   χόρτος γίνεται v   φησι om ΛYSΘ coll post σάρξ v   6 ἐστίν om P(scil sec Isai 40, 6)   σὰρξ ᾖ v   τις om ΛYSΘ   γενηθεὶς N   7 τοῦ om ΛYSΘ   ἐπιβοσκήσεται P   8 αὐτοῦ ἔσται ER^av   ὅπερ: ὅπου Y   9 ἔνπνοια V   ante τοῦ add αὐτοῦ P   αἰνίσσεται coll ante τοῦ Λ(corr fort m pr)   γοῦν N   ante αὐτὸς add ὁ P   9-10 καθαρὸν κρίνον ER^av   10 et om τῆς et coll τροφῆς ante φύσιν v   11 τουτέστιν E(corr E^2) VTv   διαδεχομένη E(ut vid, eras δεχ et corr χε E^2)v   12 τῶν corr in ras Y   13 γενομένην VTC(corr C^2)N   ὀνόμασα E (σα fort corr in ras pro σεν, adscr in fine lin σα E^2) ὀνομάσασαν C (eras ν) ὀνομάσας T   14 (β)ίου—σκιαί corr in ras $Λ^2$ μετακινοῦνται om Y(Λ?)   ante κατὰ initio lin adscr μὴ P

οἱ μήπω τῷ φωτὶ τῆς ἀληθείας τὸν τῆς ψυχῆς ὀφθαλμὸν καταυγάσαντες, οἱ τὴν σκιὰν καὶ τὸ μάταιον ὡς ὑφεστὼς ὁρῶντες καὶ τὸ ἀληθῶς ὂν ὡς μὴ ὂν παραβλέποντες. ἀλλ' οἱ διὰ τῶν κρίνων τρεφόμενοι (τουτέστιν οἱ τῇ καθαρᾷ τε καὶ εὐπνοούσῃ τροφῇ τὴν ψυχὴν πιαινόμενοι) πᾶσαν ἀπατηλήν τε καὶ σκιοειδῆ φαντασίαν τῶν κατὰ τὸν βίον τοῦτον σπουδαζομένων ἑαυτῶν ἀποστήσαντες πρὸς τὴν ἀληθινὴν τῶν πραγμάτων ὑπόστασιν ὄψονται υἱοὶ φωτὸς καὶ υἱοὶ ἡμέρας γινόμενοι.

Ταῦτα βλέπει ἡ νύμφη καὶ κατεπείγει τὸν λόγον διὰ τάχους εἰς ἔργον προαγαγεῖν τῶν ἀγαθῶν τὴν ἐλπίδα Ἀπόστρεψον λέγουσα τῶν κακῶν τὴν φοράν, ὦ ἀδελφιδέ, ὁμοιώθητι τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη τῶν κοιλωμάτων, ἴδε ὡς δορκὰς ὁ τὰς ἐνθυμήσεις τῶν ἀνθρώπων βλέπων, ὁ τοὺς διαλογισμοὺς τῶν καρδιῶν ἀναγινώσκων, ἀφάνισον τὴν γονὴν τῆς κακίας ὡς νεβρὸς ἐλάφων ἐξαναλίσκων τὸ γένος τοῦ ὄφεως· ὁρᾷς τὰ κοῖλα ὄρη τοῦ ἀνθρωπίνου βίου, ὧν τὰ ἐπαναστήματα οὐχὶ ἀκρώρειαί εἰσιν ἀλλὰ φάραγγες. τρέχει τοίνυν ἕως τάχους ὁ λόγος ἐπὶ τὰ κοῖλα ὄρη· πᾶν γὰρ τὸ κατὰ τῆς ἀληθείας ὑψούμενον βάραθρόν ἐστι καὶ οὐχὶ

8-9 cf I Thess 5, 5   11 Cant 2, 17   14 cf supra p 141, 5-10   15 cf Luc 9, 47   16-17 cf supra p 142, 3-8

ER^a ΛYSΘ Σ PVT CN Syr 1 μήπω: μὴ PVCN Syr   2 καταυγάζοντες P   οἱ: ὅτι PC(corr C^2)N   ὑφεστὸς ER^aV   3 ὁρῶσι P   ὡς om N   ὂν alt: ὧν C(corr C^2)   παραβλάπτοντες R^a παραβλέπουσιν P   4 οἱ: ἡ N   5 εὐπνοοῦσα C(corr C^2) εὐπνεοῦσα N   6 σκιώδη PN   τῶν: τὸν C(corr C^2) τὴν Θ(?, corr $Θ^1$)   7 ἑαυτῶν ER^aΘΣPv Syr: ἑαυτὸν YΛ(ut vid, corr $Λ^2$) ἑαυτοὺς SVTC(corr C^2)N   πρὸς eras C   8 ante καὶ add τε N   υἱοὶ alt om TCN   9 γενόμενοι SV(sed corr)TN   10 προβλέπει Syr   λόγον: νυμφίον Syr   11 προαγαγεῖ N προσαγαγεῖν V διαγαγεῖν v   12 τῶν κακῶν coll post φορὰν ER^a om Nv   τὴν φοράν om v   post ἀδελφιδέ add μου T(scil sec LXX)   13 τῇ ΛYSΘΣ, cf supra p 137, 2: om cett v   δορκάδι om P in marg adnot γρ τῶ δόρκωνι V(scil sec LXX)   14 εἶδε P(sscr ϊ)   16 τὴν: ὡς P   κακίας: καρδίας ΛYSΘ   νεβρὼς V   ἐξαφανίζων S   17 τῶν ὄφεων v   ὁρᾷς: ὁρῶν Syr   19 τάχος YΛ(corr $Λ^2$)SΘ   πᾶν: πάντα CN   20 et τὸ et ὑψούμενον corr in τὰ et -να C^2

ὄρος, κοίλωμα καὶ οὐκ ἀνάστημα. ἐὰν οὖν ἐπιδράμῃς ἐπὶ ταῦτα, φησί, πᾶσα ἡ τοιαύτη φάραγξ πληρωθήσεται καὶ πᾶν τὸ τοιοῦτον ὄρος ταπεινωθήσεται. ταῦτα φθέγγεται ἡ ψυχή, ἣν ποιμαίνει ὁ λόγος οὐκ ἐν ἀκάνθαις τισὶν ἢ χόρτοις ἀλλ' ἐν τῇ εὐοδμίᾳ τῶν κρίνων τῆς καθαρᾶς πολιτείας. ὧν γένοιτο καὶ ἡμᾶς ἐμφορηθῆναι ποιμαινομένους ὑπὸ τοῦ λόγου, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος ϛ'

Ἐπὶ κοίτην μου ἐν νυξὶν (3, 1)
ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου,
885 M. ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν,
ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου.
Ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει (2)
ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις
καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου·
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν.
εὕροσάν με οἱ τηροῦντες οἱ κυκλοῦντες ἐν τῇ πόλει.

2-3 cf Luc 3, 5 (Isai 40, 4)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἐπανάστημα ΛY   ἐπὶ om P   2 φάραξ ΛYN   3 ante ταῦτα add καὶ PVCN   4 λόγος: νυμφίος Syr   χόρτος C(corr C^2) χόρτῳ Syr   6 καὶ: πάντας C   λόγου: νυμφίου τοῦ καλοῦ ποιμένος Syr   post λόγου add inepte ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν codd v om Syr   7 post ᾧ add πρέπει ER^av   καὶ τὸ κράτος om SΘΣ Syr   τὸ om v   post κράτος add σὺν τῶ ἁγίω πνεύματι VCP(παναγίῳ) add σὺν τῶ ἁγίω πνεύματι νῦν καὶ ἀεὶ καὶ N add σὺν τῶ πατρὶ καὶ τῶ ἁγίω πνεύματι T   εἰς—αἰώνων om P   τῶν αἰώνων om SΘC   post ἀμὴν add ἐτελειώθη λόγος ἕκτος Syr   8 λόγος ϛ ΛNE(in marg sup)T(post 172, 19 in marg)R^a(post 172, 19): ὁμιλία ϛ Y(in marg λόγος ϛ)SV(in marg λόγος ϛ)v   τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος ϛ Σ(in marg sup λόγος ϛ)   numerum ϛ' post 172, 19 in marg adscr Θ   λόγος ἕβδομος Syr   titul om PC(sed in marg eras 6-8 litt)   9 ante κοίτην add τὴν ΣPV   13 ἀναστήσομε C(corr C^2) ἀνάστησόν με N   δή: δὲ v   δὴ καὶ om Syr   14 ταῖς pr om V   πλατείαις: πολιτείαις N   15 καὶ ζητήσω: ἐκζητήσω ER^a 16 post αὐτὸν alt add ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου R^aE^2(in marg)Σv(ἐπεκάλεσα) Syr LXX(plurimi, sed non optimi codd) cf infra p 175, 10

Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε; (3)
ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν,
Ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου. (4)
ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν,
ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου
καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με.
Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, (5)
ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ,
ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσει.
Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου (6)
ὡς στελέχη καπνοῦ, τεθυμιαμένη σμύρνα καὶ λίβανος,
ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ;
Ἰδοὺ ἡ κλίνη τοῦ Σαλωμών, (7)
ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς
ἀπὸ δυνατῶν Ἰσραήλ,
Πάντες κατέχοντες ῥομφαίαν, (8)
δεδιδαγμένοι πόλεμον,
ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ
ἀπὸ θάμβους ἐν νυξίν.

Πάλιν τὰ μεγάλα τε καὶ ὑψηλὰ δόγματα παρὰ τοῦ Ἄισματος τῶν ᾀσμάτων διὰ τῆς παρούσης ἀναγνώσεως παιδευόμεθα. φιλοσοφία γάρ ἐστι τὸ τῆς νύμφης διήγημα, δι' ὧν τὰ περὶ ἑαυτῆς διεξέρχεται, ὅπως χρὴ περὶ τὸ θεῖον ἔχειν τοὺς

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ὃν: οὖν C(corr C^2) ἴδετε ER^aVC(corr C^2)N 2 (ὅ)τε E^2 in ras παρῆλθον ἀπ' corr C^2 (litt ον ἀ pro ον ἐ ut vid) 3 οὗ om ER^a 4 ἀφήσω LXX (sed pars codd ἀφῆκα) 5 αὐτὸν om Σ 6 ταμεῖον ΛYPTCN 7 ἡμᾶς N 9 ἐξεγείρηται ΣC(corr C^2) ἐξηγείρηται N οὗ: οὐ T ἂν ΛYS LXX θελήσει VN: θελήσῃ cett v LXX 10 ἀπὸ: ἐκ v 11 τελέχη C καπνοῦ om v et σμύρναν et λίβανον v Syr LXX 13 τοῦ om P Σαλωμών V LXX: σαλομῶν R^aCN σαλομῶντος Θ σολομών EΣPT σολομῶντος ΛYSv 14 κύκλῳ: ὀπίσω P 15 ante Ἰσραήλ sscr ἢ C^2 17 δεδειγμένοι C(ut vid, eras ει et corr ιδα C^2) δεδιδαμένη R^a ante πόλεμον add εἰς PNC(ut vid, sed eras) πολέμων v 18 ῥομφαίαν v ρομφαίας τοῦ R^a(corr R^{a2}) τὸν om v LXX 20 πάλιν τὰ: πάντα CN δόγματα om Syr 22 τὸ om ΛY ὧν: οὗ Syr 23 αὐτῆς ΛYSΘΣT

ἐραστὰς τοῦ ὑπερκειμένου κάλλους δογματιζούσης. ὃ δὲ μανθάνομεν διὰ τῶν προκειμένων λογίων τοιοῦτόν ἐστιν (χρὴ γὰρ οἶμαι προεκθέσθαι πρότερον τὴν τοῖς ῥητοῖς ἐγκειμένην διάνοιαν, εἶθ' οὕτως ἐφαρμόσαι τοῖς προθεωρηθεῖσι τὰ θεόπνευστα ῥήματα), ἔστι τοίνυν, ὡς ἐν ὀλίγῳ συνελόντα φράσαι, τοιοῦτόν τι δόγμα διὰ τῶν εἰρημένων ἀναφαινόμενον· διχῇ τέτμηται κατὰ τὴν ἀνωτάτω διαίρεσιν ἡ τῶν ὄντων φύσις· τὸ μὲν γάρ ἐστιν αἰσθητὸν καὶ ὑλῶδες, τὸ δὲ νοητόν τε καὶ ἄϋλον. αἰσθητὸν μὲν οὖν λέγομεν ὅσον τῇ αἰσθήσει καταλαμβάνεται, νοητὸν δὲ τὸ ὑπερπῖπτον τὴν αἰσθητικὴν κατανόησιν. ἐκ τούτων τὸ μὲν νοητὸν ἄπειρόν ἐστι καὶ ἀόριστον, τὸ δὲ ἕτερον πάντως τισὶ διαλαμβάνεται πέρασιν. πάσης γὰρ ὕλης τῷ ποσῷ τε καὶ τῷ ποιῷ διειλημμένης ἐν ὄγκῳ καὶ εἴδει καὶ ἐπιφανείᾳ καὶ σχήματι, πέρας γίνεται τῆς περὶ αὐτὴν κατανοήσεως τὰ περὶ αὐτὴν θεωρούμενα, ὡς μηδὲν ἔχειν τὸν τὴν ὕλην διερευνώμενον ἔξω τι τούτων ἐν φαντασίᾳ λαβεῖν· τὸ δὲ νοητόν τε καὶ ἄϋλον τῆς τοιαύτης περιοχῆς καθαρεῦον ἐκφεύγει τὸν ὅρον ἐν οὐδενὶ

7-11 cf ex. gr. Plato Tim 27 d sq 11-13 nota bene, quantum differat theologia illa sive mystica sive negativa Gregorii non solum a philosophis (vide infra adnot ad p 180, 3) sed etiam ab Origene (cf ex. gr. Origen De princ 164,3 sqq: πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ λεκτέον .... ἐὰν γὰρ ᾖ ἄπειρος ἡ θεία δύναμις, ἀνάγκη αὐτὴν μηδὲ ἑαυτὴν νοεῖν· τῇ γὰρ φύσει τὸ ἄπειρον ἀπερίληπτον). at apud Plotin (ex. gr. III 7, 5) doctrinam similem, quamquam traditione Platonica retenta hic illuc diversam, invenies.

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ante ἐραστὰς add θείους P ὑπερκοσμίου v 2 λογίων: ὀλίγων CN τοιοῦτόν ἐστιν coll ante διὰ Σ 3 ἐκθέσθαι P πρότερον προεκθέσθαι T 4-5 προτεθεωρηθεῖσι P 6 συνελόντι ΛYSΘ τοιοῦτό R^aE^2(eras -ν) δόγμα: διήγημα V 7 post διχῇ add δὲ Θ 8 φύσις om N post ἐστιν eras 4 litt V(fort ἐστι) 9 τε om ER^aΛYSΘv λέγωμεν Σ 9-10 τὸ δὲ—καταλαμβάνεται om Syr 10 καταλαμβάνομεν v δὲ: τὲ NC(corr C^2) ὑποπίπτον V 10-11 et super τὸ sscr μὴ et τὴν et κατανόησιν corr in τῇ et -ήσει V^2(scil e coni) 12 πάντων EVv 13 τε om S(add S^2) καὶ om E(add E^2) 14 εἴδη ΣC(corr C^2) 15 αὐτὴν pr: αὐτῆς P κατανοήσεως—αὐτὴν alt om Σ 16 τι om v 17 διαλαβεῖν ΛYSΘ 18 περιοχῆς om P

περατούμενον. πάλιν δὲ καὶ τῆς νοητῆς φύσεως διχῇ διῃρημένης ἡ μὲν ἄκτιστός ἐστι καὶ ποιητικὴ τῶν ὄντων, ἀεὶ οὖσα ὅπερ ἐστὶ καὶ πάντοτε ὡσαύτως ἔχουσα, κρείττων τε προσθήκης ἁπάσης καὶ τῆς ἐλαττώσεως τῶν ἀγαθῶν ἀνεπίδεκτος, ἡ δὲ διὰ κτίσεως παραχθεῖσα εἰς γένεσιν πρὸς τὸ πρῶτον αἴτιον ἀεὶ βλέπει τῶν ὄντων καὶ τῇ μετουσίᾳ τοῦ ὑπερέχοντος διὰ παντὸς ἐν τῷ ἀγαθῷ συντηρεῖται καὶ τρόπον τινὰ πάντοτε κτίζεται διὰ τῆς ἐν τοῖς ἀγαθοῖς ἐπαυξήσεως πρὸς τὸ μεῖζον ἀλλοιουμένη, ὡς μηδὲ ταύτῃ τι πέρας ἐνθεωρεῖσθαι μηδὲ ὅρῳ τινὶ τὴν πρὸς τὸ κρεῖττον αὔξησιν αὐτῆς περιγράφεσθαι ἀλλ' εἶναι πάντοτε τὸ ἀεὶ παρὸν ἀγαθόν, κἂν ὅτι μάλιστα μέγα τε καὶ τέλειον εἶναι
888 M. δοκῇ, ἀρχὴν τοῦ ὑπερκειμένου καὶ μείζονος, ὡς καὶ ἐν τούτῳ τὸν ἀποστολικὸν ἀληθεύεσθαι λόγον διὰ τῆς τῶν ἔμπροσθεν ἐπεκτάσεως ἐν λήθῃ γινομένων τῶν προδιηνυσμένων· τὸ γὰρ ἀεί τι μεῖζον καὶ καθ' ὑπερβολὴν ἀγαθὸν εὑρισκόμενον, περὶ ἑαυτὸ κατέχον τὴν τῶν μετεχόντων διάθεσιν, οὐκ ἐᾷ πρὸς τὰ παρῳχηκότα βλέπειν τῇ τῶν προτιμοτέρων ἀπολαύσει τῶν καταδεεστέρων τὴν μνήμην παρακρουόμενον.

3-4 cf ex. gr. Origen De princ I 1, 6 (p 21, 11 sq) ... 'nihil omnino in se adiunctionis admittens'. 6-7 cf Plato Tim 28 a; Resp 509 b; cf Origen in Joh Frg II (p 485, 24 sqq) 15 cf Phil 3, 13

ER^a ΛYSΘ Σ PVT CN Syr 1 περιπατούμενον P διχῇ coll post διῃρημένης T om ER^av 1-2 διαιρουμένης ΛYSΘP (sscr ηρη) 3 κρεῖττον TN τε om V 4 πάσης Σ 5 ἐς v γένησιν N 6 τῶν ὄντων hoc loco N, clausula praestat: om ER^av coll ante ἀεὶ cett Syr (add καὶ ante ἀεὶ) 7 περιέχοντος v τοῦ ὑπερέχοντος: αὐτοῦ Syr 8 πάντοτε om N τῆς: τοῖς YN 9 τι: τὸ PVCN om Syr (vel τὸ) 10 super ὅρῳ sscr ὅριω (sic) P 11 ἀεὶ τὸ ER^av 13 δοκεῖ ΣPC (corr C^2) δοκῆν N (eras ν) super ὑπερκειμένου sscr o (= ὑποκ.) N ὑποκειμένου P (sed corr pr m) 14 ἀπόστολον Σ ἀληθεῦσαι T λόγον: λέγοντα Σ τῶν om VN 15 γενομένων V γϊνομένου P 15-16 προδεικνυμένων ΛY 16 μείζων C (corr C^2) ἀγαθῶν C (corr C^2) N 17 ἑαυτῷ N ἑαυτοῦ P αὐτὸ ΣT κατέχων NC (corr C^2) 18 τῇ: τὴν C (corr C^2) 19 ἀπολαύσει om P cuius loco habet signum ! (sic) 20 ἀποκρουόμενον V

Τὸ μὲν οὖν νόημα τὸ τῇ φιλοσοφίᾳ τοῦ νυμφικοῦ διηγήματος ἡμῖν δογματιζόμενον τοιοῦτον εἶναι νομίζομεν, καιρὸς δ' ἂν εἴη πρῶτον μὲν αὐτῆς ἐπιμνησθῆναι τῆς λέξεως τῶν θεοπνεύστων λογίων, εἶθ' οὕτως ἐφαρμόσαι τοῖς προθεωρηθεῖσι τὴν τοῖς ῥητοῖς ἐγκειμένην διάνοιαν. Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα, φησίν, ὃν ἠγάπησεν ἡ ψυχή μου, ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. εὕροσάν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει. μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε; ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με.

Πῶς τοίνυν ἐν τοῖς εἰρημένοις εὑρίσκομεν τὰ δογματικῶς ἡμῖν προθεωρηθέντα νοήματα; γέγονεν ἐν ταῖς προλαβούσαις ἀνόδοις πρὸς λόγον τῆς ἑκάστοτε γινομένης αὐξήσεως ἀεὶ πρὸς τὸ κρεῖττον ἀλλοιουμένη καὶ οὐδέποτε ἐπὶ τοῦ καταληφθέντος ἀγαθοῦ ἱσταμένη, νῦν μὲν ἵππῳ παραβαλλομένη τῇ καταστρεψαμένῃ τὸν Αἰγύπτιον τύραννον, πάλιν δὲ ὁρμίσκοις τε καὶ τρυγόσιν εἰκαζομένη κατὰ τὸν περιαυχένιον κόσμον.

6-15 Cant 3, 1-4 20-21 cf Cant 1, 9 (cf supra p 73,3-78,4) 21-22 cf Cant 1, 10 (cf supra p 78,17-82,16)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 οὖν: τὸ R^a διὰ τῆς φιλοσοφίας Σ 2 ἐνδογματιζόμενον P 4 λόγων ΛYSΘΣ 5 ante κοίτην add τὴν PV 6 φησὶν coll ante ἐζήτησα P om ER^av 8 μοι C^2 (ex μου) δή: δὲ v 10 post αὐτόν alt add ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέν μου Σ Syr, cf p 171,16 12 εἴδεται ΣC (corr C^2) ἴδετε ER^aYVNv σμικρὸν v αὐτὸν N 13-15 ἐκράτησα—με: καὶ τὰ ἑξῆς P 14 οὗ om V 15 ante καὶ eras ut vid 1 litt E ταμεῖον TCN ante ταμίον (sic) add τὸ Σ 17 προθεωρηματα P (om νοήματα sed sscr θεντα νοή) θεωρηθέντα Σ παρεωραθέντα N ἐν om ΣPVC (add C^2) N 18 γιγνομένης Σ γενομένης P post ἀεὶ add γὰρ E^2 (sscr) R^av 19-20 καταλειφθέντος Y 20 ante ἱσταμένη add εὑρισκομένη καὶ Σ μὲν om N περιβαλλομένη Y 21 κατατρεψαμένη E τὴν τῶν Αἰγυπτίων τυραννίδα Syr δὲ om Σ 22 τε om ER^av

εἶτα ὡς οὐκ ἀρκεσθεῖσα τούτοις ἔτι πρὸς τὸ ἀνώτερον πρόεισι· διὰ γὰρ τῆς ἰδίας νάρδου τὴν θείαν ἐπιγινώσκει εὐωδίαν καὶ οὐδὲ ἐν τούτῳ μένει, ἀλλὰ πάλιν αὐτὸν τὸν ποθούμενον οἷόν τι ἄρωμα εὔπνουν ἑαυτῇ περιάπτει μεταξὺ τῶν λογικῶν μαζῶν, ὅθεν βρύει τὰ θεῖα διδάγματα, τῷ χωρήματι τῆς καρδίας ἐνδησαμένη, μετὰ τοῦτο καρπὸν ἑαυτῆς ποιεῖται τὸν γεωργὸν βότρυν αὐτὸν ὀνομάζουσα ἡδύ τι καὶ προσηνὲς διὰ τοῦ ἄνθους εὐωδιάζοντα, καὶ οὕτως αὐξηθεῖσα διὰ τῶν τοιούτων ὁδῶν καλὴ λέγεται καὶ πλησίον γίνεται καὶ περιστεραῖς τὸ ἐν τοῖς ὄμμασιν αὐτῆς παρεικάζεται κάλλος. εἶτα πάλιν πρὸς τὸ μεῖζον χωρεῖ· διορατικωτέρα γὰρ γινομένη κἀκείνη τοῦ λόγου καταμανθάνει τὴν ὥραν καὶ θαυμάζει, πῶς σύσκιος ἐπὶ τὴν κλίνην τῆς κάτω ζωῆς καταβαίνει τῇ ὑλικῇ τοῦ ἀνθρωπίνου σώματος φύσει συσκιαζόμενος. πρὸς τούτοις τὸν τῆς ἀρετῆς οἶκον διαγράφει τῷ λόγῳ, οὗ γίνεται ἡ ἐρέψιμος ὕλη κέδρος τε καὶ κυπάρισσος σηπεδόνος

2 cf Cant 1, 12 (cf supra p 88,10-93,9) 3-6 cf Cant 1, 13 (cf supra p 93,15-95,3) 6-8 cf Cant 1, 14 (cf supra p 95,5-97,9) 9-10 cf Cant 1, 15 (cf supra 101,15-106,4) 11-14 cf Cant 1, 16 (cf supra p 106,5-109,3) 15-p 177,3 cf Cant 1, 17 (cf supra p 109,4-112,21)

ERª ΛYSΘ Σ PVT CN Syr 1 τὸ om ERªv 2 ἰδίας: ἡδείας RªE² (corr ἡδεί in ras) Nv θείας T 3 τούτοις VCN μένη Σ ante πάλιν add καὶ Σ ἀποθούμενον C (eras ἀ) 4 ἑαυτῆς ἐξάπτει PCNV (coll ἑαυτῆς ante εὔπνουν) 4-5 τὸν λογικὸν μαζὸν N 5 μασθῶν V δόγματα V 6 ante καρδίας add θείας P ἐνδησαμένη ERªΛYΣC² (corr e -δυσ-) Syr, cf supra p 94,20: ἐνδυσαμένη cett v ante μετὰ add καὶ P 8 τὸ ἄνθος N ἀήθους Y εὐωδιάζουσα PVCN 9 ἀνόδων RªE² (ex ὁδῶν ut vid) Σv ᾠδῶν V λέγεται: γίνεται ΘPV, fort E (eras γίν et corr E²) γίνεται: λέγεται CV (coll λέγεται ante πλησίον) περιστερᾶς SP (sed eras -ς) περιστερᾶι (sic) Θ Syr, sed cf supra p 105,5 10 αὐτῆς om Σ ἀπεικάζεται Σ 11 δραστϊκοτέρα V γενομένη ERªΣv κἀκείνη om ΣV Syr 13 εὔσκιος ERªVv τῆς—καταβαίνει om Σ ἀναβαίνει Rª 15 οἶκον: οἶ E in fine pag τῷ λόγῳ διαγράφει v 16 γίγνεται Σ ἡ ἐρέψιμος: ἱερεύσιμος P ad ἐρέψιμος adnot in marg ἡ πρὸς τὸ στεγάσαι ἢ στεφανῶσαι ἐπιτήδειος Λ²Y² adnot in marg quaedam, quae vix legi possunt, ut vid παρὰ ἁγίων ἢ γενναίων κρ~ (?) τὸ τὲ φαινόμενον αὐτῆι Θ σηπηδόνας P (sscr ο)

τε καὶ διαφθορᾶς ἀνεπίδεκτος, δι' ὧν τὸ μόνιμόν τε καὶ ἀμετάβλητον τῆς πρὸς τὸ ἀγαθὸν σχέσεως διερμηνεύει τῷ
889 M. λόγῳ. ἐπὶ τούτοις διὰ συγκρίσεως ἡ πρὸς τὸ κρεῖττον αὐτῆς παραλλαγὴ διαδείκνυται καὶ κρίνον ἐν ἀκάνθαις δοκεῖ. καὶ πάλιν παρ' ἐκείνης καθορᾶται τοῦ νυμφίου τὸ πρὸς τοὺς ἄλλους διάφορον· μῆλον γὰρ ὀνομάζεται μεταξὺ δρυμῶνος ἀκάρπου τῇ εὐχροίᾳ τῆς ὀπώρας ὡραϊζόμενον, οὗ τὴν σκιὰν ὑπελθοῦσα ἐν τῷ οἴκῳ τοῦ οἴνου γίνεται. καὶ μύροις στηρίζεται καὶ τοῖς καρποῖς τοῦ μήλου στοιβάζεται καὶ τὸ ἐκλεκτὸν βέλος ἐν τῇ καρδίᾳ δεξαμένη διὰ τῆς γλυκείας πληγῆς πάλιν καὶ αὐτὴ γίνεται βέλος ἐν ταῖς χερσὶ τοῦ τοξότου τῆς μὲν εὐωνύμου τὴν κεφαλὴν πρὸς τὸν ἄνω σκοπὸν εὐθυνούσης, τῆς δεξιᾶς δὲ πρὸς ἑαυτὴν διαλαμβανούσης τὸ βέλος. μετὰ ταῦτα ὡς ἤδη πρὸς τὸ τέλειον φθάσασα καὶ ταῖς λοιπαῖς τὴν ἐπὶ τὰ αὐτὰ προθυμίαν ὑφηγεῖται τῷ λόγῳ δι' ὁρκισμοῦ τινος τὴν περὶ τὴν ἀγάπην αὐτῶν σπουδὴν ἐπεγείρουσα. τίς οὖν οὐκ ἂν εἴποι τὴν ἐπὶ τοσοῦτον ὑψωθεῖσαν ψυχὴν ἐν τῷ ἀκροτάτῳ γεγενῆσθαι ὅρῳ τῆς τελειότητος; ἀλλ' ὅμως τὸ πέρας τῶν προδιηνυσμένων ἀρχὴ γίνεται τῆς ἐπὶ

4 cf Cant 2, 2 (cf supra p 114,10-115,16) 6-7 cf Cant 2, 3 (cf supra p 116, 3-119, 11) 8-9 cf Cant 2, 4 (cf supra p 119, 12-127, 6) 9-14 cf Cant 2, 5/6 (cf supra p 127,7-129, 19) 16 cf Cant 2, 7 (cf supra p 129, 20-135, 9)

ERª ΛYSΘ Σ PVT CN(11 χερσὶ—p 178,16 ἐν in parte sup pag man alt sed eiusdem temp) Syr 1 διαφορᾶς N (sscr θ N² ut vid) 4 δείκνυται ERªv 5 ante παρ' add καὶ ERªv ἐκείνοις N τὸ coll ante τοῦ Σ 7 δρυμοῦ Σ εὐχρεῖα N ὡραϊ(ζόμενον) E² in ras 5 fere litt 8 ὑπερθοῦσα Y τοῦ οἴνου coll ante ἐν ΛY om v 9 στηρίζεται—μήλου om P καὶ τοῖς—στοιβάζεται om VCN 10 ἐν om PVN 10-11 ἐν—βέλος om C 11 αὐτῇ N βέλος γίνεται v ταῖς om P 12 τὴν κεφαλὴν coll post σκοπὸν V πρὸς τὸν: πρῶτα C (corr πρὸς τὰ C²) σκοπεῖν C² (e σκοπὸν ut vid) 13 εὐθηνούσης V αὐτὴν V 14 ὡς: δὲ ὡς Λ² in ras τέλος E (ut vid, eras ος et corr E²) 15 τοῖς λοιποῖς Θ τὰ αὐτὰ: ταῦτα ΛYSΘ τὸν ποθούμενον v ἐπιθυμίαν T ut vid, sed corr 16 ὁρκισμοῦς C (corr C²) περὶ τὴν om v ἀγάπην om V αὐτοῦ V σπουδὴν om Nv 17 οὖν ERªNv Syr: om cett εἴπη PN ἐπὶ: εἰς ΛYSΘ 18 ἄκρω CN γενέσθαι Σ ὥρω C (corr C²) 19 γίγνεται Σ ἐπὶ: ὑπὲρ C (corr C²) N (sed corr ead alt man)

τὰ ὑπερκείμενα χειραγωγίας· πάντα γὰρ ἐκεῖνα φωνῆς ἦχος ἐνομίσθη πρὸς τὴν τῶν μυστικῶν θεωρίαν τὴν ψυχὴν διὰ τῆς ἀκοῆς ἐπιστρεφούσης. καὶ βλέπειν ἄρχεται τὸν ποθούμενον ἄλλῳ εἴδει τοῖς ὀφθαλμοῖς ἐμφαινόμενον· δορκάδι γὰρ ὁμοιοῦται καὶ νεβρῷ παρεικάζεται, καὶ οὐχ ἕστηκεν οὔτε ἐπὶ τῆς μιᾶς ὄψεως οὔτε ἐπὶ τοῦ τόπου τοῦ αὐτοῦ τὸ φαινόμενον, ἀλλ' ἐπιπηδᾷ τοῖς ὄρεσιν ἀπὸ τῶν ἀκρωρειῶν ἐπὶ τὰς τῶν βουνῶν ἐξοχὰς μεθαλλόμενος. καὶ πάλιν ἐν μείζονι κατάστασει ἡ νύμφη γίνεται φωνῆς δευτέρας πρὸς αὐτὴν ἐλθούσης, δι' ἧς παρορμᾶται καταλιπεῖν τὴν ἐκ τοῦ τοίχου σκιὰν καὶ ἐν ὑπαίθρῳ γενέσθαι καὶ τῇ σκέπῃ τῆς πέτρας ἐναναπαύσασθαι τῆς ἐχομένης τοῦ προτειχίσματος καὶ τῆς ἐαρινῆς ὥρας κατατρυφῆσαι δρεπομένην τοῦ καιροῦ τὰ ἄνθη ἀκμαῖα ὄντα καὶ ὥρια καὶ πρὸς τομὴν ἐπιτήδεια καὶ ὅσα ἄλλα πρὸς ἀπόλαυσιν ὁ καιρὸς τοῖς τρυφῶσι χαρίζεται ἐν ταῖς τῶν μουσικῶν ὀρνίθων φωναῖς. δι' ὧν πάλιν τελειοτέρα γινομένη ἡ νύμφη αὐτὴν ἀξιοῖ τοῦ φθεγγομένου τὴν ὄψιν ἰδεῖν ἐμφανῶς καὶ τὸν λόγον παρ' αὐτοῦ δέξασθαι μηκέτι δι' ἑτέρων φθεγγόμενον. πάλιν εἰκός ἐστιν ἐπὶ τούτοις μακαρισθῆναι τὴν ψυχὴν τῆς ὑψηλῆς ἀναβάσεως, τοῦ ἀκροτάτου τῶν ποθουμένων ἐφικομένην· τί γὰρ ἄν τις μεῖζον εἰς μακαρισμὸν ἐννοήσειε τοῦ ἰδεῖν τὸν θεόν; ἀλλὰ καὶ τοῦτο

1-3 cf Cant 2, 8 (cf supra p 138, 9-139, 9) 4-8 cf Cant 2, 8/9 (cf supra p 141,1-143,16) 10-16 cf Cant 2, 10-14 (cf supra p 145, 14-163, 10) 17 sqq cf Cant 2, 14 (cf supra p 163, 11-164, 15)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 προκείμενα T ὑπερέκεινα ER^a 2 ἐλογίσθη V μυστηρίων T φυσϊκῶν N θεωρίων Y 4 ἄλλῳ—ἐμφαινόμενον om V 5 οὐκ ἔστη P οὐκ ἔστιν VCN (οὐ)τε corr in ras E^2 6 μιᾶς: ἡμετέρας v τοῦ alt om ER^{a}v 7 ἀπὸ: ἐπὶ N ἀκροτηρίων E(-ρωτ-)R^a v 8 μεθαλλόμενον P 9 καταγάσει N 10 ἐκ om ER^{a}v 12 ἐναναπαύσασθαι PV: ἐπαναπαύσασθαι CN ἐναναπαύεσθαι cett συναναπαύεσθαι v 13 δρεπομένη ER^{a}Vv non minus recte 14 ἀκμαῖα ὄντα: ἀκμάζοντα Σ ὥρια E(corr ὡραῖα E^2)VC: ὅρια N ὥρϊμα P ὡραῖα cett v 15 ἄλλα om Θ πρὸς ἀπόλαυσιν coll post χαρίζεται N 16 μουσικῶν ὀρνίθων: μΰστικῶν P 17 γενομένη ΛYSΘΣ δεξιοῖ Y 19 δι' ἑτέρων: δευτέρων Y φθεγγομένων N ἐπὶ τούτοις om P 20 ante τοῦ add ὡς ΛYSΘ 20-21 τὸ ἀκρότατον N 21 ἐφικομένη V 22 νοήσειεν V εἰδεῖν v

τῶν μὲν προδιηνυσμένων πέρας ἐστί, τῆς δὲ τῶν ὑπερκειμένων ἐλπίδος ἀρχὴ γίνεται· πάλιν γὰρ τῆς φωνῆς ἀκούει τῆς διακελευομένης τοῖς θηρευταῖς ἐπὶ σωτηρίᾳ τῶν λογικῶν ἀμπελώνων ἀγρεῦσαι τὰ βλαπτικὰ τῶν καρπῶν θηρία, τοὺς μικροὺς ἐκείνους ἀλώπεκας. καὶ τούτου γενομένου μεταχωρεῖ τὰ δύο εἰς ἄλληλα· ὅ τε γὰρ θεὸς ἐν τῇ ψυχῇ γίνεται καὶ πάλιν εἰς τὸν θεὸν ἡ ψυχὴ μετοικίζεται. λέγει γὰρ ὅτι Ἀδελφιδός μου ἐμοὶ κἀγὼ αὐτῷ, τῷ ἐν κρίνοις ποιμαίνοντι καὶ μετατιθέντι τὴν ἀνθρωπίνην ζωὴν ἀπὸ τῶν σκιοειδῶν φαντασμάτων ἐπὶ τὴν τῶν ὄντων ἀλήθειαν. ὁρᾷς εἰς ὅσον ἀναβέβηκεν ὕψος ἡ ἐκ δυνάμεως εἰς δύναμιν 892 M. κατὰ τὸν προφητικὸν λόγον πορευομένη, ὡς τοῦ ἀκροτάτου τῆς τῶν ἀγαθῶν ἐλπίδος τετυχηκέναι δοκεῖν· τί γὰρ ἀνώτερον τοῦ ἐν αὐτῷ γενέσθαι τῷ ποθουμένῳ καὶ ἐν ἑαυτῷ τὸν ποθούμενον δέξασθαι; ἀλλ' ὅμως ἐν τούτῳ γενομένη πάλιν ὡς ἐνδεὴς οὖσα τοῦ ἀγαθοῦ ὀδύρεται καὶ ὡς μήπω ἔχουσα τὸ τῇ ἐπιθυμίᾳ προκείμενον ἀμηχανεῖ τε καὶ δυσχεραίνει καὶ τὴν τοιαύτην τῆς ψυχῆς ἀμηχανίαν δημοσιεύει τῷ διηγήματι καὶ ὅπως εὗρε τὸ ζητούμενον ὑπογράφει τῷ λόγῳ.

Ταῦτα δὲ πάντα διὰ τῆς τῶν προκειμένων ἡμῖν ῥητῶν θεωρίας μανθάνομεν, δι' ὧν σαφῶς διδασκόμεθα τὸ μήτε

3-5 cf Cant 2, 15 (cf supra p 164,16-168, 5) 8-15 cf Cant 2, 16/7 (cf supra p 168, 6-170, 9) 11-12 cf Ps 83, 8

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τῶν pr om Y μὲν coll post προδιηνυσμένων T om SV δὲ om T(sed sscr) 2 ἀρχηγὸς ΛY γίγνεται Σ γὰρ: δὲ P 3-4 τῶν ἀμπελώνων τῶν λογικῶν v 4 βλαστικὰ N 5 γϊνομένου V 6 μεταχωρίζει P γὰρ om v 7 γινόμενος ER^{a}v ἡ ψυχὴ πρὸς τὸν θεὸν Θ 8 ante ἀδελφιδός add ὁ ΛYSΘV ἀδελφιδοῦς T ante αὐτῷ add ἐν Vv τῷ: τὸ YΛ(corr Λ^2) om PVCN ante κρίνοις add τοῖς ER^{a}Tv 9 μετατιθέντι R^{a}ΛYSΣVC^2(sscr τι): μετατεθέντι E μεταθέντι ΘPTC(corr C^2)Nv ante τὴν add πρὸς ER^a ζωὴν: φύσιν T 10 σκιωδῶν C τοῦ ὄντος V 12 πορευομένη λόγον ER^{a}v 13 τῆς om V(sscr V^2) 14 ἑαυτῷ ER^{a}PVT: αὐτὴ Σ ἑαυτῇ C^2(ex αὐτῶ) αὐτῷ cett v 15 γινομένη Θ 16 σχοῦσα T τὸ: τω Σ 17 τῆς ἐπιθυμίας T(ς bis eras) ἀμηχανεῖ τε: ἀμηχανεῖται P 19 τὸ: τὸν ΛY τὸν ποθούμενον Σ 20 πάντα om P ῥημάτων ΛY 21 διδασκώμεθα Σ τὸ: τω Σ μήτε: μὴ δὲ P

τινὶ πέρατι τὸ μεγαλεῖον τῆς θείας ὁρίζεσθαι φύσεως μήτε τι γνώσεως μέτρον ὅρον γίνεσθαι τῆς τῶν ζητουμένων κατανοήσεως, μεθ' ὃν στῆναι χρὴ τῆς ἐπὶ τὸ πρόσω φορᾶς τὸν τῶν ὑψηλῶν ὀρεγόμενον, ἀλλ' οὕτως ἔχειν τὸν διὰ τῆς τῶν ὑπερκειμένων κατανοήσεως ἐπὶ τὸ ἄνω τρέχοντα νοῦν, ὡς πᾶσαν τελειότητα γνώσεως τὴν ἐφικτὴν τῇ ἀνθρωπίνῃ φύσει ἀρχὴν γίνεσθαι τῆς τῶν ὑψηλοτέρων ἐπιθυμίας. καί μοι σκόπει δι' ἀκριβείας τὸν προκείμενον τῇ θεωρίᾳ λόγον τοῦτο προκατανοήσας ὅτι θάλαμός ἐστιν ἡ σωματικὴ τοῦ λόγου ὑπογραφὴ καὶ γαμική τις διασκευή, ἣ δίδωσι τῇ θεωρίᾳ τὰς ὕλας, ὧν ἡ φιλοσοφία πρὸς τὸ καθαρόν τε καὶ ἄϋλον μετενεγκοῦσα τὰς τῶν νοημάτων ἐμφάσεις διὰ τῶν ἐν αὐτοῖς ἐπιτελουμένων προάγει τὰ δόγματα τοῖς τῶν γινομένων αἰνίγμασι συγχρησαμένη πρὸς τὴν τῶν δηλουμένων σαφήνειαν. ἐπεὶ τοίνυν νύμφην μὲν ὑπέθετο τὴν ψυχὴν ὁ λόγος, ὁ δὲ ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ δυνάμεως παρ' αὐτῆς ἀγαπώμενος νυμφίος κατονομάζεται, ἀκολούθως ἡ

3 scil cum Aristot pugnat Gregorius permultis locis demonstrante ὅτι στῆναι χρή (cf Bonitz, Ind Arist p 348 a 42-52). cave ne hunc processum in infinitum mystici Christiani confundas cum ἐκστάσει Platonicorum.   5 τρέχοντα: cf I Cor 9, 24; Hebr 12, 1   6 cf Aristot Eth Nic K 7 p 1177 b 31 sqq   16-17 cf Deut 6, 5

ER^a ΛYSΘ Σ PVT CN Syr   1 ὁρίζεται R^a 2 γίγνεσθαι Σ   3 ὃν ΣC: ὃ cett v   τὸν: τῶν E (ut vid, postea 2 litt eras, corr E^2)   τῶν: τῶ N   4 τὸν: τῶν C (corr C^2)   τῶν om v   5 ὑπερκειμένης Vv   τὸ ΛYSΘΣ: τὸν cett v, de Syro non liquet (paraphr). Gregorium deum τὸν ἄνω νοῦν nominasse nunquam credes.   6 ἐφεκτὴν P   7 γενέσθαι ΛYSΘT   super ἐπιθυμίας sscr ἐπιφανείας P (scil var lect)   8 ἀκρίβειαν v   τῆς θεωρίας T   10 τις: τϊ P   διασκευὴ ἣ Σ: διασκευὴν (sic) N (ν inc, sed vix alt η) διασκευῆ C διασκευὴ cett v, fort διασκευὴ καὶ Syr (sed inc, paraphr). scil erat in archetypo ΔΙΑCKEYHH, quod archetypus codd CN et male legit pro — CKEYHN et transscripsit — CKEYH̄. cett aut lineolam super H neglexerunt aut om ἣ per haplographiam.   δίδως (sic) Σ   12 ἐν om ER^av   13-14 γενομένων N   14 χρησαμένη V   15 ἐπειδὴ ER^aTv   νύ· μφην E (post υ eras 1 litt) νύμφη R^a μὲν om CN ὑπετίθετο ΛYSΘ   τὴν ψυχὴν ὑπέθετο P   16 τε καρδίας T post καὶ alt eras 1 litt Θ   17 ἀγαπώμενος ΛYSΘ Syr: ἀγαπώμενος θεὸς cett v   ἡ ER^aΣPCN: τῇ T om ΛYSΘVv

ἐπὶ τὸ ἀκρότατον ὡς ᾤετο τῶν ἐλπιζομένων ἐλθοῦσα καὶ ἤδη πρὸς τὸν ποθούμενον ἀνακεκρᾶσθαι νομίσασα κοίτην ὀνομάζει τὴν τελειοτέραν τοῦ ἀγαθοῦ μετουσίαν καὶ νύκτα λέγει τὸν τῆς κοίτης καιρόν. διὰ δὲ τοῦ ὀνόματος τῆς νυκτὸς ἐνδείκνυται τῶν ἀοράτων τὴν θεωρίαν καθ' ὁμοιότητα Μωϋσέως τοῦ ἐν τῷ γνόφῳ γεγονότος ἐν ᾧ ἦν ὁ θεός, ὃς Ἔθετο, καθώς φησιν ὁ προφήτης, σκότος ἀποκρυφὴν αὐτοῦ κύκλῳ αὐτοῦ. ἐν ᾧ καταστᾶσα τότε διδάσκεται ὅτι τοσοῦτον ἀπέσχε τοῦ ἐπιβῆναι τῆς τελειότητος ὅσον οἱ μηδὲ τὴν ἀρχὴν ἐγχειρήσαντες· ἤδη γάρ φησιν ὡς τῶν τελείων ἀξιωθεῖσα καθάπερ ἐπὶ κοίτης τινὸς τῆς τῶν ἐγνωσμένων καταλήψεως ἐμαυτὴν ἀναπαύουσα ὅτε τῶν ἀοράτων ἐντὸς ἐγενόμην καταλιποῦσα τὰ αἰσθητήρια, ὅτε περιεσχέθην τῇ θείᾳ νυκτὶ τὸν ἐν τῷ γνόφῳ κεκρυμμένον ἀναζητοῦσα, τότε τὴν μὲν ἀγάπην πρὸς τὸν ποθούμενον εἶχον, αὐτὸ δὲ τὸ ἀγαπώμενον διέπτη τῶν λογισμῶν τὴν λαβήν· ἐζήτουν γὰρ αὐτὸν ἐπὶ τὴν κοίτην μου ἐν ταῖς νυξίν, ὥστε γνῶναι τίς ἡ οὐσία, πόθεν ἄρχεται, εἰς τί καταλήγει, ἐν τίνι τὸ εἶναι ἔχει· ἀλλ' οὐχ εὗρον αὐτόν. ἐκάλουν αὐτὸν ἐξ ὀνόματος ὡς ἦν μοι δυνατὸν ἐξευρεῖν ἐπὶ τοῦ ἀκατονομάστου ὀνόματα, ἀλλ' οὐκ ἦν ὀνόματος ἔμφασις ἡ καθικνουμένη τοῦ ζητουμένου.

4-6 cf Vita Moys p 317 A/B (Migne); cf Philo Post. Cain 14/15   6 cf Exod 20,21   7 Ps 17,12   19 sqq cf infra p 357,18 sqq

ER^a ΛYSΘ Σ PVT CN Syr   1 ante ἐλπιζομένων add ἐᾶ T (scil e dittographia ΕΛΕΛ archet sui)   ἐλθούσῃ T   2 ἴδη N   4 τῆς κοίτης: τοῦ σκότους v   5 τὴν coll ante τῶν Σ   6 ante Μωϋσέως add τοῦ ER^av   μωϋσέος ΛYSPVT μωσέως Σ μουσέως N   8 post αὐτοῦ add ἡ σκηνὴ αὐτοῦ V (scil e Ps 17, 12)   9 post τοῦ add μὴ T   τὴν τελειότητα C (corr C^2)   10 ἐγχειρίσαντες ΣC (corr C^2) N   11 τῆς om V (sscr V^2)   12 ἑαυτὴν VT   13 καταλειποῦσα E (corr E^2) ΣVC (corr C^2) ταβϊσθητήρια N (ταβϊ in fin lin)   14 τὸν: τῶν T (sed corr) C (corr C^2)   15 τὸν: τὸ ER^aPVCv   εἶχεν C (corr C^2) N   et αὐτὸ δὲ om et post τὸ sscr δὲ P   αὐτὸς Θ   16 τὸν λογισμὸν Σ   17 τὴν om ΛY   τῇ κοίτῃ ER^aSΘv τῆς κοίτης Σ   ταῖς om Σ   18 ἔρχεται NE (fort, eras ἔ et corr ἄ E^2)   ante εἰς add καὶ T ante ἐν add καὶ v   τὸ: τω Σ   20 μοι om P   ὀνόματα VTC Syr: ὄνομα ΛΘ, de S non liquet ὀνόματι P ὀνόματος R^aYΣNv om E (add ὀνόματος E^2) e P restituissem ὄνομά τι, nisi clausula obstaret.   21 τοῦ om v

893 M. πῶς γὰρ ἂν ὁ ὑπὲρ πᾶν ὄνομα ὢν διὰ τῆς ὀνομαστικῆς κλήσεως ἐξευρεθείη; οὗ χάριν φησὶν ὅτι Ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. τότε ἔγνων ὅτι τῆς μεγαλοπρεπείας, τῆς δόξης, τῆς ἁγιωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. διὸ πάλιν ἀνίστησιν ἑαυτὴν καὶ περιπολεῖ τῇ διανοίᾳ τὴν νοητήν τε καὶ ὑπερκόσμιον φύσιν, ἣν πόλιν κατονομάζει, ἐν ᾗ αἱ ἀρχαί τε καὶ κυριότητες καὶ οἱ ταῖς ἐξουσίαις ἀποτεταγμένοι θρόνοι ἥ τε τῶν ἐπουρανίων πανήγυρις, ἣν ἀγορὰν ὀνομάζει, καὶ τὸ ἀπερίληπτον ἀριθμῷ πλῆθος, ὃ τῷ τῆς πλατείας διασημαίνει ὀνόματι, εἰ ἄρα ἐν τούτοις εὑρεθείη τὸ ἀγαπώμενον. ἡ μὲν οὖν περιῄει διερευνωμένη πᾶσαν ἀγγελικὴν διακόσμησιν καὶ ὡς οὐκ εἶδεν ἐν τοῖς εὑρεθεῖσιν ἀγαθοῖς τὸ ζητούμενον τοῦτο καθ' ἑαυτὴν ἐλογίσατο· ἄρα κἂν ἐκείνοις ληπτόν ἐστι τὸ παρ' ἐμοῦ ἀγαπώμενον; καί φησι πρὸς αὐτούς· μὴ κἂν ὑμεῖς ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε; σιωπησάντων δὲ πρὸς τὴν τοιαύτην ἐρώτησιν καὶ διὰ τῆς σιωπῆς ἐνδειξαμένων τὸ κἀκείνοις ἄληπτον εἶναι τὸ παρ' αὐτῆς ζητούμενον, ὡς διεξῆλθε τῇ πολυπραγμοσύνῃ τῆς διανοίας πᾶσαν ἐκείνην τὴν ὑπερκόσμιον πόλιν καὶ οὐδὲ ἐν τοῖς νοητοῖς τε καὶ

1 cf Phil 2, 9; Eph 1, 21 2 Cant 3, 1 5-183, 3 cf Contra Eun Vol I (Jaeger) p 235, 4-237, 10 6-7 cf Col 1, 16 8 cf Hebr 12, 22 9 cf Luc 2, 13; cf Dan 7, 10

$E R^a$ ΛYSΘ Σ PVT CN Syr 1 ἂν om E (add in marg E^2) ΛYVCv ὀνομαστικῆς $E R^a$PTNv: ὀνοματικῆς ΣVC (corr C^2) om ΛYSΘ 2 εὑρεθείη P φησὶν om ΛY 3 e μου corr μοι C^2 4 τὴν δόξαν N 5 διανίστησιν $R^a E^2$ (sscr δι') Σv αὐτὴν ΣN post περιπολεῖ eras 3 litt E 6 κατονομάζει πόλιν Σ αἱ om ΛYSΘV τε om PVCN 7 post καὶ pr add αἱ PVTCN οἱ: ἡ C (corr C^2) ὑποτεταγμένοι PCN 8 οὐρανῶν N 8-10 καὶ τὸ—ὀνόματι in ras scr litt minoribus ead ut vid m V 9 ὑπερίληπτον P ante ἀριθμῷ add τῷ P ὃ: ὧ ΛY τῷ: τὸ T (sed corr) C 10 ἡ μὲν in ras $Λ^2$ ἡ: εἰ Y 11 περιήῃ C (corr C^2) περιείῃ V περι ··· E (3 fere litt eras et corr ῄει E^2) περιῆκε v εὐαγγελικὴν N 12 ὡς: ὅπου PNC (corr ὅτε C^2) ὅτε V οὐκ in ras $Λ^1$ vel $Λ^2$ οἶδεν YΘC (ut vid, corr C^2) 13 ἐλογήσατο R^a 15 ἡμεῖς VN εἴδεται N ἴδετε $E R^a$YVC v σιωπησάν (sic) R^a 16-17 ἐνδειξαμένοις P 17 κἀκείναις N^2 (corr α ex ο) ἐκείνοις P αὐτοῖς N 18 τ·ῆς T (1 litt eras) 19 οὐδὲ ἐν $R^a E^2$ (ἐ in ras in fin lin, ἐν in ras in initio lin) ΛSΘΣTv Syr: οὐδὲν ἐν YPVCN τε om VCN

ἀσωμάτοις εἶδεν οἷον ἐπόθησεν, τότε καταλιποῦσα πᾶν τὸ εὑρισκόμενον οὕτως ἐγνώρισε τὸ ζητούμενον, τὸ ἐν μόνῳ τῷ μὴ καταλαμβάνεσθαι τί ἐστιν ὅτι ἔστι γινωσκόμενον, οὗ πᾶν γνώρισμα καταληπτικὸν ἐμπόδιον τοῖς ἀναζητοῦσι πρὸς τὴν εὕρεσιν γίνεται. διὰ τοῦτό φησι Μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν ἀφεῖσα πᾶσαν τὴν κτίσιν καὶ παρελθοῦσα πᾶν τὸ ἐν τῇ κτίσει νοούμενον καὶ πᾶσαν καταληπτικὴν ἔφοδον καταλιποῦσα, τῇ πίστει εὗρον τὸν ἀγαπώμενον καὶ οὐκέτι μεθήσω τῇ τῆς πίστεως λαβῇ τοῦ εὑρεθέντος ἀντεχομένη, ἕως ἂν ἐντὸς γένηται τοῦ ἐμοῦ ταμιείου. καρδία δὲ πάντως τὸ ταμιεῖόν ἐστιν, ἣ τότε γίνεται δεκτικὴ τῆς θείας αὐτοῦ ἐνοικήσεως, ὅταν ἐπανέλθῃ πρὸς τὴν κατάστασιν ἐκείνην, ἐν ᾗ τὸ κατ' ἀρχὰς ἦν ὅτε ἐπλάσθη ὑπὸ τῆς συλλαβούσης. μητέρα δὲ πάντως τὴν πρώτην τῆς συστάσεως ἡμῶν αἰτίαν νοῶν τις οὐχ ἁμαρτήσεται.

Καιρὸς δ' ἂν εἴη πάλιν ἐπ' αὐτῆς τῆς λέξεως παραθέσθαι τὰς θείας φωνάς, ὥστε τοῖς θεωρηθεῖσιν ἐφαρμοσθῆναι τὰ ῥήματα· Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν

2-3 cf Vita Moys p 377 A (Migne) 5 Cant 3, 4 6-9 cf Contra Eun Vol I (Jaeger) p 242, 11-17 12-15 primam causam imagine matris adumbrare Gnostici pervolebant. itaque et in frgtt Evang sec Hebr spiritum sanctum matrem appellari invenimus, cuius rei notitiam ad Gregorium per Origenem venisse patet, cf Origen in Joh II 12 (p 67, 19 sqq) et Hom in Jer 15, 4 (p 128, 8 sqq) ad Jer 15, 10; cf etiam Ps 57, 4 et De Perf p 205, 22 sqq (Vol VIII, 1 Jaeger) 18 Cant 3, 1-4

$E R^a$ ΛYSΘ Σ PVT CN Syr 1 οἶδεν Vv om P οἷον: ὃν Tv ὃ P (sscr γρ ὧν) ἐπεπόθησεν ΣT 2 οὕτως om V (sscr V^2) ante τὸ pr add πᾶν Θ τὸ alt: τῶ C (corr C^2) N om v 3 τῷ μὴ om P in fin lin adscr E^2 (τῶ in ras, vocis quae suberat restat acc circumflexus, μὴ om E ut vid) ὅτι ἔστι om Syr 5 ante μικρὸν add ὡς VC^2 (add in marg) scil sec LXX 6 αὐτὸν N ἀφεὶς ἅπασαν YΛ (corr $Λ^2$) ἀφεῖσα ἅπασαν S ἐπελθοῦσα V 7 κτήσει N 8 εὑρῶν NC (corr C^2) τὸν: τὸ Tv 9 ἀφήσω T ··· σω E (corr in ras μεθή E^2) ἀντεχομένη om C 10 ἐν·τὸς E (1 litt eras) ταμείου CN 11 τὸ om N ταμεῖον TC γίγνεται Σ δϊκτικὴ N αὐτοῦ om $E R^a$v Syr 12 κατάσην C (sscr fort ead man στα) 13 ὅτ' ἂν ΘΣ 14 στάσεως Θ 15 νοῶν τις: νοοῦντες V ἁμαρτήσετε V 16 παρέθεσθαι Σ παραθῆναι V 17 θεωρηθεῖ N ἐφαρμόσαι ΛYSΘ 18-p 184, 9 ἐπὶ—με om V 18 ante κοίτην add τὴν P κοίτης SΘ ἐζήτησα ἐν νυξὶν P

ἡ ψυχή μου, ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. εὕροσάν με οἱ τηροῦντες οἱ κυκλοῦντες ἐν τῇ πόλει. μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε; ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με.

Ἐπὶ τούτοις πάλιν ὑπὸ φιλανθρωπίας καὶ ταῖς θυγατράσιν Ἰερουσαλὴμ διαλέγεται, ἃς ἐν τοῖς ἔμπροσθεν συγκρίσει τοῦ τῆς νύμφης κάλλους τοῦ παρεικασθέντος τῷ κρίνῳ
896 M. ἀκάνθας ὁ λόγος ὠνόμασε, καὶ διὰ τοῦ ὅρκου τῶν ἐν τῷ κόσμῳ δυνάμεων πρὸς τὸ ἴσον τῆς ἀγάπης διανίστησι μέτρον, ὥστε τὸ θέλημα τοῦ νυμφίου καὶ ἐπ' αὐτῶν ἐνεργὸν γενέσθαι. εἴρηται δὲ ἐν τοῖς φθάσασι τίς τε ὁ κόσμος, ἐν ᾧ αἱ ἰσχύες καὶ αἱ δυνάμεις, καὶ τί τὸ θέλημα τοῦ ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς ἀγαπωμένου, ὡς μὴ χρείαν εἶναι πάλιν διὰ τῶν

11-13 cf Cant 2, 2   16-18 cf supra p 132,10-135,6

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἡ ψυχή—9 καὶ εἰς: ἕως P ἐκάλεσα—4 αὐτόν alt om ΛYSΘ 2 καὶ οὐχ: οὐκ N μοι C^2(e μου) καὶ alt om Syr 3 καὶ pr om Syr 4 post αὐτὸν alt add ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέν μου Σ Syr 6 ἴδετε ER^{a}YΣ v 7 ηὗρον Σ post ἐκράτησα add et del αὐτησα Σ 8 οὐκ ἀφῆκα: οὐχ εὗρον N ἤγαγον N ἐς v 9 ante ταμιεῖον add τὸ ΛYΘΣ ταμεῖον TCN τῆς: τοῖς N 10 ante πάλιν add δὲ Syr καὶ om Syr 11 λέγεται E(adscr δια E^2) ἐν τοῖς om VT ante συγκρίσει add ἐν v 12 τοῦ παρεικασθέντος: τοῦ παρεικάσαμεν C(e τοῦ corr ἀκάνθαις C^2)N(post τοῦ sscr το N^2) παρεικάσαμεν (om τοῦ) PV τοῖς κρίνοις Syr 12-13 τῷ—ὠνόμασε om PVCN 13 ὁ λόγος: ὅλως v ὁρκίου ut vid E(corr E^2) τῶν: τῶ N corr N^2) 13-14 τῶν—δυνάμεων: τοῦ δευτέρου Syr 14 ἀγάπης: δυνάμεως Θ(in marg adnot ἀγ ····ς Θ^2, quod vix legi potest) διανέστης Σ 15 αὐτὸν Θ ἓν ἔργον V ἐνέριον C(corr C^2) ἀνέριον N γίνεσθαι ER^{a}NP(fort corr γίν e γεν)v 18 τε om TCN καὶ ψυχῆς om CN ἀγαπωμένω C(corr C^2) εἶναι: ἔχειν T εἶναη C^2(ex εἶναι vel εἶνα) διὰ τῶν: δι' ER^a v

αὐτῶν τὸν λόγον μηκύνεσθαι τῆς προθεωρηθείσης ἡμῖν ἐν τοῖς ῥήμασι διανοίας καὶ τὸ ἐν τῷ τόπῳ τούτῳ νοούμενον ἱκανῶς φανερούσης. ἀλλὰ πρὸς τὸ ἐφεξῆς τῷ λόγῳ προΐωμεν, εἴ πως γένοιτο δυνατὸν καὶ ἡμῖν συναναβῆναι τῇ τελείᾳ περιστερᾷ πρὸς τὸ ὕψος ἀνιπταμένῃ καὶ ἀκοῦσαι τῆς τῶν φίλων τοῦ νυμφίου φωνῆς ἐν θαύματι ποιουμένων τὴν ἀνάβασιν αὐτῆς τὴν ἐκ τῆς ἐρήμου, ὃ δὴ καὶ μᾶλλον πλεονάζει τοῖς θεαταῖς τὴν ἔκπληξιν, εἰ τοιαύτην ἡ ἔρημος ἀναδίδωσι, ὡς μιμεῖσθαι δένδρων κάλλος τῶν ἐν τῇ ἐρήμῳ διὰ τὸν ἀτμὸν τοῦ θυμιάματος γεωργουμένων. τὰ δὲ θυμιάματα σμύρνα καὶ λίβανος ἦν. τῷ δὲ ἀπὸ τούτων ἀτμῷ καὶ κονιορτός τις διὰ τῶν λεπτοποιηθέντων ἀρωμάτων συνηγείρετό τε καὶ συνανέβαινεν, ὡς ἀντὶ κόνεως εἶναι τῆς ἀνακεκραμένης πρὸς τὸν ἀέρα τὴν λεπτομερῆ τῶν ἀρωμάτων διάχυσιν, δι' ἧς ὄρθιος ὁ κονιορτὸς ἦν καὶ μετέωρος. ἔχει δὲ οὕτως ἡ λέξις· Τίς αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου ὡς στελέχη καπνοῦ τεθυμιαμένη σμύρνα καὶ λίβανος ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ; εἴ τις ἀκριβῶς ἐπιστήσειε τοῖς εἰρημένοις τὸν νοῦν, εὑρήσει τοῦ προκατανοηθέντος ἡμῖν δόγματος τὴν ἀλήθειαν· ὥσπερ γὰρ ἐν ταῖς πομπαῖς τῶν θεάτρων, κἂν οἱ αὐτοὶ ὦσιν οἱ τὴν προτεθεῖσαν αὐτοῖς ἱστορίαν ὑποκρινό-

16 Cant 3, 6

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τὸν λόγον: λόγων V Syr τῆς: τοῖς N προθεωρηθεῖσιν E(corr E^2)PTN 2 ῥητοῖς T καὶ om v τὸ: τῶ T(sed corr)C(corr C^2) τῷ om PN τούτῳ om ΛYSΘ τοῦτο ΣN 3 φερούσης P τὸ: τῶ V τῷ om V τοῦ λόγου v 4 εἴ πως: εἴπερ v καὶ ἡμῖν δυνατὸν Σ ὁμῖν (sic) N 4-p 186, 10 τῇ τελείᾳ—τελειότητος om N 5 ἀκούσωμεν Syr 6 ποιουμένους C(eras ς) 7 αὐτῆς ἀνάβασιν Σ δή: δὲ V καὶ om E(ins E^2) ante πλεονάζει eras 2 litt C(an ἔμ? spir et acc iam restant) 9 τὸν ἀτμὸν correxi: τῶν ἀτμῶν codd v, de paraphr Syr non liquet super ἀτμῶν sscr ἀσ P 10 γεωργουμένων E^2(5 litt corr in ras 11 λίβανον Σ 12 συνήγειρτο Σ 13 συνέβαινεν P ἀνακεκραμμένης ΛY 14 διά(χυσιν) corr in ras E^2 15 ἡ λέξις οὕτως Σ 16 ἐκ: ἀπὸ PT, sic omnes codd supra p 172, 10, sed cf supra lin 7 στελέγχη T τελέχη C 16-17 τεθυμιαμένα ΛY 21 αὐτοί: αὐτῶν Y προστεθεῖσαν Σ

μενοι, ὅμως ἕτεροι ἐξ ἑτέρων νομίζονται φαίνεσθαι οἱ τῇ διαφορᾷ τῶν προσωπείων τὸ εἶδος τὸ περὶ αὐτοὺς ἐναμείβοντες καὶ ὁ νῦν δοῦλος ἢ ἰδιώτης φαινόμενος μετ' ὀλίγον ἀριστεύς τε καὶ στρατιώτης ὁρᾶται καὶ πάλιν καταλιπὼν τὸ ὑποχείριον σχῆμα στρατηγικὸν εἶδος ἀναλαμβάνει ἢ καὶ βασιλέως μορφὴν ὑποδύεται, οὕτω καὶ ἐν ταῖς κατὰ τὴν ἀρετὴν προκοπαῖς οὐ πάντοτε τῷ αὐτῷ παραμένουσι χαρακτῆρι οἱ ἀπὸ δόξης εἰς δόξαν διὰ τῆς τῶν ὑψηλοτέρων ἐπιθυμίας μεταμορφούμενοι, ἀλλὰ πρὸς λόγον τῆς ἀεὶ κατορθωθείσης ἑκάστῳ διὰ τῶν ἀγαθῶν τελειότητος ἴδιός τις τῷ βίῳ χαρακτὴρ ἐπιλάμπει ἄλλος ἐξ ἄλλου γινόμενός τε καὶ φαινόμενος διὰ τῆς τῶν ἀγαθῶν ἐπαυξήσεως. διό μοι δοκοῦσι ξενίζεσθαι πρὸς τὸ φαινόμενον οἱ φίλοι τοῦ νυμφίου οἱ πρότερον μὲν αὐτὴν ἐγνωκότες καλὴν ἀλλ' ὡς ἐν γυναιξὶ καλήν, μετὰ ταῦτα δὲ δι' ὁμοιότητος χρυσίου μετὰ στιγμάτων ἀργυρίου τὸ κάλλος αὐτῆς ὡραΐζοντες. νυνὶ δὲ μηδὲν τῶν προλαβόντων σημείων περὶ αὐτὴν καθορῶντες ἀλλ' ἀπὸ τῶν ὑψηλοτέρων χαρακτηρίζοντες θαυμάζουσιν οὐ μόνον τὴν ἄνοδον ἀλλὰ καὶ ὅθεν ἀνέδραμεν· τοῦτο γάρ ἐστιν ὃ τὴν ἐπίτασιν ποιεῖ τῆς ἐκπλήξεως· μία ὁρᾶται ἡ ἀναβαίνουσα, καὶ ἄλσει δένδρων τὸ φαινόμενον παραβάλλεται· στελέχη γὰρ

8-9 cf II Cor 3, 18   14 cf Cant 1, 8   15-16 cf Cant 1, 11

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ὅμως ER^aTv Syr: om cett   2 προσώπων ΛYSΘ   3 καὶ om T Syr   ὁ om R^av   post ὁ add γὰρ Syr   νυνὶ Σ   ἢ: καὶ ER^aTv Syr   4 ἀριστεύς τε: ἀριστεύεται V ἀριστεὺ τὲ Y   καὶ πάλιν om E(in marg adscr E^2)   post πάλιν add ὁ ΛYSΘ   5 ἢ om T Syr(in paraphr)   6 κατὰ τὴν: κατ' Θ   7 περιμένουσι P   8 οἱ: ὁY ὁ:(sic) C(fort ι obscur)   εἰς δόξαν om v   9 τῆς om v   10 διὰ om v   ante τῶν add τῆς ΛYSΘv   10 τῷ βίῳ om ΛY coll post 11 χαρακτὴρ C   11 γενόμενος Σ   11-12 τε καὶ φαινόμενος om ER^av Syr   14 μὲν om V   14-15 ἀλλ'—καλήν om E(in marg adscr E^2)   15 καλήν: καλόν Y   δϊομότητος (sic) N   ὁμοιότητα v   16 ante ἀργυρίου add τοῦ ER^av   16-18 νυνὶ—χαρακτηρίζοντες om N   19 ἂν ἔδραμεν v   post ὃ add καὶ ΛYSΘ   τὴν alt om S   20 ποιεῖται ΛYSΘ   μία corr E^2 in ras   21 ἄλση ER^aΘPC(corr C^2)N ἄλσεσι Σ   δένδρον Σ   παραβάλλεται om Θ   στελέγχη T

ὁρᾶσθαι νομίζεται εἰς ὕψος ἀνατρέχοντα καὶ αὐξανόμενα, τὸ δὲ ὑποτρέφον τὰ στελέχη ταῦτα οὐ πίων τίς ἐστι γῆ καὶ κατάρρυτος, ἀλλ' αὐχμηρὰ καὶ διψώδης καὶ ἔρημος. τίνι τοίνυν ἐνριζοῦται τὰ στελέχη ταῦτα καὶ πόθεν αὔξεται; ῥίζα μὲν αὐτοῖς ἡ τῶν ἀρωμάτων κόνις ἐστίν, ἀρδεία δὲ ὁ ἐκ τῶν
897 M. θυμιαμάτων ἀτμὸς ἐπιδροσίζων διὰ τῆς εὐωδίας τοῦτο τὸ ἄλσος. ὅσον ἔπαινον περιέχει τῆς ἐπὶ τοῖς τοιούτοις μαρτυρηθείσης ὁ λόγος. τό τε γὰρ ἀλλήλους διερωτᾶν περὶ τῆς ὀφθείσης ὡς ἐν ἄλλῳ δεικνυμένης τω εἴδει καὶ οὐ κατὰ τὴν προτέραν μορφὴν ἐγκώμιόν ἐστι τῆς κατ' ἀρετὴν προκοπῆς τελεώτατον πολλὴν αὐτῇ μαρτυροῦν τὴν πρὸς τὸ κρεῖττον παραλλαγὴν καὶ μετάστασιν· ξενιζομένων γάρ ἐστιν ἡ φωνὴ παρὰ τὸ σύνηθες εἶδος ἐν θαύματι ποιουμένων τὴν ἐπανθοῦσαν μορφὴν ὅτι· αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου μέλαινα τὸ πρότερον ἡμῖν ἑωρᾶτο. πῶς τὴν σκοτεινὴν μορφὴν ἀπεκλύσατο; πῶς αὐτῇ χιονῶδες ἐπαστράπτει τὸ κάλλος; ἡ ἔρημός ἐστιν ὡς ἔοικεν αἰτία τούτων, ἡ καθάπερ τι ἔρνος ἀναδραμεῖν αὐτὴν εἰς ὕψος ποιήσασα καὶ πρὸς τὸ τοιοῦτον

1-2 et 17-18 cf Ilias 18, 56/7: ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος· τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῷ ἀλωῆς.   14-15 cf Cant 1, 5   16 cf Meleager Epigr (A.P. 12, 110): ἤστραψε γλυκὺ κάλλος; cf Plato Phaedr 254 b

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἐς v   αὐξόμενα ΣPV αὐξούμενα N obstat clausula formae usitatae.   2 ὑποτρέφων N ὑποστρέφον Y   τί P(sscr ς)C(adscr ς C^2)   2-3 καὶ τάρρυτος Y(corr κατάρ. om καὶ) κατάρυτος ΣC(corr C^2)   3 ante καὶ alt add τε ER^av   τίνι: τί Λ(corr $Λ^2$)YSΘ   4 ἐνριζοῦται SΘV: ἐνριζοῦνται TCN ἐρριζοῦται cett v   πόθεν P: ὅθεν cett v   5 αὐτῆς P   ἐκ om Syr   6 ἐπιδροσίζον ΘV   7 ἔχει N   τοῖς om V   post τοιούτοις add τε καὶ τοσούτοις ΛYSΘΣ   8 δεῖ ἐρωτᾶν NC (corr C^2) διερωτῶν Y διερατᾶν P(super α pr sscr ω) ἐ̣ρωτᾶν ut vid E(eras ἐ̣ et corr in ras διε E^2)   9 δεικνυμένη v   τῷ v   τὰ Y   10 ἐγκώνιον N   11 τελειότατον v   13 ἐπανε̣λ̣θοῦσαν P(ε̣λ̣ ut vid in corr)   14 ἡ ἀναβαίνουσα αὕτη P   15 πρότερον: πρὶν T   post ἑωρᾶτο add καὶ ΛYSΘΣ   16 χιωνίδες C(corr C^2)   ἐπιστράπτει P ἀπαστράπτει V   κάλλος: πρόσωπον ER^av   ἡ: ἣ EYCNv ἢ εἰ P   17 ὡς ἔοικεν om ER^a ἔοικεν αἰτία: ἐοικέναι τι Λ(corr $Λ^2$)YS   αἰτία τούτων om Θ   ἡ om PVCN ἢ Y   ad ἔρνος adnot in marg κλάδος $Θ^2$ 18 αὐτῆς ER^av om P   εἰς: τὸ ER^av   καὶ om E(ins E^2)

μεταβάλλουσα κάλλος· οὐ γὰρ ἐξ αὐτομάτου τινὸς συντυχίας οὐδὲ κατ' ἄκριτόν τινα ἀποκλήρωσιν γέγονεν αὐτῇ ἡ πρὸς τὸ ὕψος ἀναδρομή, ἀλλ' ἐξ οἰκείων πόνων δι' ἐγκρατείας τε καὶ ἐπιμελείας τὸ κάλλος ἐκτήσατο. οὕτω ποτὲ καὶ ἡ τοῦ προφήτου ψυχὴ διψώδης ἐγένετο τῆς θείας πηγῆς, ἐπειδὴ αὐτῷ ἡ σάρξ ἔρημός τε καὶ ἄβατος καὶ ἄνυδρος γενομένη τὸ θεῖον δίψος ἐν ἑαυτῇ παρεδέξατο. τὸ τοίνυν ἐκ τῆς ἐρήμου ἀναβαίνειν αὐτὴν μαρτυρίαν περιέχει τοῦ διὰ προσοχῆς τε καὶ ἐγκρατείας εἰς τοσοῦτον ὕψος ἀναδραμεῖν, ὡς καὶ τοῖς φίλοις τοῦ νυμφίου θαῦμα γενέσθαι, οἳ διὰ πολλῶν ὑποδειγμάτων τὸ κάλλος αὐτῆς ἑρμηνεύουσιν, ἐπειδὴ δι' ἑνὸς ἅπαν περιληφθῆναι οὐχ οἷόν τε ἦν· πρῶτον μὲν γὰρ στελέχει τὴν ὥραν εἰκάζουσι καὶ οὐδὲ τοῦτο ἑνί, ἀλλ' εἰς πλῆθος δένδρων ἄγεται τῶν ἐν αὐτῇ θαυμάτων ἡ εἰκασία, ὡς ἂν τὸ πολυειδὲς καὶ ποικίλον τῶν ἀρετῶν τῇ ὑπογραφῇ τοῦ ἄλσους διαδεικνύοιτο· εἶτα καπνὸς ἐκ θυμιαμάτων εἰς τὴν εἰκόνα τοῦ κάλλους παραλαμβάνεται καὶ οὐδὲ οὗτος ἁπλοῦς ἀλλὰ σμύρνης καὶ λιβάνου συγκεκραμένων, ὡς μίαν ἐξ ἀμφοῖν γενέσθαι τῶν ἀτμῶν τὴν χάριν, δι' ὧν τὸ τῆς νύμφης

5-7 cf Ps 62, 2

$E R^a$ ΛΥSΘ Σ PVT CN Syr 1 μεταβαλοῦσα S(in corr)ΘΣPVTE^2 (e -βαλλ-)R^a, obstat clausula 2 κατὰ κρεῖττον NCV(corr κρείττονα C^2V^2) κατὰ κρείττω P αὐτὴ N αὔτη Pv 3 τε om v 3-4 et ἐγκράτειαν et ἐπιμέλειαν v 4 καὶ ἡ corr E^2 in ras 5 διψώσα P(α corr fort ex ης) ἐγίνετο ΛΥΘ θείας πηγῆς ἐπειδή: (θεί)ας δίψης ἐπει(δὴ) C^2(corr in ras) 6 ἄβατος τε καὶ ἔρημος Σ γινομένη ΥΘ 8 ad ἀναβαίνειν adnot in marg inf ἀληθῶς ἐν γῇ ἐρήμω καὶ ἀβάτω καὶ ἀνύδρω ἤτοι ἀπαρακλήτω ἡ ψυχὴ διψᾷ τὸν θεόν. καὶ ἐν τῇ γῇ τῆς σαρκὸς τῇ ἀληθῶς ἐρήμω παθῶν (?) καὶ ἀβάτω ἐπιθυμίαις λογ(?)ϊσμῶν καὶ ἀνύδρω τῆς ὑγρόδους διαίτης καὶ ἀνομάλης C^2 παρέχει V προσευχῆς ΣP 9 ἐς v εἰ N, de E non liquet (E^2 in ras εἰς) τοιοῦτον Syr τοσοῦτον καὶ τοιοῦτον ER^av 10 γίνεσθαι T 12 γὰρ om P στελέχεσι E^2(-εσι ex -ει ut vid)R^av Syr 13 τὴν ὥραν: αὐτὴν Syr τοῦτο VT, fort Syr: τούτων ER^av τούτῳ cett 14 ἀγετη N ἐν αὐτῇ om P θαυνατων C 15 πολυειδὲς καὶ om N 16 ἐκ om Σ 17 οὕτως ἁπλῶς Syr 18 ἀλλὰ: ἀλλ' ἐκ E^2 (corr ἐκ in ras)R^av συγκεκραμένος ER^av 19 γίνεσθαι ER^av τὸν ἀτμὸν N super ἀτμῶν sscr ἀσ P

ὑπογράφεται κάλλος· ἄλλος ἔπαινος αὐτῆς ἡ τῶν ἀρωμάτων τούτων γίνεται μίξις· ἡ σμύρνα πρὸς τὸν ἐνταφιασμὸν τῶν σωμάτων ἐπιτηδείως ἔχει, ὁ δὲ λίβανος κατά τινα λόγον ἀφιέρωται τῇ τοῦ θείου τιμῇ. ὁ τοίνυν ἑαυτὸν μέλλων ἀνατιθέναι τῇ τοῦ θεοῦ θεραπείᾳ οὐκ ἄλλως ἔσται λίβανος τῷ θεῷ θυμιώμενος, εἰ μὴ πρότερον σμύρνα γένοιτο, τουτέστιν εἰ μὴ τὰ ἐπὶ τῆς γῆς ἑαυτοῦ μέλη νεκρώσειε συνταφεὶς τῷ ὑπὲρ ἡμῶν ἀναδεξαμένῳ τὸν θάνατον καὶ τὴν σμύρναν ἐκείνην τὴν εἰς τὸν ἐνταφιασμὸν τοῦ κυρίου παραληφθεῖσαν τῇ σαρκὶ τῇ ἰδίᾳ διὰ τοῦ νεκρῶσαι τὰ μέλη καταδεξάμενος. ὧν γενομένων πᾶν εἶδος τῶν κατ' ἀρετὴν ἀρωμάτων ἐν τῷ κύκλῳ τοῦ βίου καθάπερ ἐν θυΐᾳ τινὶ λεπτοποιηθέντων τὸν ἡδὺν ἐκεῖνον κονιορτὸν ἀπεργάζεται, ὃν ὁ ἀναλαβὼν ἐν τῷ ἄσθματι εὔπνους γίνεται τοῦ μεμυρισμένου πνεύματος πλήρης γενόμενος.

Μετὰ δὲ τὴν ἐπὶ τῷ κάλλει μαρτυρίαν οἱ φίλοι τοῦ νυμφίου καὶ παρασκευασταὶ τοῦ ἁγνοῦ θαλάμου καὶ τῆς καθαρᾶς

1-10 cf infra p 243, 2-21; 342, 11-344, 11 7 cf Col 3, 5; cf Rom 6, 4; Col 2, 12 8-9 cf Joh 12, 7; 19, 39/40 14 cf II Cor 2, 14-16

$E R^a$ ΛΥSΘ Σ PVT CN Syr 1-2 verba ἄλλος usque ad μίξις sic fere interpr est Syr: 'est autem gloria eius una cum reliqua parte aliorum aromatum'. id est nisi me fallo: et om ἄλλος ante ἔπαινος et add ἄλλων ante ἀρωμάτων et certe om τούτων, scil erat in exemplari ἄλλος per haplographiam om et postea inter lin add, quod vel interpres vel iam exemplar Graecum falso loco inseruit. 1 ἄλλος: ἀλλ' ὁ T ἡ om E(sscr E^2) 2 τούτων om ΘCN Syr(cf supra) γίγνεται Σ ante μίξις add ἡ ut vid E(eras) post σμύρνα add ἡ Σ ἐνταφισμὸν S (corr S^2) 3 ἐπιτηδείως: ἰδίως Θ(in marg add ἐπιτ $Θ^2$) 4 θεοῦ ER^aΘΣv Syr(ut vid, in paraphr) intellege τῇ τοῦ θείου τιμῇ = τῇ εὐχαριστίᾳ coll μέλλων ante ἑαυτὸν ΛΥΘ ante τοίνυν S θέλων PVCN 5 ἄλλος PN 6 τῷ θεῷ: τοῦ θεοῦ ΣT(sed corr) Syr 7 αὐτοῦ PΣ(coll post μέλη)v om CN 8 ὑπὲρ om v 9 ἐν τῷ ἐνταφιασμῷ v 10 διὰ om PVCN τοῦ: αὐτοῦ V τὸ T 11 ἐν τῷ: ἐκ τῶν R^a 12 καθάρπερ N θυσία PV 13 ἡδὺ C(sscr ν C^2) ὃν: ὧν N ὁ om E(sscr E^2)Pv λαβὼν ER^av 14 ἄθματϊ P ἄσματι CN γίγνεται Σ 15 πήρης E(sscr λ E^2) 16 δὲ TS(ut vid, evan) Syr: om cett v ἐπὶ: ἐν ER^aΘv 17 ἁγίου N

νύμφης προμνήστορες ὑποδεικνύουσιν αὐτῇ τῆς βασιλικῆς κλίνης τὸ κάλλος, ὡς ἂν μᾶλλον εἰς ἐπιθυμίαν τὴν νύμφην ἀγάγοιεν τῆς θείας τε καὶ ἀχράντου μετ' αὐτοῦ συμβιώσεως. 900 M. ἡ δὲ ὑπογραφὴ τῆς τοῦ βασιλέως κλίνης αὕτη ἐστίν, ἣν τῷ δεικτικῷ λόγῳ ὑπ' ὄψιν ἄγουσιν αὐτῇ δι' ὧν διεξέρχονται· λέγουσι γάρ· Ἰδοὺ ἡ κλίνη τοῦ Σαλωμών, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραήλ, πάντες κατέχοντες ῥομφαίαν, δεδιδαγμένοι πόλεμον· ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξίν. ὅτι μὲν οὖν οὐκ ἐκ τῆς ἱστορίας ὁ περὶ τῆς κλίνης λόγος ἐστί, παντὶ δῆλον ἂν γένοιτο διὰ τῶν σωματικῶς περὶ τοῦ Σολομῶνος ἱστορηθέντων, οὗ καὶ τὰ βασίλεια καὶ τὴν τράπεζαν καὶ τὴν λοιπὴν ἐν τῇ βασιλείᾳ διαγωγὴν μετὰ πάσης ἀκριβείας ὁ λόγος ὑπέγραψεν. καινὸν δέ τι καὶ παρηλλαγμένον εἶπε περὶ τῆς κλίνης οὐδέν, ὡς πᾶσαν ἀνάγκην εἶναι μὴ παραμεῖναι τῷ γράμματι τὴν ἐξήγησιν, ἀλλὰ διά τινος ἐπιμελεστέρας κατανοήσεως μεταλαβεῖν τὸν λόγον εἰς πνευματικὴν θεωρίαν τῆς ὑλικῆς ἐμφάσεως τὸν νοῦν ἀποστήσαντας. τίς γὰρ ἂν ἐξ ὁπλιτῶν ἑξήκοντα καλλωπισμὸς γένοιτο κλίνης νυμφικῆς, οἷς μάθημα μὲν τὰ φοβερὰ τοῦ πολέμου, κόσμος δὲ ἡ ῥομφαία

6-9 Cant 3, 7/8 12 βασίλεια: cf III Reg 7, 38-50 τράπεζα: cf III Reg 7, 34 (?) 13 τ.λ. διαγωγήν: cf III Reg 10, 14-29

ER^a ΛYSΘ Σ PVT CN Syr 2 ἐς v τὴν νύμφην coll ante εἰς ΛYSΘ 3 ἀγάγοιεν: ἀγάγῃ ἐκ N αὐτοὺς P 4 τοῦ om P αὐτή v 5 ante τῷ add ἐν V ὑπ' ὄψιν: ὑπόληψιν N αὐτὴ Σ αὐτὴν ΛYSΘ ἐξέρχονται P(sscr δι) διεξέρχεται T 6 Σαλωμών LXX: σαλομών E(corr σολ-E^2)R^aSΘVTC σολομῶν ΛYΣN σολομῶντος P(super ο pr sscr α, τος ex corr) 8 ῥομφαίαν: ῥομφαίας C ante πόλεμον add εἰς CN ante ῥομφαία add ἡ SΘ ῥομφαίαν V 9 οὖν om P 10 ἐκ: εἰς V 11 Σολομῶνος SΣTCN: σολομῶν R^a(sscr -τος R^{a2}) σολομῶντος cett v 14 et καὶ in fine lin adscr et eras 2 litt ante παρηλλαγμένον in initio lin E^2 εἰπεῖν PC(corr C^2)N 15 οὐδέν, ὡς: οὐδ' ἑνὸς N ὡς πᾶσαν: ἅπασαν C(ut vid, corr C^2) 16 διά om P(sed sscr) VC(sscr μετὰ C^2)N 17 μεταβαλεῖν ΘTΛ²(-βαλ- corr in ras) καταλαβεῖν N post εἰς add τὴν ΛYSΘ 18 ἀποστήσαντος C (corr C^2) ἀποστήσαντες Tv ἂν om Θ 19 ἐξόκοντα N 20 μαθήματα ER^av

προβεβλημένη τοῦ σώματος, θάμβος δὲ περὶ αὐτοὺς νυκτερινόν; (τὴν γὰρ φοβερὰν ἔκπληξιν τὴν ἐκ δειμάτων τινῶν νυκτερινῶν γινομένην διὰ τῆς τοῦ θάμβους λέξεως ὁ λόγος ἐνδείκνυται, ἣν τοῖς ὁπλίταις τούτοις προσεῖναι λέγει.) οὐκοῦν παντὶ τρόπῳ ζητητέον ἂν εἴη διάνοιάν τινα διὰ τῶν ῥητῶν τούτων τοῖς προτεθεωρημένοις ἀκόλουθον. τίς οὖν ἐστιν ἡ διάνοια; ἔοικε τὸ θεῖον κάλλος ἐν τῷ φοβερῷ τὸ ἐράσμιον ἔχειν ἀπὸ τῶν ἐναντίων τῷ σωματικῷ κάλλει δεικνύμενον· ἐνταῦθα μὲν γὰρ ἑλκτικὸν εἰς ἐπιθυμίαν ἐστὶ τὸ προσηνὲς τῇ ὄψει καὶ μειλίχιον καὶ πάσης φοβερᾶς τε καὶ θυμώδους διαθέσεως κεχωρισμένον, τὸ δὲ ἀκήρατον κάλλος ἐκεῖνο ἡ φοβερά τε καὶ κατάπληκτος ἀνδρεία ἐστίν. ἐπειδὴ γὰρ ἡ ἐμπαθὴς καὶ ῥυπῶσα τῶν σωμάτων ἐπιθυμία τοῖς τῆς σαρκὸς μέλεσιν ἐγκαθημένη καθάπερ τι σύνταγμα λῃστρικὸν ἐνεδρεύει τὸν νοῦν καὶ αἰχμάλωτον ἄγει πολλάκις πρὸς τὸ ἑαυτῆς βούλημα συναρπάσασα, ἐχθρὸν δὲ τῷ θεῷ τὸ γινόμενον, καθώς φησιν ὁ ἀπόστολος ὅτι Τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν, διὰ τοῦτο ἀκόλουθόν ἐστιν ἐκ τῶν

13-14 cf Rom 7, 5; 18; 23 14-16 cf Methodius De resurr II 4, 8(p 337, 15-21): ὁρᾷς γὰρ ὡς οἱ λογισμοὶ διὰ τὴν ἐνοικοῦσαν ἁμαρτίαν ἐν ἡμῖν ἔξωθεν ἐπισυνίστανται, καθαπερεὶ κύνες λυσσῶντες ἢ ἄγριοι καὶ θρασεῖς λησταὶ καθ' ἡμῶν ἀεὶ παρορμώμενοι . . . . . Ἄγε οὖν, μήποτε ὑπενδοῦσα ἁρπασθῇς, ὦ ψυχή, πρὸς αὐτῶν κτλ. 17-18 Rom 8, 7

ER^a ΛYSΘ Σ PVT CN Syr 1-2 νυκτερινός ER^aΘT νυκτερινήν Y 3 νυκτερινὴν Y om T γινομένων Σ θάμβου N 4 ἐνδείκνυται: ἐπισημαίνεται Σ αἰνίττεται V προσεῖναι CN 5 post τινα add τὴν Σ 6 ῥημάτων ER^av τοῖς om v προθεωρημένοις Λ(corr $Λ^2$)Y προτεθεωρουμένοις N 9 ὑποδεικνύμενον P ἐλεγκτικὸν v 10 τὸ om E(ins E^2) μείλιχον PVN μιλίχων C(corr C^2 μείλιχον) 11 ἀκήρατον δὲ ER^av 12 φοβερά: φορά P(sscr βε) κατάπληκτος V Syr('plena violentia', vel 'fortitudine'): ἀκατάληπτος Θ ἀκατάπληκτος cett v ad κατάπληκτος sens act cf Diod Sic 31,8 et quae exempla Blass-Debrunner(Neutest. Gramm. § 117, 1) adhibet 13 post ἐμπαθὴς add ἐκείνη P 14 τις C(eras ς) 16 ἑαυτ E(in fin pag, adscr ῆς E^2) corr βούλημα in ras in initio pag E^2 18 ante τῶν et add et eras τῆς C

ἐναντίων τῇ σωματικῇ ἐπιθυμίᾳ τὸν θεῖον ἔρωτα γίνεσθαι, ὥστε εἰ ταύτης καθηγεῖται ἔκλυσις καὶ ἄνεσις καὶ βλακώδης διάχυσις, ἐκεῖ τὴν ἐπίφοβόν τε καὶ κατάπληκτον ἀνδρείαν ὕλην τοῦ θείου ἔρωτος γίνεσθαι· τοῦ γὰρ ἀνδρώδους θυμοῦ τὸν τῆς ἡδονῆς λόχον καταπτοήσαντός τε καὶ φυγαδεύσαντος οὕτω τὸ καθαρὸν τῆς ψυχῆς ἀναφαίνεται κάλλος μηδενὶ πάθει σωματικῆς ἐπιθυμίας καταρρυπούμενον. οὐκοῦν ἀναγκαίως ἡ νυμφικὴ τοῦ βασιλέως κλίνη τοῖς ὁπλίταις ἐν κύκλῳ διαλαμβάνεται, ὧν ἡ τοῦ πολεμεῖν ἐμπειρία καὶ τὸ πρόχειρον ἔχειν ἐπὶ τοῦ μηροῦ τὴν ῥομφαίαν θάμβος καὶ ἔκπληξιν ἐμποιεῖ τοῖς σκοτεινοῖς λογισμοῖς τοῖς ἐν νυξί τε καὶ σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ λοχῶσί τε καὶ τοξεύουσιν.
901 M. ὅτι γὰρ ἀναιρετικὴ τῶν ῥυπαρῶν ἡδονῶν ἐστιν ἡ τῶν περιεστοιχισμένων τὴν κλίνην ἐξόπλισις, δῆλον ἂν γένοιτο διὰ τῆς ὑπογραφῆς τοῦ λόγου ὅς φησιν ὅτι Πάντες δεδιδαγμένοι πόλεμον, ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ· ἀληθῶς γὰρ εἰδότων ἐστίν, ὅπως ἀντιστρατεύεσθαι χρὴ τῇ σαρκί τε καὶ τῷ αἵματι, τὸ τὴν ῥομφαίαν τῷ μηρῷ ἔχειν ἐφηρμοσμένην. νοεῖ δὲ πάντως ὁ τῶν γραφικῶν αἰνιγμάτων

11 cf II Cor 10, 4; Rom 13, 12   12 cf Ps 10, 2   15-16 Cant 3, 8

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τῆς σωματικῆς ἐπιθυμίας ER^a ΛYSΘΣ(sed corr)v τῶν θείων Σ γενέσθαι TCN 2-4 ὥστε— γίνεσθαι om Λ(add in marg Λ^2) YSΘ 2 ἔκλυσις PVCN Syr(ut vid): λύσις cett v 3 ἐπίφοβόν: φοβερὰν Λ^2 in marg κατάπληκτον V Syr('cum gravitate'): ἀκατάπληκτον cett v, cf supra ad p 191, 12 4 γίγνεσθαι Σ 5 ἡδονῆς: δονῆς R^a λάχον P (sscr o) λόγον v τε καὶ φυγαδεύσαντος om P 6 φαίνεται T 7 post σωματικῆς add καὶ P add ἐστι R^a 8 νύμφη Λ(corr Λ^2) Y 9 ἐπειρία N καὶ: κατὰ YΣ 10 θάμβον Θ ἔμπληξιν T 11 σκοτουμένοις v πονηροῖς P(sscr σκοτεινοῖς) 12 τοῖς εὐθέσι Θ λογχώσει C(corr C^2) λοχοῦσι v τε om N 14 περιστοιχισμένων Pv ἂν: γὰρ P 15 ὅς: ὥς SΘ ὅτι: οἱ ΛYSΘ 15-16 διδαγμένοι Σ δεδειμένοι P(sed corr) 16 ante ῥομφαία add ἡ ΛYSΘ 18 τὸ Syr: ἐν τῷ codd v ante τῷ alt add ἐπὶ ER^aTv τῶν μηρῶν C(eras ν) 19 νεύει P(ut vid) ante αἰνιγμάτων add νοημάτων καὶ τῶν Σ Syr 19-193,1 coll αἰνιγμάτων post ἄπειρος E et coll αἰνιγμάτων post ἄπειρος et ante αἰνιγμάτων add νοημάτων καὶ R^aE^2(add inter col)v

οὐκ ἄπειρος ἔκ τε τῆς τοῦ μηροῦ μνήμης τὸ σημαινόμενον καὶ ὅτι ῥομφαία ὁ λόγος ἐστίν. ὁ τοίνυν τὸ φοβερὸν ὅπλον, λέγω δὲ τὴν τῆς σωφροσύνης ῥομφαίαν, διεζωσμένος οὗτός ἐστι τῇ ἀφθάρτῳ κλίνῃ ἐράσμιος, εἷς τῶν δυνατῶν Ἰσραὴλ καὶ τοῦ καταλόγου τῶν ἑξήκοντα ἄξιος. τὸν δὲ ἀριθμὸν τοῦτον ἔχειν μέν τινα μυστικὸν λόγον οὐκ ἀμφιβάλλομεν, ἀλλὰ μόνοις ἐκείνοις δῆλον, οἷς ἀποκαλύπτει τὰ κεκρυμμένα μυστήρια ἡ τοῦ πνεύματος χάρις, ἡμεῖς δὲ καλῶς ἔχειν φαμὲν τῶν προχείρων τοῦ λόγου νοημάτων ἐμφορηθέντας, καθὼς ἐπὶ τοῦ πάσχα νομοθετεῖ Μωϋσῆς τῶν προφαινομένων σαρκῶν ἐμφαγόντας ἀπολυπραγμόνητον ἐᾶσαι τὸ τοῖς ὀστέοις τῆς ἀσαφείας ἐγκεκρυμμένον. εἰ δέ τίς ἐστιν ἐπιθυμητὴς τῶν κρυφίων μυελῶν τοῦ λόγου, ζητείτω παρὰ τοῦ τὰ κεκρυμμένα τοῖς ἀξίοις ἀποκαλύπτοντος. ὡς δ' ἂν μὴ δοκοίημεν ἀγύμναστον παρατρέχειν τὸν λόγον μηδὲ καταρραθυμεῖν τοῦ θείου προστάγματος τοῦ ἐρευνᾶν τὰς θείας διακελευομένου γραφάς, οὑτωσὶ τὸν περὶ τῶν ἑξήκοντα λόγον διασκοπήσωμεν· δώδεκα ῥάβδοι κατ' ἀριθμὸν τῶν φυλῶν τοῦ Ἰσραὴλ

10-12 cf Exod 12, 9/10; Num 9, 12   16-17 cf Joh 5, 39   18 cf Num 17, 17

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἐκτε (sic) corr C^2 ex ἐκτὸς ut vid τὸ corr in ras E^2 2 ἐστὶν ὁ λόγος N τὸ coll ante ὅπλον PVC om N φοβερὸν: φορῶν PVCN 3 δὲ SPVCN Syr: δὴ cett v τὴν coll post σωφροσύνης Σ 4 post ἐστιν add ὁ R^aE^2(adscr in fin lin)Σv τῆς ἀφθάρτου κλίνης P ante Ἰσραὴλ et add et expunx τοῦ Λ 5 τῶν: τὸν PN post δὲ vel lac vel ras 2-3 litt P 6 ἔχει C(sscr ν C^2) μυστικὸν τινὰ Σ ἀμφιβαλλόμενον C(corr C^2) Syr 7 μόνοις om P(fort add in marg, sed legi nequit) 8 καλὸς C(corr C^2) ἔχει Y 9 νοημάτων τοῦ λόγου V (ἐμφορηθέντ)ας corr in ras E^2 10 τοῦ: τῷ v πάσχιο Λ μουσεῖς R^a 11 ἐάσασθαι P 13 μελῶν R^aN(sscr υ) τὰ om P 14 ὡς δ' ἂν δὲ (sic) VCN ὡσὰν δὲ P δ' om E(sscr E^2) δοκείημεν P δοκείην μὲν N ad formam optat cf ex. gr. Eur Hel 1010 ἀδικοίημεν (cf Schwyzer, Griech. Gramm. I p 796, adnot 3) 16 τοῦ alt om PVCN 16-17 θείου διακελευομένας N ἐγκελευομένου P om E(add in marg inf διακ. E^2) 17 οὑτωσὶ: οὕτως εἰς PVC(corr C^2)N τὸν: τῶν N τῶν: τὸν ER^aYPC(corr C^2)N τὸ v 17-18 διασκοπήσομεν ER^aΘ λόγον coll post διασκ. ER^av 18 καταριθμῶν N τοῦ om Σ

κατὰ πρόσταγμα θεῖον παρὰ τοῦ Μωϋσέως λαμβάνονται, ἀλλὰ μία τῶν πασῶν προετιμήθη μόνη παρὰ τὰς ἄλλας βλαστήσασα. πάλιν παρὰ τοῦ τοῦ Ναυὴ Ἰησοῦ ἰσάριθμοι ταῖς φυλαῖς τοῦ Ἰσραὴλ λίθοι ἐκ τοῦ Ἰορδάνου λαμβάνονται, ὧν οὐδὲ εἷς ἀπόβλητος γίνεται πάντων ὁμοτίμως εἰς μαρτυρίαν τοῦ κατὰ τὸν Ἰορδάνην μυστηρίου παραληφθέντων. καὶ πολὺ τὸ ἀκόλουθον ἐν τοῖς ἱστορουμένοις ἐστίν· προκοπὴν γάρ τινα τοῦ λαοῦ πρὸς τὸ τελειότερον ὁ λόγος ἐνδείκνυται, ὡς ἐν ἀρχαῖς μὲν τῆς νομοθεσίας μίαν εὑρεθῆναι ῥάβδον ζῶσάν τε καὶ βλαστάνουσαν, τὰς δὲ λοιπὰς ὡς ξηράς τε οὔσας καὶ ἀκάρπους ἀποβληθῆναι. πλείονος δὲ διαγεγονότος χρόνου καὶ τῶν νομικῶν αὐτοῖς παραγγελμάτων ἐν ἀκριβεστέρᾳ κατανοήσει γεγενημένων, ὡς καὶ τὴν ἐκ δευτέρου περιτομὴν τὴν παρὰ τοῦ Ἰησοῦ αὐτοῖς ἐπαγομένην καὶ νοῆσαι καὶ δέξασθαι τῆς πετρίνης μαχαίρας περιελούσης αὐτῶν πᾶν τὸ ἀκάθαρτον (νοεῖ δὲ πάντως ὁ συνετὸς ἀκροατὴς τῆς τε πέτρας καὶ τῆς μαχαίρας τὸ σημαινόμενον), εἰκὸς ἦν βεβαιωθείσης ἐν αὐτοῖς τῆς νομίμου τε καὶ ἐναρέτου ζωῆς μηδένα τῶν λίθων τῶν ἐπ᾽ ὀνόματι τῶν Ἰσραηλιτικῶν φυλῶν παραληφθέντων εὑρεθῆναι ἀπόβλητον. ἐπεὶ δὲ χρὴ πάντοτε τῶν ἀγαθῶν τὰς ἐπαυξήσεις ἐπιζητεῖν, ὅτε προῆλθεν ὁ

2-3 cf Num 17, 23 3-6 cf Josua 4, 2-9; 20 13-16 cf Josua 5, 2-9 (sec cod Alexandr!) 20-21 cf supra p 174, 8/9

ERa ΛYSΘ Σ PVT CN Syr 1 μωυσέος ΛYPVT μωσέως CN μώσεος S 2 μόνη om E (adscr in fin lin E2) post μόνη add ἡ Σ παρὰ τὰς ἄλλας om Syr 3 τοῦ τοῦ correxi: τῷ τοῦ Σ τῷ PVN τῶν C (corr τῷ τοῦ C2) τοῦ cett v ναβὴ Ra ναβεῖ N ναοῦμ YΛ (ut vid, corr Λ2) 4 ταῖς—λίθοι om C (adscr in marg λίθοι C2) 5 ὧν: ὃν C (corr C2) γίγνεται Σ 6 ληφθέντων ΛYSΘ 7 καὶ πολὺ: πολὺ δὲ Syr ἱστορημένοις Θ προτροπὴν P 12 αὐτοῖς om P ἐν om Θ 14 τὴν om Ra e παρὰ corr περὶ ut vid N καὶ pr om ΛYSΘ 15 αὐτὸν NΛ (ut vid, corr Λ2) om P τὸ om Θ 16 πάντων Ra συνεστὸς T συνεστὼς v ἀκροα C (sscr τὴς C2) τε om RaΛYSΘV 17 μαχαίρης C (corr C2) N ante εἰκὸς add ὡς RaE2 (sscr) v add ὃ Σ 19 ἰσραηλιτῶν PVC (corr C2) Nv 20 παρὰ τῶν ληφθέντων Σ ἐπεὶ δὲ: ἐπειδὴ Λ (corr Λ2) YSΘ 21 ἐπιζητήσεις ἐπαυξεῖν N ζητεῖν ΛYSΘ προσῆλθεν P

χρόνος, καὶ ἡ δύναμις τοῦ Ἰσραὴλ μείζων ἐγένετο· οὕτω γάρ φησιν ἐν τοῖς προκειμένοις ἡμῖν ῥητοῖς ὁ λόγος ὅτι ἀπὸ δυνατῶν Ἰσραὴλ τότε οὐκέτι εἷς ἀπὸ φυλῆς λίθος ἢ μία ῥάβδος
904 M. λαμβάνεται, ἀλλὰ πέντε ἀντὶ ῥάβδων ἢ λίθων ἀφ᾽ ἑκάστης φυλῆς ἄνδρες πολεμισταί, δεδιδαγμένοι πόλεμον, αἴροντες ῥομφαίαν, ἀπὸ δυνατῶν Ἰσραὴλ τὴν θείαν κλίνην περιστοιχίζονται, ὧν διὰ τοῦτο οὐδεὶς ἀπόβλητος γίνεται, διότι πάσης φυλῆς ἀπαρχὴ οἱ πέντε γίνονται, ὧν ὁ ἀριθμὸς δωδεκάκις κεφαλαιούμενος τὸ πλήρωμα ποιεῖ τῶν ἑξήκοντα. χρὴ τοίνυν πέντε ἀφ᾽ ἑκάστης φυλῆς φοβεροὺς ὁπλομάχους φύλακας τῆς τοῦ βασιλέως κλίνης γενέσθαι, ὡς, εἴ γε λείποι τῷ ἀριθμῷ τῶν πέντε, ἀπαράδεκτον εἶναι καὶ τὸ λειπόμενον.

Ἆρ᾽ ἔστι λοιπὸν κατατολμῆσαι τοῦ ἐνθυμήματος, πῶς ἀφ᾽ ἑκάστης φυλῆς οἱ πέντε ὁπλίζονται, ἵνα τῆς βασιλικῆς κλίνης φύλακες γένωνται, πῶς ἕκαστος τῶν πέντε τούτων φοβερὸς τοῖς ἀντιτεταγμένοις διὰ τῆς ὁπλίσεως γίνεται τὴν ῥομφαίαν τοῦ μηροῦ προβαλλόμενος; ἢ δῆλόν ἐστιν ὅτι ὁ εἷς ἄνθρωπος οἱ πέντε οὗτοι ὁπλῖταί εἰσιν ἑκάστης αἰσθήσεως

ERa ΛYSΘ Σ PVT CN Syr 1 μεῖζον V ἐγίνετο P 2 ῥητοῖς ἡμῖν V 3 δυνατῶν om v 4 παραλαμβάνεται P πέντε: πάντες Λ (corr Λ2) YΘN 5-6 αἴροντες ῥομφαίαν coll post Ἰσραὴλ v 6-7 περιστοιχίζοντες ERaTNv, sed Gregorius praefert formam mediam (cf supra p 192, 14) 7 ὧν: ὡς Σ τούτων ERa 8 γίγνονται Σ 11 φύλας Σ (sscr ακ Σ2) 12 λίποι ΛY λίπη P 14 ἆρ᾽: ὥρα V κατατολμῆσαι λοιπὸν ERav ἐγχειρήματος N 15 φυλῆς οἱ om V βασικῆς E (sscr λι E2) 17 τοῖς ὁπλίταις N γίγνεται Σ γίνονται E (corr E2) 18 ante τῷ μηρῷ (sic) add αὐτοῦ Σ 19-p 196, 1 ὁ εἷς — κατά-(πληξιν) om YΛ (et add in marg ὅτι ὁ εἷς — εἰς et eras ὅτι, quod scripserat pr m, et corr in ras κατα Λ2) 19 ἄνθρωπος restitui: λίθος codd v Syr ὁπλῖται οὗτοι ERaΛYv post εἰσιν add τουτέστι δὲ αἱ πέντε αἰσθήσεις Syr erat, nisi fallor, in exemplari pervetusto (auserim dicere in autographo Gregorii) scriptum ĀNOC, quod ita laesum, ut videretur esse AIIOC, a scribis per errorem legebatur ΛIθOC. formam angustam litterae θ persaepe in papyris invenies. quod ad sensum cf infra p 197, 12/3. λίθος e lin 3 inrepsisse apparet. hic tolerari non potest. interpreti Syr quam intellexit corruptelam, ut sanaret, parum successit.

τὴν πρόσφορον ἑαυτῇ ῥομφαίαν εἰς κατάπληξιν τῶν ἐναντίων προβαλλομένης; ὀφθαλμοῦ ῥομφαία τὸ διὰ παντὸς ὁρᾶν πρὸς τὸν κύριον καὶ ὀρθὰ βλέπειν καὶ μηδενὶ τῶν ῥυπαρῶν θεαμάτων καταμολύνεσθαι, ἀκοῆς ὅπλον ὡσαύτως ἡ τῶν θείων διδαγμάτων ἀκρόασις καὶ τὸ μηδέποτε μάταιον λόγον ἐν ἑαυτῇ παραδέξασθαι. οὕτως ἔστιν ὁπλίσαι καὶ τὴν γεῦσιν καὶ τὴν ἁφὴν καὶ τὴν ὄσφρησιν τῇ τῆς ἐγκρατείας ῥομφαίᾳ καταλλήλως ἑκάστην τῶν αἰσθήσεων θωρακίζοντα, δι' ὧν γίνεται θάμβος καὶ ἔκπληξις τοῖς σκοτεινοῖς ἐχθροῖς, ὧν καιρὸς εἰς τὴν κατὰ τῶν ψυχῶν ἐπιβουλὴν ἡ νὺξ γίνεται καὶ τὸ σκότος. ἐν ταύτῃ γὰρ εἶπεν ὁ προφήτης τὰ θηρία τοῦ ἀγροῦ τὴν πονηρὰν βρῶσιν ἑαυτοῖς ἐκ τῶν τοῦ θεοῦ ποιμνίων περιεργάζεσθαι· Ἔθου γάρ, φησί, σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυόμενοι ἁρπάσαι. ἐπειδὴ τοίνυν Ἰσραὴλ γίνεται πᾶς ὁ σῳζόμενος (Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ, ἀλλ' ὅσοι βλέπουσι τὸν θεὸν ἐκ τῆς ἐνεργείας

5-6 cf Exod 23, 1   13-15 Ps 103, 20/21   16 Rom 9, 6   17 cf Origen De princ IV 3, 8 (p 334, 16 sqq): '. . . intellegimus genus

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἑαυτὴν N   2 ῥομφαιαν P ῥομφαῖ N   ὁρᾶν om P   3 μηδὲν T   4 τῶν om v   4-5 τῶν διδαγμάτων τῶν θείων V   5 δογμάτων ΛYSΘ   6 αὐτῇ ΛSv αὑτῇ ER^{a}YΘ   δέξασθαι v   7 τὴν tert om ER^a τῇ: τὰ Θ   9 ἐχθροῖς: λογισμοῖς ER^{a}v   10 ὧν: ὧς R^a ante καιρὸς add ὁ T   ἡ: εἰ PE(? fort, eras et corr E^2)   11 καὶ om PVCN   τὸ om Σ   τὸ σκότος om V   ταύτῃ: αὐτῇ Σ   12 ἀγροῦ: δρυμοῦ P Syr, scil e Ps 103, 20 (cf infra 15)   πονηρὰν om Σ   ἑαυτοῖς βρῶσιν T   αὐτοῖς P   14 ἐγέ(νετο) corr in ras C^2 διελεύσεται ΘT   15 δρυμοῦ: ἀγροῦ C(scil e lin 12)   σκύμνοι—ἁρπάσαι: καὶ τὰ λοιπὰ Syr om ΛYSΘ   et ante et post σκύμνοι add οἱ PV ante σκύμνοι add οἱ N   ὀρυόμενοι N   ante ἁρπάσαι add τοῦ v   ἁρπάσαι ER^{a}v: om cett   id est: in exemplari pervetusto (fort autogr Gregorii) versus 21 Ps 103 non usque ad finem descriptus erat adhibito 'etc' (cf Syr), scribae versum sua sponte compleverunt. dubium non est, quin Gregorius etiam verba quae sequuntur (καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν αὐτοῖς) auditoribus declamaverit. nota bene Syr alibi compendio illo καὶ τὰ λοιπά numquam sua sponte uti   17 οὗτοι: οὔτε N   Ἰσραήλ ER^{a}ΣTv Syr: ἰσραηλῖται cett

κυρίως τῇ προσηγορίᾳ ταύτῃ κατονομάζονται), ἴδιον δὲ τοῦ ὁρῶντός ἐστι τὸν θεὸν τὸ μηδενὶ τῶν αἰσθητηρίων πρὸς ἁμαρτίαν βλέπειν (οὐδεὶς γὰρ δύναται πρὸς δύο κυρίους ὁρᾶν, ἀλλὰ χρὴ τὸν ἕνα μισηθῆναι πάντως, εἰ μέλλοι ἀγαπᾶσθαι ὁ ἕτερος), τούτου χάριν μία κλίνη τοῦ βασιλέως γίνεται πᾶν τὸ σῳζόμενον· εἰ γὰρ πάντες ὄψονται τὸν θεὸν οἱ καθαροὶ τῇ καρδίᾳ γενόμενοι, οἱ δὲ τὸν θεὸν ἰδόντες Ἰσραὴλ κυρίως γίνονταί τε καὶ ὀνομάζονται, δώδεκα δὲ διαιρεῖται φυλαῖς κατά τινα λόγον ἀπόρρητον τοῦτο τὸ ὄνομα, καλῶς τὸ πλήρωμα τῶν σῳζομένων τῷ ἀριθμῷ τῶν ἑξήκοντα κεφαλαιοῦται ἑνὸς μὲν ἀφ' ἑκάστου μέρους λαμβανομένου, εἰς πέντε δὲ ὁπλίτας κατὰ τὸν ἀριθμὸν τῶν αἰσθήσεων τοῦ ἑνὸς τούτου μεριζομένου. οὐκοῦν πάντες οἱ τὴν θείαν ἐνδυσάμενοι πανοπλίαν μίαν κυκλοῦσι τοῦ βασιλέως κλίνην εἰς Ἰσραὴλ οἱ πάντες γενόμενοι καὶ διὰ τῶν δώδεκα φυλῶν τῆς πενταχῇ νοουμένης ἀριστείας εἰς τὸν ἀριθμὸν τῶν ἑξήκοντα πάντως
905 M. ἀνακεφαλαιουμένου τοῦ τῶν ἀριστέων πληρώματος μία παράταξις καὶ στρατὸς εἷς καὶ μία κλίνη, τουτέστιν ἐκκλησία μία καὶ λαὸς εἷς καὶ νύμφη μία οἱ πάντες γενήσονται ὑφ' ἑνὶ

esse animarum, quae Israhel nominantur, secundum quod et nominis ipsius designat interpretatio: Israhel namque 'mens videns deum' vel 'homo videns deum' interpretatur.' cf ibid p 341, 15/6
3-5 cf Matth 6, 24~Luc 16, 13   6 cf Matth 5, 8   8-9 ad Origen Comm spectare videtur   13-14 cf Eph 6, 11

ER^a ΛYSΘ Σ PVT CN Syr 1 δὲ om N   3 ἁμαρτίαν: ἡδονὴν Θ   κυρίως T   4 πάντος N om v   μέλοι N μέλλει R^{a}PTv   5 γίγνεται Σ   γίνεται coll ante τοῦ T   post βασιλέως (in fine pag) add in marg inf εἴπερ τὸν θεὸν κατιδεῖν ποθεῖς φίλος. αἰσθητικὴν ἅπας ἂν ἀπόθου βλάβην T   6 οἱ R^{a}E^2(sscr)v Syr: om cett   7 γινόμενοι VT   εἰδότες VE(ut vid, corr E^2)   8 τε om PC (add C^2)   10 ἑξήκοντα: ἑπτὰ YΛ(?, corr in ras Λ^2)   11 παραλαμβανομένου T   12 (ἀριθ)μὸν om R^a in fin lin   13 τούτου om Σ   τὴν om v   14 βαλέως E   ante κλίνην add τὴν V   εἷς om ER^{a}v   οἱ om v   15 γινόμενοι ΣPV   πανταχῇ ΘVC (corr C^2)NvSyr   πανταχοῦ P   16 τῶν: τὸν R^{a}NC(corr C^2)   πάντως ΣVC: πάντας T πάντα Y παντὸς cett v Syr   19 ante οἱ eras 2 vel 3 litt C

ταξιάρχῃ καὶ ἐκκλησιαστῇ καὶ νυμφίῳ πρὸς ἑνὸς σώματος κοινωνίαν συναρμοζόμενοι. τὸ δὲ κλίνην τὴν ἀνάπαυσιν εἶναι τῶν σῳζομένων καὶ ἐκ τῆς τοῦ κυρίου φωνῆς διδασκόμεθα, ὅς φησι πρὸς τὸν ἀναιδῶς ἐν νυκτὶ θυροκρουστοῦντα ὅτι Ἤδη ἡ θύρα κέκλεισται καὶ τὰ παιδία μετ' ἐμοῦ ἐπὶ τῆς κοίτης ἐστίν. καλῶς δὲ τοὺς διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τὸ ἀπαθὲς ἑαυτοῖς κατορθώσαντας παιδία κατονομάζει ὁ λόγος δόγμα διὰ τούτων ἡμῖν ὑφηγούμενος, ὅτι τὸ ἐξ ἐπιμελείας προσγινόμενον ἡμῖν ἀγαθὸν οὐκ ἄλλο τί ἐστι παρὰ τὸ ἐξ ἀρχῆς ἐναποτεθὲν τῇ φύσει· ὅ τε γὰρ τῷ μηρῷ τὴν ῥομφαίαν διαζωσάμενος διὰ προσοχῆς τοῦ κατ' ἀρετὴν βίου τὸ πάθος ἀπεσκευάσατο τό τε νήπιον τῇ ἡλικίᾳ ἀναισθήτως ἔχει τοῦ τοιούτου πάθους· οὐ γὰρ χωρεῖ τὸ πάθος ἡ νηπιότης. οὐκοῦν ταὐτόν ἐστιν ὁπλίτας τε περὶ τὴν κλίνην εἶναι μαθεῖν καὶ νήπια ἐπὶ τῆς κοίτης ἀναπαυόμενα· μία γὰρ ἐπ' ἀμφοτέρων ἡ ἀπάθεια τῶν τε μὴ παραδεξαμένων καὶ τῶν ἀπωσαμένων τὸ πάθος· οἱ μὲν γὰρ οὔπω ἔγνωσαν, οἱ δὲ πρὸς τὴν τοιαύτην κατάστασιν ἑαυτοὺς ἐπανήγαγον στραφέντες καὶ παιδία τῇ ἀπαθείᾳ γενόμενοι, ὡς μακάριον τὸ ἐν τούτοις

1-2 cf I Cor 10, 16/7; Eph 5, 30/1 5 Luc 11, 7 6 cf II Cor 6, 7

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 ταξιάρχῳ v R^{a}(? fort, sed corr R^{a2}) post ταξιάρχῃ fort 1 litt eras E 2 κοινωνίας C(corr C^{2}) προσαρμοζόμενοι v τὴν om v 3 κυρίου ΣPVTCN Syr: θεοῦ cett v 4 ὅς: ὡς SΘ τὸν om P 5 θύρα μου κρούεται P (sscr γρ κέκλεισται) 6 post κοίτης add μου P 7 ἑαυτῆς P ἐν αὐτοῖς Σ Syr om ER^{a}v 8 δόγμα om v, fort recte. potest esse adnotatio in marg archetypi eiusdem fere generis ac ὡραῖον illud famosum, quo codd iam abundant. διὰ τούτου τοῦ δόγματος Syr(scil interpr) τούτων: τῶν τοιούτων Σ ἡμῖν om ΛYSΘ ὑμῖν N 9 ἡμῖν coll ante προσγινόμενον ER^{a}v coll post ἀγαθὸν S 10 ὅτε v τῷ μηρῷ om ER^{a}v 11 διεζωσμένος Σ super διὰ προσοχῆς sscr καὶ καθάρσεως P 12 ante τό alt add καὶ νήπιον ἐγένετο Syr τότε v τῇ ἡλικίᾳ ΛYSΘP Syr: τῆς ἡλικίας cett v 13 ἔχειν N ante τὸ add τοῦτο Syr νηπιότης: ἀωρία τῆς ἡλικίας ER^{a}v 15 τῆς om Θ κοίτης: κλίνης v ἀναπαυομένου P 16 ἡ om Y τε μή: μήτε ΛYSΘ 17 ἐπέγνωσαν T post ἔγνωσαν add αὐτὸ Syr 18 τοιαύτην: πρώτην R^{a}E^{2}(πρώ in ras)Σv τούτων Syr ἐπανῆγον Θ 19 τῇ: τῷ V

εὑρεθῆναι ἢ παιδίον ἢ ὁπλίτην ἢ ἀληθινὸν Ἰσραηλίτην γενόμενον, ὡς μὲν Ἰσραηλίτην ἐν καθαρᾷ καρδίᾳ τὸν θεὸν ὁρῶντα, ὡς δὲ ὁπλίτην ἐν ἀπαθείᾳ καὶ καθαρότητι τὴν τοῦ βασιλέως κλίνην, τουτέστιν τὴν ἑαυτοῦ καρδίαν φυλάσσοντα, ὡς δὲ παιδίον ἐπὶ τῆς μακαρίας κοίτης ἀναπαυόμενον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος ζ'

Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμὼν (3,9)
ἀπὸ ξύλων τοῦ Λιβάνου,
Στύλους αὐτοῦ ἐποίησεν ἀργύριον (10)
καὶ τὸ ἀνάκλιτον αὐτοῦ χρυσίον,
ἐπιβάσεις αὐτοῦ πορφύραν,
ἐντὸς αὐτοῦ λιθόστρωτον
ἀγάπην ἀπὸ θυγατέρων Ἰερουσαλήμ.
Ἐξέλθετε καὶ ἴδετε, θυγατέρες Σιών, (11)
ἐν τῷ βασιλεῖ Σαλωμών,
ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ
ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 Ἰσραὴλ Syr 2 γενόμενον—Ἰσραηλίτην om ΘPVTCN ante ὡς add καὶ Syr Ἰσραὴλ Syr 3 δὲ: μὲν PVTCN 5 δὲ om N 6 τῷ κυρίῳ ἡμῶν om V post δόξα add καὶ τὸ κράτος ΣVTC post τοὺς add ἀτελευτήτους C 7 τῶν αἰώνων om ΛYSΘPN post ἀμήν add ἐτελειώθη λόγος ἕβδομος Syr 8 λόγος ζ̄ E(in marg sup)R^{a} (post lemma)ΛYT(post lemma)N: ante λόγος add τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων Σ λόγος ὄγδοος Syr nihil nisi numerus ζ̄ Θ num ϛ̈ (sic) C ὁμιλία Ζ' S om titul PV (in marg adscr λόγος ζ' V^{2}) 9 Σαλωμὼν LXX: σολομὼν ΛYSΣTE^{2}(e σαλ)v σαλομὼν cett 10 ξύλου N Syr 11 αὐτῷ N 12 τὸ om ΛYSΘ v LXX αὐτοῦ om v χρύσεον Θ LXX 13 ἐπιβάσεις(cf infra p 210, 13)ΛYSΘ: ἐπίβασις ΣPTCNv LXX ἐπίβασιν ER^{a}V Syr(vel ἐπίβασις) πορφύρα ΣPTC πορφυρᾶ Nv LXX 16 ἐξέλθατε Σ LXX καὶ om Syr θυγατέρες Σιών coll ante ἐξέλθετε v om ER^{a} LXX(pars codd) 17 Σαλωμών LXX: σολομών(vel- ῶν) ΛYSPE^{2}(ex σαλ-)v σαλομών cett 18 ἐν τῷ στεφάνῳ om CN 19 post αὐτοῦ add καὶ ἐν ἡμέρα νυμφεύσεως αὐτοῦ Λ(del Λ^{2} ut vid)

καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.
Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή. (4,1)
ὀφθαλμοί σου περιστεραὶ
ἐκτὸς τῆς σιωπήσεώς σου.
τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν,
αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ Γαλαάδ.
Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, (2)
αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ,
αἱ πᾶσαι διδυμεύουσαι,
καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.
Ὡς σπαρτίον κόκκινον χείλη σου, (3)
καὶ ἡ λαλιά σου ὡραία.
ὡς λέπυρον ῥόας μῆλόν σου
ἐκτὸς τῆς σιωπήσεώς σου.
Ὡς πύργος Δαβὶδ τράχηλός σου (4)
ὁ ᾠκοδομημένος ἐν θαλπιώθ·
χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτόν,
πᾶσαι βολίδες τῶν δυνατῶν.
Δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος (5)
οἱ νεμόμενοι ἐν τοῖς κρίνοις,
Ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. (6)
908 M. πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης

ERª ΛYSΘ Σ PVT CN Syr 1 καὶ om CN Syr 2 εἶ pr: ἡ ΣPC(corr C²) ἡ om PVCN μου om Rª εἶ alt: ἡ ΣPC (corr C²) καλή alt: καλοί σου N 3 ante ὀφθαλμοί add οἱ Rª σου: μου Y περιστερὰ Syr 5 τρίχωμά σου om v ἀγέλη Syr 7 ἀγέλη Syr κεκαθαρμένων Λ(corr ut vid Λ²)Y 8 αἳ om V 9 δίδυμαι οὖσαι V 10 καὶ ἀτεκνοῦσα iterat in initio pag N 11 παρτίον Y τὸ κόκκινον LXX(pars codd) τὸ κόκκιον v 13 ante ῥοᾶς (sic) add τῆς YΛ(sed ῥοιᾶς ut vid)Θ LXX(pars codd) ῥοιᾶς C² (add ι) 14 ἐκτὸς—σου om ERª 15-16 τράχηλός σου coll post ᾠκοδομημένος N 16 ὁ om ΛYSΘ ἐν: εἰς Λ²(ex ἐν ut vid)v LXX ἐκ Θ 17 αὐτῶ ERª 18-19 τῶν—μαστοί om Σ 19 μασθοί N 20 ante οἱ eras 1 litt E τοῖς om v LXX 21 οὗ om ΛYΘCN διαπνεύσει ΛYVN ἡ om v 22-201, 1 πορεύσομαι—λιβάνου om ERªΛYΘ 22 ἐν αὐτῷ N τὰ ὄρη Syr

καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου.
Ὅλη καλὴ εἶ, ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. (7)

Ἐν πολλοῖς ὁ βασιλεὺς Σολομὼν εἰς τύπον τοῦ ἀληθινοῦ βασιλέως παραλαμβάνεται, πολλοῖς δέ φημι τοῖς πρὸς τὸ κρεῖττον περὶ αὐτοῦ παρὰ τῆς ἁγίας γραφῆς ἱστορουμένοις· εἰρηνικός τε γὰρ λέγεται, καὶ ναὸν οἰκοδομεῖ καὶ σοφίαν ἀμέτρητον ἔχει, βασιλεύει τε τοῦ Ἰσραὴλ καὶ κρίνει τὸν λαὸν ἐν δικαιοσύνῃ καὶ ἐκ τοῦ σπέρματός ἐστι τοῦ Δαβίδ, ἀλλὰ καὶ ἡ τῶν Αἰθιόπων βασίλισσα πρὸς αὐτὸν φοιτᾷ. ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα περὶ αὐτοῦ μὲν λέγεται τυπικῶς, προδιαγράφει δὲ τοῦ εὐαγγελίου τὴν δύναμιν. τίς γὰρ οὕτως εἰρηνικὸς ὡς ὁ ἀποκτείνας τὴν ἔχθραν καὶ τῷ σταυρῷ προσηλώσας, ὁ τοὺς ἐχθροὺς ἑαυτοῦ ἡμᾶς, μᾶλλον δὲ τὸν κόσμον ὅλον ἑαυτῷ καταλλάξας καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην, ὁ κηρύξας τοῖς μακράν τε καὶ τοῖς ἐγγὺς τὴν εἰρήνην διὰ τῶν εὐαγγελιζομένων τὰ ἀγαθά; τίς δὲ

3-11 cf supra p 17, 1-7 5 cf Hebr 7, 2; cf Origen Comm Prol p 84, 11; 85, 1 6 cf III Reg 6; cf III Reg 5, 9/10 (σοφία) 7 cf III Reg 2 sqq; cf III Reg 3, 16-28 8 cf II Reg 12, 24 et passim 9 cf III Reg 10, 1-13 10 cf I Cor 10, 11 12 cf Eph 2, 16; cf Col 2, 14 14 cf Eph 2, 14 15 Eph 2, 15 16-17 cf Eph 2, 17

ERª ΛYSΘ Σ PVT CN Syr 1 πρὸς: εἰς T τοὺς βουνοὺς Syr 2 εἶ coll ante καλή SΣ om ΛYPCv ἡ om ERªΘVN μου om Σ 3 σαλομὼν (vel -ῶν) ERªΘVTCN 4 δέ: δὴ v τοῖς: τῆς N 5 παρὰ om N ἁγίας om Σ ἱστορουμένης Y 6 γὰρ om Θ οἰκοδομεῖν P 6-7 καὶ ναὸν οἰκοδομεῖ coll post ἔχει Nv 7 et ἔχειν et βασιλεύειν et κρίνειν P λαὸν: ναὸν P (α ex corr) 8 καὶ pr om Syr ἐκ τοῦ: ἐκτὸς N ante ἐστιν add αὐτοῦ C ἀλλὰ om Syr 9 πρὸς om v φοιτᾷ coll ante πρὸς Σ φοιτᾶν P πάντα γὰρ ταῦτα ΣV πάντα om ΛYSΘ 10 μὲν om Σ 11 post δὲ add ἡμῖν Syr τὴν coll ante τοῦ V εἰρηνικῶς E(corr E²)N 12 ὁ om Σ (sscr Σ²)N post ἔχθραν add ἐν τῇ σαρκὶ αὐτοῦ Syr(scil ex Eph 2, 14) προσηλώσας om V 12-13 τῷ—τοὺς corr in ras ut vid Λ τοὺς ἐχθροὺς ἑαυτοῦ coll ante τῷ S 13 ὁ ERªΛ(ut vid)ΣT Syr: om cett v ἑαυτῶ N αὐτοῦ ΘV om T μᾶλλον—ὅλον om Syr ὅλον om ERªv 15 ἐν om ERª αὐτῷ ΛYSΘ 16 ante ποιῶν add καὶ Syr 17 διὰ om N

τοιοῦτος οἰκοδόμος ναοῦ ὁ τοὺς θεμελίους μὲν αὐτοῦ τιθεὶς ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, τουτέστιν ἐν τοῖς προφήταις τε καὶ τοῖς ἀποστόλοις, ἐποικοδομῶν δέ, καθώς φησιν ὁ ἀπόστολος, Ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν τοὺς ζῶντάς τε καὶ ἐμψύχους λίθους τοὺς δι' ἑαυτῶν πρὸς τὴν τῶν τοίχων ἁρμονίαν κατὰ τὸν προφητικὸν λόγον κυλιομένους, ὥστε συναρμοσθέντας ἐν τῇ ἑνότητι τῆς πίστεως καὶ τῷ συνδέσμῳ τῆς εἰρήνης αὐξῆσαι δι' ἑαυτῶν τὸν ναὸν τὸν ἅγιον εἰς τὸ γενέσθαι κατοικητήριον θεοῦ ἐν πνεύματι; ὅτι δὲ καὶ τῇ σοφίᾳ τῇ ἑαυτοῦ ὁ Σολομὼν τὴν ἀληθινὴν μηνύει σοφίαν, οὐδεὶς ἂν ἀντείποι πρός τε τὴν ἱστορίαν καὶ πρὸς τὴν ἀλήθειαν βλέπων· μαρτυρεῖται μὲν γὰρ ὑπὸ τῆς ἱστορίας ἐκεῖνος, ὅτι παρῆλθε τοὺς τῆς ἀνθρωπίνης σοφίας ὅρους πάντων τὴν γνῶσιν ἐν τῷ πλάτει τῆς καρδίας χωρήσας, ὡς καὶ τοὺς προλαβόντας παραδραμεῖν καὶ τοῖς ἐφεξῆς γενέσθαι ἀνέφικτος, ὁ δὲ κύριος κατὰ τὴν ἑαυτοῦ φύσιν αὐτό, ὅπερ ἐστὶν ἀλήθειά τε καὶ σοφία καὶ δύναμις, οὐσίᾳ

4 Eph 2, 20 5 cf I Petr 2, 5 6 cf Zach 9, 16 7-9 cf Eph 2, 21/2 13-16 cf III Reg 5, 9/10 17 cf ex. gr. Origen in Joh VI 6, 6 (p 115, 1/2): ἡ γὰρ αὐτοδικαιοσύνη ἡ οὐσιώδης Χριστός ἐστιν. ibidem p 114, 22: ἡ αὐτοαλήθεια ἡ οὐσιώδης. cf Ambrosius De Isaac (= Origen Comm) § 46 (p 670, 14): 'ipse caritas est, non ex accidentibus habens caritatem, sed habens semper in substantia sua sicut regnum'

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ante ὁ add ὡς v μὲν θεμελίους ER^{a}v ἑαυτοῦ ΣN 2 τοῖς pr om P ἐν alt ER^{a}Tv Syr: om cett 3 τε om v τοῖς om ER^{a}Σv δέ om V 4 ἀπόστολος C(ut vid, eras ἀ et στο et corr παῦλος C^2) Syr: ἀπόστολος παῦλος R^a παῦλος cett v καὶ ER^{a}PTv Eph 2, 20: καὶ τῶν Σ τε καὶ τῶν cett 5 τε: τὸ N om ER^a v ante ἐμψύχους add τοὺς ER^{a}v 6 κεκυλισμένους v, fort E(eras κεκυλισ et corr κυλϊο E^2) 8-9 εἰς coll ante τὸν ναὸν N 9 ante θεοῦ add τοῦ Σ θεῷ Syr om PVCN 10 τῇ alt om ΛYSΘ σαλομὼν (vel -ῶν) ER^{a}C 11 σοφίαν om P ἂν: ἀή Y om N τε om E(add E^2)Σ 12 πρὸς om E(add pr man ut vid) μὲν om ΣPVCN 13 ἱστορίας: προφητείας PVCN ἐκεῖνος coll ante 12 ὑπὸ ER^{a}v τοὺς om Λ(sscr Λ^2)Y τῆς om Θ 16 κατὰ—φύσιν om Syr ἑαυτοῦ: αὐτοῦ V 17 ἀλήθειά—οὐσίᾳ correxi: εἰ ἀλήθεια καὶ εἰ δύναμις καὶ εἰ δύναμις, οὐσίᾳ Syr (scil

ἐστίν. διὰ τοῦτο τοῦ Δαβὶδ εἰπόντος ὅτι Πάντα ἐν σοφίᾳ ἐγένετο, ἑρμηνεύων τὸν προφήτην ὁ θεῖος ἀπόστολος Ἐν αὐτῷ ἐκτίσθαι τὰ πάντα λέγει, ὡς τοῦτον τοῦ προφήτου διὰ τῆς σοφίας σημαίνοντος. τὸ δὲ βασιλέα τοῦ Ἰσραὴλ εἶναι τὸν κύριον καὶ παρὰ τῶν ἐχθρῶν μεμαρτύρηται τῶν ὑπογεγραφηκότων τῷ σταυρῷ τὴν ὁμολογίαν τῆς βασιλείας αὐτοῦ ὅτι Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων· δεχόμεθα γὰρ τὴν μαρτυρίαν, εἰ καὶ κατασμικρύνειν νομίζεται τὸ μεγαλεῖον τοῦ κράτους τῇ τῶν Ἰσραηλιτῶν βασιλείᾳ τὴν δεσποτείαν ὁρίζουσα. οὐ γὰρ οὕτως ἔχει, ἀλλ' ἀπὸ μέρους τὴν κατὰ πάντων ἀρχὴν ἡ ἐπιγραφὴ αὕτη τῷ σταυρῷ ἀνατίθησι τῷ μὴ προσθεῖναι ὅτι μόνων τῶν Ἰουδαίων οὗτός ἐστι βασιλεύς· ἀπολύτως γὰρ αὐτῷ προσμαρτυρήσας ὁ λόγος τὴν τῶν Ἰουδαίων ἀρχὴν καὶ τὸ κατὰ πάντων κράτος κατὰ τὸ σιωπώμενον τῇ ὁμολογίᾳ ταύτῃ συμπεριέλαβεν· ὁ γὰρ βασιλεὺς πάσης τῆς γῆς καὶ τοῦ μέρους πάντως

1 unde? an Ps 103, 24 πάντα ἐν σοφίᾳ ἐποίησας? 2-3 Col 1, 16 7 Matth 27, 37 ~ Luc 23, 38

et ὁ κύριος subiectum esse sententiolae αὐτὸ ὅπερ ἐστίν interpretans et post ἐστίν distinguens) ἀληθείας τε καὶ σοφίας καὶ δυνάμεως οὐσία codd (δυνάμεως καὶ σοφίας P)v fort e triplici εἰ Syriaci ter ἡ restituendum, sed consensus codd obstare videtur. Jaeger coniectura mea probata maluit delere οὐσίᾳ.
ER^a ΛYSΘ Σ PVT CN Syr 1 τοῦτο: το R^{a}P 2 ἐγένετο: ἐποίησας ER^{a}Tv (scil de Ps 103, 24) cave ne lect cum difficiliorem tum ad explicationem Gregorii adaptatam in dubium trahas. ante τὸν add δὲ P θεῖος: θεσπέσιος ΛYSΘ 3 ἐκτεῖσθαι N κεκτίσθαι E(eras κ) τοῦτο T τοῦ om P 6 ὑπογραφηκότων ΛY ὑπογεγραφότων ER^{a}v ἐπιγεγραφηκότων Jaeger, sed ὑπογράφειν terminus technicus esse videtur: οἱ μάρτυρες ὑπογράφουσι τὴν ὁμολογίαν. ergo hic: τὴν ἐπιγραφὴν scribentes testimonium 'subscribunt'. cf ex. gr. Thucyd 5, 56: Ἀθηναῖοι ···· τῇ ·· Λακωνικῇ ὑπέγραψαν ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς ὅρκοις 7 οὗτος: αὐτὸς PVCN 8 γὰρ om N νομίζετε C(corr C^2) 9 τῶν corr in ras E^2 τοῦ Ἰσραὴλ Syr 10 ἔχει om E (adscr in marg E^2) 11 αὕτη: αὕτητη R^a τῷ σταυρουμένῳ Syr, an recte? τῷ ἐν σταυρῷ P 12 τῷ: τὸ Λ(corr Λ^2)YSC (corr C^2)N προσθῆναι ΣPC(sscr τε C^2) προστεθεῖναι T ὅτι om P μόνον ΣTC 14 τὴν: τῇ P 15 τὸ om N συμπαρέλαβεν ER^{a}v 16 τοῦ: τοὺς P πάντως om N

909 M. τὴν δεσποτείαν ἔχει. ἡ δὲ περὶ τὴν δικαίαν κρίσιν τοῦ Σολομῶνος σπουδὴ τὸν ἀληθινὸν κριτὴν τοῦ παντὸς κόσμου διασημαίνει, ὅς φησιν ὅτι Ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ· καὶ ὅτι Οὐ δύναμαι ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν, ἀλλὰ καθὼς ἀκούω κρίνω καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν. οὗτος γὰρ ὁ ἀκρότατος τῆς δικαίας κρίσεως ὅρος τὸ μὴ ἀφ' ἑαυτοῦ τι κατά τινα προσπάθειαν ἢ ἀποκλήρωσιν τοῖς κρινομένοις νέμειν, ἀλλὰ πρῶτον ἀκούειν τῶν ὑποδίκων τῇ κρίσει, εἶθ' οὕτω τὴν ἐπ' αὐτοῖς ψῆφον ἐκτίθεσθαι. οὗ χάριν ἡ τοῦ θεοῦ δύναμίς τινα ὁμολογεῖ καὶ μὴ δύνασθαι· τὸ γὰρ ἔξω τοῦ δικαίου παρατρέψαι τὴν κρίσιν ἀδυνατεῖ ἡ ἀλήθεια. τὸ δὲ ἐκ τοῦ σπέρματος Δαβὶδ εἶναι τὸ κατὰ σάρκα τὸν κύριον παρὰ τοῦ γεγονότος ἐκ τοῦ Δαβὶδ προμηνύεσθαι ὡς ὁμολογούμενον τῷ λόγῳ παρήσομεν. τὸ δὲ κατὰ τὴν Αἰθιοπίδα μυστήριον, πῶς καταλιποῦσα τῶν

3 Joh 5, 22 4 Joh 5, 30 (textus sec Tatian, cf Tatians Diatess übers von E. Preuschen, cap XXII 38 = p 132) 10 Origenem sapit, cf locum illum famosum De princ II 9, 1 (p 164, 3 sqq): πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ κτλ. 11-12 cf Plato Theaet 176 c: θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος 12-13 τὸ κατὰ σάρκα: Rom 9, 5 15-p 205, 4 cf III Reg 10, 1-13,; cf Origen Comm II p 114, 28 sqq; 118, 22 sqq

ER^a ΛYSΘ Σ PVT CN Syr 1 δικαιοκρισίαν T (in marg γρ δικαίαν κρίσιν) 2 σολομῶνος E (corr -ῶντ- E^2) SPV (σολόμονος) CN: σολομῶντος cett v 3 σημαίνει N ὅς: ὡς SΘΣ ὅτι om ER^av post πατὴρ add οὐ R^aE^2(sscr)v κρινεῖ Σ 4 ὅτι om Σ 4-5 ποιεῖν coll ante ἀπ' (scil sec Joh 5, 30) ΣNv om P (sscr post ἐμαυτοῦ) C (sscr ante ἀπ' C^2) 5 ἀλλὰ om Σ (scil sec Joh 5, 30) κρινῶ Σ 6 ἐμή: μὴ P (sed sscr ἐ) γὰρ om ER^a ἀκύρατος P ἄκρατος VCN 7 ante τὸ add πρὸς Σ ἀφ' corr in ras C^2 om V τι om Pv Syr ἢ om v Syr 7-8 ἀποκλήρωσιν: ἀπόκρισιν Nv 9 ad τῇ κρίσει adnot in marg γρ τὴν κρίσιν $Σ^2$ 10 ὡμολόγει E καὶ ει as E om R^aTv 11 τό: τῷ V 12 ἡ om v τὸ δέ: ἀλλὰ τὸ μὲν R^aE^2(e τὸ δὲ)v ante δᾱδ add τοῦ ΛYSΘ τὸ alt: τὸν R^a om v 12-14 Δαβὶδ—προμηνύεσθαι: δᾱδ προμηνύεσθαι παρὰ τοῦ γεγονότος ἐκ τοῦ δᾱδ εἶναι τὸ κατὰ σάρκα τὸν κύριον T 12-13 εἶναι—Δαβὶδ om PVCN 13 κατὰ σάρκα om Syr ante παρὰ add καὶ ER^av 13-14 παρὰ—προμηνύεσθαι om Syr 14 τῷ λόγῳ om ΛYSΘ Syr παρήσωμεν ER^aΣ παρίσωμεν N τηρήσομεν Y παρίημι Θ 15 αἰθιοπίαν E (corr αἰθιόπισαν E^2) αἰθιόπισαν R^a αἰθιόπισσαν ΛYSΘv τὴν τῶν Αἰθιόπων βασίλισσαν Syr

Αἰθιόπων τὴν βασιλείαν καὶ τοσοῦτον διαβᾶσα τὸν ἐν τῷ μέσῳ τόπον πρὸς τὸν Σολομῶνα διὰ τὸ κλέος τῆς σοφίας ἐπείγεται λίθοις τε τιμίοις καὶ χρυσῷ καὶ τοῖς τῶν ἀρωμάτων ἡδύσμασι δεξιουμένη τὸν βασιλέα, δῆλον ἂν γένοιτο τῷ ἐπιστήσαντι, πρὸς ὅ τι τῶν εὐαγγελικῶν βλέπει θαυμάτων· τίς γὰρ οὐκ οἶδεν ὅτι μέλαινα ἦν ἐξ εἰδωλολατρίας τὸ κατ' ἀρχὰς ἡ ἐξ ἐθνῶν ἐκκλησία πρὶν ἐκκλησία γενέσθαι πολλῷ μεταξὺ τῷ τῆς ἀγνοίας διαστήματι τῆς πρὸς τὸν ἀληθινὸν θεὸν γνώσεως ἀπῳκισμένη; ἀλλ' ὅτε ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ καὶ ἡ σοφία διέλαμψε καὶ τὸ φῶς τὸ ἀληθινὸν πρὸς τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους τὴν ἀκτῖνα διέπεμψε, τότε τοῦ Ἰσραὴλ πρὸς τὸ φῶς ἐπιμύσαντος καὶ τῆς τῶν ἀγαθῶν μετουσίας ἑαυτὸν ἀποστήσαντος ἔρχονται οἱ Αἰθίοπες, οἱ ἐξ ἐθνῶν τῇ πίστει προστρέχοντες καὶ οἵ ποτε ὄντες μακρὰν ἐγγὺς γίνονται τῷ μυστικῷ ὕδατι τὴν μελανίαν ἀποκλυσάμενοι, ὥστε τὴν Αἰθιοπίαν προφθάσαι χεῖρα αὐτῆς τῷ θεῷ καὶ προσαγαγεῖν δῶρα τῷ βασιλεῖ τά τε τῆς εὐσεβείας ἀρώματα καὶ τὸ τῆς θεογνωσίας χρυσίον καὶ τοὺς τιμίους λίθους τῆς τῶν ἐντολῶν τε καὶ τῶν ἀρετῶν ἐργασίας.

6-7 cf Origen Comm II p 113, 24: 'Haec sponsa . . . ecclesiae personam tenet ex gentibus congregatae.' 10 cf Joh 1, 9 11 cf Luc 1, 79 15 cf Eph 2, 17 (Isai 57, 19) 16 cf Isai 1, 18

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τόν: τῶν C (corr C^2) 1-2 et τοσούτω et τῶ et τόπω YSΘ$Λ^2$ (ω vocum τῶ et τόπω ex corr) et τῶν et τόπων T (ω alt corr in o) 2 τὸν om T σολομῶντα R^aE^2 (sscr τ) ΛYSΘΣv 3 ἐπίγεται C (corr C^2) ἐπιγίνεται N τε om ER^aVv τοῖς τῶν ἀρωμάτων om PVTCN 5 ἀγγελικῶν N θαυμάτων βλέπει S 6 μέλαινα ἦν om N εἰδωλολατρίας ΛYSΘT: εἰδωλολατρείας cett v 7 post πρὶν add ἢ Σ ἐκκλησίαν (alt) VTCNv 8 ἀγνείας N τῆς alt: ἢ N 9 ἐφάνη N 10 διέλαβε Θ (sed corr pr man ut vid) 10-12 καὶ alt—διέπεμψε om V 11 καθημένοις Y (scil de Luc 1, 79) 12 πρὸς om PV τὸ om v 13 ἄρχονται R^a 14 ἐξ om v 15 τῷ—ὕδατι om V 16 ἀποκλεισάμενοι N 17 ante χεῖρα add τὴν ER^aPTCN αὐτοῖς N προσάγειν v 18 τό: τῶ Σ 19 τιμίου N τῆς: τὰς ΣV τὴν T post καὶ alt add τῆς N τῶν alt om P ἀρε(τῶν) corr in ras E^2 20 ἐργασίαν T

Ἀλλὰ πρὸς ὅ τι βλέπων ἐντεῦθεν ἄρχομαι τῆς προκειμένης ἡμῖν τῶν ῥητῶν θεωρίας, ἤδη διασαφήσω τῷ λόγῳ αὐτὴν προεκθέμενος τὴν λέξιν τῶν θείων λογίων ἔχουσαν οὕτω· Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμὼν ἀπὸ ξύλων τοῦ Λιβάνου, στύλους αὐτοῦ ἐποίησεν ἀργύριον καὶ τὸ ἀνάκλιτον αὐτοῦ χρυσίον, ἐπιβάσεις αὐτοῦ πορφύραν, ἐντὸς αὐτοῦ λιθόστρωτον ἀγάπην ἀπὸ θυγατέρων Ἰερουσαλήμ. ὥσπερ τοίνυν ἐν τοῖς προεξητασμένοις περὶ τοῦ Σολομῶνος εὗρεν ὁ λόγος δι' ὧν τὸ περὶ τοῦ κυρίου μυστήριον ἐν ἐκείνῳ τῷ προσώπῳ προδιαγράφεται, οὕτω καὶ διὰ τῆς τοῦ φορείου κατασκευῆς ἡ περὶ ἡμῶν οἰκονομία τοῦ κυρίου διασημαίνεται· πολυτρόπως γὰρ ὁ θεὸς ἐν τοῖς ἀξίοις ἑαυτοῦ γίνεται, καθὼς ἂν ἕκαστος ἔχῃ δυνάμεώς τε καὶ ἀξίας οὕτως ἐν ἑκάστῳ γινόμενος. ὁ μὲν γάρ τις γίνεται θεοῦ τόπος, ὁ δὲ οἶκος, ἄλλος δὲ θρόνος καὶ ἕτερος ὑποπόδιον. ἔστι δέ τις ὁ καὶ ἅρμα γινόμενος ἢ ἵππος εὐήνιος δεχόμενος ἐφ' ἑαυτοῦ
912 M. τὸν ἀγαθὸν ἀναβάτην καὶ πρὸς τὸ δοκοῦν τῷ εὐθύνοντι διανύων τὸν δρόμον. ὡς δὲ νῦν διδασκόμεθα καὶ φορεῖον

4 Cant 3, 9/10 12 cf supra p 96, 8-12 16-18 cf supra p 75, 10-76, 16. allegoriam equi deum ferentis inde ab Origene (cf ex. gr. Hom in Exod VI, 2 = p 193, 7-9 Baehrens) quaque usque ad tractatum illum M. Lutheri 'De servo arbitrio' invenies. cf Habac 3, 8

Eʀª ΛYSΘ Σ PVT CN Syr 2 τῶν ῥητῶν ἡμῖν P ἤδη corr in ras E[2] post διασαφήσω eras 2 vel 3 litt E διασαφεῖσα Y διασαφηνίσω PN διασαφηνίσαι C(corr διασαφηνήσω C[2]) διὰ σαφηνείας V 4 Σαλωμὼν LXX: σαλομὼν (vel -ῶν) ERª ΘPVTC σολομὼν cett v 5 τὸ om S LXX 6 χρύσεον Θ LXX ἐπιβάσεις ΛYSΘ: ἐπίβασις ΣPVTCN Syr LXX ἐπίβασιν ERªv πορφύραν ERªΛYSΘv: πορφύρα PVTC Syr πορφυρὰ ΣN LXX (-ρᾶ) 8 σολομῶνος SPN: σολόμονος V σολωμῶνος C σαλομῶν T σολομῶντος cett v 9 δι' ὧν: ὡς Syr ὧν: ὧ Rª κυρίου: ναοῦ v σωτῆρος Syr 10 διαγράφεται Θv διὰ om V φορείου: κυρίου NC(ut vid, eras et corr C[2]) 11 ἡμᾶς V τοῦ κυρίου om ERªv 12 ante πολυτρόπως add et eras τὸ C αὑτοῦ ΣTC 13 ἕκαστος ἂν v ἔχει ΣPV(sed corr)C(corr C[2]) δυνάμεώς τε καὶ ἀξίας: δύναμιν τοῦ δέχεσθαι αὐτὸν Syr(id est: om τε καὶ ἀξίας) ἄξιος TC ἀξίως N ἐξουσίας V 14 θεῷ Syr 15 δὲ pr om T καὶ om Θ ὁ om ΛYVv 16 ἢ: καὶ P ἐφ': ἀφ' ERªY 17 ἀγαθὸν om Θ ἐπιβάτην ERªTv

αὐτοῦ τις γίνεται ὁ κατὰ τὴν ἐκείνου σοφίαν οὐ μόνον τοῖς ἐκ τοῦ Λιβάνου κατασκευαζόμενος ξύλοις ἀλλὰ καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ πορφύρᾳ καὶ λίθοις καταλλήλως ἐν ἑκάστῳ μέρει καλλωπιζόμενος· δι' ὧν ἡ ἀγάπη αὐτοῦ ἐνεργὸς γίνεται οὐ πάντων χωρούντων τὴν τῆς ἀγάπης ἐνέργειαν, ἀλλ' εἴ τις θυγάτηρ τῆς ἄνω Ἰερουσαλὴμ τῆς ἐλευθέρας διὰ τοῦ βίου γνωρίζοιτο. ὅτι μὲν οὖν ὁ τὸν θεὸν ἐν ἑαυτῷ φέρων φορεῖόν ἐστι τοῦ ἐν αὐτῷ καθιδρυμένου, δῆλον καὶ πρὸ τῶν ἡμετέρων λόγων ἂν εἴη· ὁ γὰρ κατὰ τὸν ἅγιον Παῦλον μηκέτι αὐτὸς ζῶν ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν καὶ δοκιμὴν διδοὺς τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ οὗτος κυρίως φορεῖον λέγεταί τε καὶ γίνεται τοῦ ἐν αὐτῷ φερομένου καὶ ὑπ' αὐτοῦ βασταζομένου.

Ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον. ἐκεῖνο δὲ μᾶλλον προσήκει δι' ἐπιμελείας κατανοῆσαι, τί βούλεται τὸ τῆς ὕλης ποικίλον τε καὶ πολυειδὲς καὶ πῶς συμπαραλαμβάνεται χρυσῷ καὶ ἀργύρῳ καὶ πορφύρᾳ καὶ λίθοις καὶ ἡ τοῦ ξύλου φύσις εἰς τὴν κατασκευὴν τοῦ φορείου. καίτοι γε τὸ ξύλον

10 cf Gal 2, 20 11 cf II Cor 13, 3 18-p 208, 4 cf I Cor 3, 10; 12/13

ERª ΛYSΘ Σ PVT CN Syr 1 τίς αὐτοῦ Σ γίγνεται Σ σοφίαν ἐκείνου V 2 κατασκευαζομένοις ΛYSΘ ξύλοις om ΛYSΘ ξύλοις κατασκευαζόμενος V 3 ἀργυρίῳ Pv 4 καλλωπιζόμενος om v αὐτοῦ om E(adscr in marg E[2])Θ 5 πάντως C (corr C[2]) 6 εἴ: ἡ C(corr C[2]) τις: της Σ 8 τοῦ—καθιδρυμένου om Syr post αὐτῷ add κατοικοῦντος καὶ ERªv καθεδουμένου v 9 ἂν εἴη: ἀεὶ YΛ(fort, eras et corr Λ[2]) 10 ἑαυτῷ: αὐτῷ N 11 δοὺς PVCN et τῷ et λαλοῦντι **Χ**ριστῷ T 12 οὕτως ΛC κυρίως om Syr κρυφίως YΛ(fort, eras et corr Λ[2])SΘ λέγεταί τε καὶ om Syr τε om ERªTNv ἐν αὐτῷ: ὑπ' αὐτοῦ T 12-13 τοῦ—βασταζομένου: ὁ φέρων τὸν ἐν αὐτῷ βασταζόμενον Syr(paraphr) ἐν—καὶ om PCN 13 φερομένου—αὐτοῦ om V καὶ—βασταζομένου: καινόν ΛYSΘ 15 δι' ἐπιμελείας προσήκει Σ 15-17 τὸ—χρυσῷ καὶ om Rª 16 καὶ alt Syr: om codd v post πῶς add οὖν CNv παραλαμβάνεται NC(corr -νονται C[2]) 17 χρυσίῳ Ev χρυσὸς C[2] (e -σῶ) ἀργυρίῳ ERªv ἄργυρος C[2](e -ρω) (λίθοι)ς eras C καὶ quart eras E om Rªv 18 ἐς C post τοῦ add θείου V

ὁ σοφὸς ἀρχιτέκτων Παῦλος μετὰ τοῦ χόρτου καὶ τῆς καλάμης εἰς τὴν οἰκοδομὴν τοῦ οἴκου κρίνει ἀπόβλητον ὡς τῇ ἀναλωτικῇ τοῦ πυρὸς δυνάμει τῇ δοκιμαζούσῃ τὸ ἔργον ἐνδαπανώμενον. ἀλλ' οἴδαμέν τινα ξύλου φύσιν μὴ διαμένουσαν ἐν ᾧ ἐστιν ἀλλὰ πρὸς χρυσὸν ἢ ἄργυρον ἢ ἄλλο τι τῶν τιμίων ἑαυτὴν μεταβάλλουσαν· ἐν γὰρ τῇ μεγάλῃ τοῦ θεοῦ οἰκίᾳ φησὶν ὁ ἀπόστολος τὰ μὲν εἶναι σκεύη χρυσᾶ τῇ φύσει καὶ ἀργυρᾶ, τὴν ἀσώματον ὡς οἶμαι καὶ νοερὰν κτίσιν διὰ τούτων ὑπαινισσόμενος, τὰ δὲ ξύλινά τε καὶ ὀστράκινα, ἡμᾶς τάχα διὰ τούτων ἀποσημαίνων, οὓς ἀπεγέωσε μὲν ἡ παρακοὴ καὶ ὀστρακίνους ἐποίησεν, ἡ δὲ διὰ τοῦ ξύλου ἁμαρτία ξύλινα ἡμᾶς σκεύη ἀντὶ χρυσῶν ἀπειργάσατο. μεμέρισται δὲ πρὸς τὴν ἀξίαν τῆς ὕλης καὶ ἡ τῶν σκευῶν χρῆσις· τὰ μὲν γὰρ τῆς τιμιωτέρας ὕλης εἰς τιμὴν ἀποτέτακται, τὰ δὲ εἰς τὴν ἄτιμον ὑπηρεσίαν ἀπέρριπται. ἀλλὰ τί φησι περὶ τῶν τοιούτων ὁ Παῦλος; ὅτι ἐξουσίαν ἔχει τὸ σκεῦος ἐκ τῆς ἰδίας προαιρέσεως ἢ χρύσεον ἀπὸ ξυλίνου ἢ ἀργύρεον ἐξ ὀστρακίνου γενέσθαι· Ἐὰν γάρ τις, φησίν, ἐκκαθάρῃ ἑαυτόν, ἔσται σκεῦος εἰς

7-p 209, 1 cf II Tim 2, 20/1; cf Origen De princ II 9, 6 (p 170, 2-17); III 1, 21 (p 237, 9 sqq); cf Method De resurr II 24 (p 379, 16-380, 5): τὰς μὲν ἀπὸ χρυσοῦ κατεσκευασμένας εἰκόνας τοὺς αὐτοῦ ἀγγέλους ···· τὰς δὲ ὥσπερ ἀπὸ γύψου ἢ χαλκοῦ οἷον ἡμᾶς κτλ. 12 cf Gen 3, 1-7

ER^a ΛYSΘ Σ PVT CN Syr 3 τῇ pr: τὸ Y om V (ἀνα)λωτικῇ corr in ras C^2 4 οἶδα μέν R^{a}V, sed cf ad formam plural ex. gr. Xenoph Oec 20, 14 φύσιν ξύλου C 5 χρυσίον ΛYSΘ ἀργύριον ΛYSΘ 7 οἰκίᾳ: σοφία YΛ(fort, eras et corr Λ^2) οἰκϊ(sic)N φησὶν οἰκία SΘΣ ante φησιν et add et eras καθώς E ἀπόστολος: ἅγιος Παῦλος Syr 8 σκεύη coll post ἀργυρᾶ ER^{a}v τῇ φύσει coll ante χρυσᾶ SΘΣ coll ante σκεύη T(ut vid pr om et deinde in fine lin adscr) coll post ἀργυρᾶ ΛY om Syr, nescio an recte ὡς om ER^{a}v ὡς οἶμαι om PVCN 9 κτήσιν Σ κτῆσιν N 10 ὑποσημαίνων VN 11 ἀπεγαίωσε NΛ^2(e -γέ-)v 12 ἁμαρτὰς Yv 14 ἡ coll post σκευῶν Σ om P γὰρ om P τῆς om v 15 ante εἰς pr add καὶ Λ^2 ante τιμὴν add τὴν T 16 ἀπερίπται C 18 post ἀπὸ add τοῦ Σ ἐξ: ἀπ' ER^{a}v 19 γάρ om Σ 19-p 209, 1 et post ἑαυτὸν add ἀπὸ τούτων et post τιμὴν add εὔχρηστον (scil sec II Tim 2, 21) Σ Syr

τιμὴν τῷ δεσπότῃ πρὸς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. τάχα τοίνυν διὰ τῶν εἰρημένων προσαγόμεθά πως τῇ προκειμένῃ θεωρίᾳ τοῦ λόγου· τὸ ὄρος ὁ Λίβανος ἐν πολλοῖς τῆς ἁγίας γραφῆς εἰς ἔνδειξιν τῆς ἀντικειμένης δυνάμεως μνημονεύεται, ὡς ὅταν λέγῃ διὰ τοῦ προφήτου ὅτι Συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου καὶ λεπτυνεῖ αὐτάς τε καὶ τὸν Λίβανον ὡς τὸν μόσχον, ἐκεῖνον δηλαδὴ τὸν ἐν τῇ ἐρήμῳ καταλεανθέντα ὑπὸ τοῦ Μωϋσέως καὶ πότιμον διὰ λεπτότητα τοῖς Ἰσραηλίταις γενόμενον. δηλοῦται γὰρ ὧδε διὰ τῆς προφητείας ὅτι οὐ μόνον τὰ ἐκφυέντα παρὰ τῆς ἀντικειμένης δυνάμεως κακὰ ἀλλὰ καὶ αὐτὸ τὸ ὄρος, ἡ πρώτη τοῦ κακοῦ ῥίζα, ὁ Λίβανος ὁ ὑποτρέφων τῶν τοιούτων
913 M. κέδρων τὴν ὕλην εἰς τὸ μὴ ὂν περιστήσεται. οὐκοῦν ἡμεῖς ἦμέν ποτε τοῦ Λιβάνου τὰ ξύλα, ἕως ἐν ἐκείνῳ ἦμεν ἐρριζωμένοι διά τε τοῦ πονηροῦ βίου καὶ τῆς τῶν εἰδώλων ἀπάτης. ἀλλ' ἐπειδὴ ἐκεῖθεν ὑπὸ τῆς λογικῆς ἀξίνης ἐτμήθημεν καὶ ἐν ταῖς τοῦ τεχνίτου χερσὶν ἐγενόμεθα, φορεῖον ἑαυτοῦ ἡμᾶς ἐποίησε μεταστοιχειώσας τοῦ ξύλου τὴν φύσιν διὰ τῆς παλιγγενεσίας εἰς ἀργύριόν τε καὶ χρυσίον καὶ εἰς εὐανθῆ πορφύραν καὶ εἰς τὰς τῶν λίθων αὐγάς. καὶ ὥσπερ φησὶν ὁ ἀπόστολος ὅτι καταλλήλως ἐμέρισεν ὁ θεὸς ἑκάστῳ

5-7 Ps 28, 5/6 8 cf Exod 32, 20 21-p 210, 5 cf Rom 12, 3-8; I Cor 12, 4-31

ER^a ΛYSΘ Σ PVT CN Syr 1 πρός: εἰς (sec II Tim 2, 21) ΛYSΘ ἡτοιμασμένον om Syr 5 λέγει ΣC(corr C^2)v ὁ προφήτης (om διὰ) Syr 6 τὰς: τοὺς P 6-7 et om τε καὶ et coll τὸν Λίβανον post μόσχον LXX 8 καταλεεθέντα YΛ(fort, corr in ras Λ^2) μωυσέος ΛYSPT μωσέως V μουσέως N 9 γινόμενον CN 11 post ὄρος lac 3 litt P 12 ὁ Λίβανος om Syr ὑποστρέφων R^a ὑπογράφων ΛYSΘ 13 κέδρων: δένδρων ER^{a}Tv μὴ νὸν(sic) P(ὂ ex corr) 14 ante τὰ add καὶ Λ(sed eras)Y post ἕως add ἂν T 15 εἰδώλων: δαιμόνων N 16 ἐξετμήθημεν v 17 χερσὶ coll ante τοῦ v αὐτοῦ ΛY 19 εἰς (bis): εἰ E (corr E^2) post καὶ pr add εἰς SΘVCN 20 ὧπερ C^2(eras σ, add σ in marg C^3) 21 καταλλήλως om Syr ὁ θεὸς om Θ ἑκάστας C(corr C^3) 21-p 210, 1 ἑκάστῳ coll ante ἐμέρισεν ΛY coll post πνεύματος T coll ante ὁ v om Syr

τὰς τοῦ ἁγίου πνεύματος δωρεὰς καὶ ᾧ μὲν δίδωσι προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, ἄλλῳ δὲ ἄλλο τι τῶν ἐνεργημάτων, πρὸς ὃ πέφυκέ τε καὶ δύναται ἕκαστος τὴν χάριν δέξασθαι ἢ ὀφθαλμὸς τοῦ σώματος τῆς ἐκκλησίας γινόμενος ἢ εἰς χεῖρα τασσόμενος ἢ ἀντὶ ποδὸς ὑποστηρίζων, οὕτω καὶ ἐν τῇ τοῦ φορείου κατασκευῇ ὁ μέν τις στῦλος, ὁ δὲ ἐπίβασις γίνεται, ἕτερος δὲ τὸ πρὸς τῇ κεφαλῇ μέρος, ὃ ἀνάκλιτον προσηγόρευσεν, εἰσὶ δέ τινες οἱ εἰς τὸ ἐντὸς τεταγμένοι. ὧν ἁπάντων κατά τινα λόγον ὁ τεχνίτης οὐ μονοειδῆ πρὸς τὸν καλλωπισμὸν ἐπινοεῖ τὴν ὕλην, ἀλλὰ πάντα μὲν κατακοσμεῖταί τῳ κάλλει, διάφορος δὲ καὶ κατάλληλος ἑκάστῳ τούτων ἐπινοεῖται ἡ ὥρα. εἰσὶ τοίνυν ἀργύριον μὲν οἱ στῦλοι τοῦ φορείου, αἱ δὲ τούτων ἐπιβάσεις πορφύρα, ἐκ χρυσίου δὲ τὸ ἀνάκλιτον τὸ τὴν κεφαλὴν ὑποβαῖνον, ἐν ᾧ κλίνει τὴν ἑαυτοῦ κεφαλὴν ὁ νυμφίος, τοῖς δὲ τιμίοις λίθοις τὸ ἔνδον ἅπαν καταποικίλλεται. οὐκοῦν στύλους μὲν νοητέον τοὺς στύλους τῆς ἐκκλησίας, οἷς ἀκριβῶς ἀργύριον καθαρόν τε καὶ πεπυρωμένον ὁ λόγος ἐστίν, οἳ τῆς βασιλείας ἐν τῷ ὑψηλῷ τῆς πολιτείας ἐπιβεβήκασιν (ἐξαίρετον γὰρ γνώρισμα τῆς βασιλείας ἡ πορφύρα

17 cf Gal 2, 9; cf Apoc 3, 12

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ante τοῦ add δια Σ καὶ om Syr 2 τι om Σ(sscr Σ^2) ante τῶν add κατὰ C(sscr τὴν διαφορὰν C^2) N 5 γιγνόμενος Σ γενόμενος P ἢ—τασσόμενος om P χεῖρας N ἐπιστηρίζων N 6 τοῦ om N 7 πρὸς iterat P 10 μόνον ἤδη YΛ(ut vid, corr Λ^2)SΘ πρὸς om P τῶν καλλωπισμῶν P ἐννοεῖ Θ 11 τῳ scripsi cum parte codd: τῷ v διαφόρως PΛ(corr pr m ut vid) δαφόρος Σ 12 καταλλήλως ΛP καταλλήλος Σ ἡ: τῇ ΛYSΘ 13 ἀργύριοι V et ἡ et ἐπίβασις C^2(ex αἱ ···· -σεις) 14 χρυσοῦ ΣPVTCN τῇ κεφαλῇ R^{a}E^2(eras bis ν)v 15 ὑποβαῖνον—κεφαλὴν om V 16 τὸ om T 17 στύλους pr: στύλος Y 18 ante ἀργύριον add τὸ v τε καθαρὸν ΣT 19 ante οἳ add ἡ δὲ πορφύρα εἰσὶν v add ἐπιβάσεις δὲ τῶν τοιούτων στύλων εἰσὶν Syr, scil uterque e coniectura sua. neuter recte. Gregorius hoc loco nihil nisi τοὺς στύλους τῆς ἐκκλησίας describere voluit, quorum βάσεις (= ἐπιβάσεις, cf ex. gr. Philo Leg Alleg III § 188) purpura sunt (cf supra lin 13/14). post τῆς alt eras 1 litt in fine lin E τῇ πολιτείᾳ P(τῇ corr e τῆς) 20 post πορφύρα add εἶναι Σ

νομίζεται), τὸ δὲ ἡγεμονικὸν αὐτῶν, ἐν ᾧ τὴν κεφαλὴν ἑαυτοῦ κλίνει ὁ τὸ φορεῖον κατασκευάσας, τὸ τῶν καθαρῶν δογμάτων χρυσίον ἐστίν, ὅσα δὲ ἀφανῆ τε καὶ κρύφια, τῇ καθαρᾷ συνειδήσει τῶν τιμίων λίθων ἐνωραΐζεται, δι᾽ ὧν ἁπάντων ἀπὸ τῶν θυγατέρων Ἰερουσαλὴμ ἡ ἀγάπη συνίσταται. εἰ δὲ βούλοιτό τις φορεῖον μὲν πᾶσαν λέγειν τὴν ἐκκλησίαν, καταμερίζοι δὲ κατὰ τὰς τῶν ἐνεργειῶν διαφορὰς εἰς πρόσωπά τινα τοῦ φορείου τὰ μέρη ὡς ἤδη περὶ τούτου προείρηται, πολλὴν καὶ οὕτως εὐκολίαν ὁ λόγος ἔχει ἑκάστῳ τάγματι τῶν κατὰ τὴν ἐκκλησίαν τεταγμένων ἐφαρμόσαι τοῦ φορείου τὰ μέρη (καθώς φησιν ὁ ἀπόστολος ὅτι Ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους δεύτερον προφήτας τρίτον διδασκάλους ἔπειτα τὰ καθ᾽ ἕκαστον πάντα πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων), ὡς διὰ τῶν ὀνομάτων τούτων τῶν πρὸς τὴν τοῦ φορείου κατασκευὴν συντελούντων ἱερέας νοεῖσθαι καὶ διδασκάλους καὶ τὴν σεμνὴν παρθενίαν τὴν ἐντὸς τοῦ φορείου τῇ καθαρότητι τῶν ἀρετῶν οἱόν τισι λίθων αὐγαῖς ἐναστράπτουσαν.

Ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα. ὁ δὲ ἐφεξῆς λόγος προτροπὴν περιέχει πρὸς τὰς θυγατέρας Ἰερουσαλὴμ παρὰ τῆς νύμφης γινόμενος. ὡς γὰρ ὁ μέγας Παῦλος ζημίαν

3-4 cf I Tim 3, 9 11 I Cor 12, 28

ER^a ΛYSΘ Σ PVT CN(post 16 παρθενίαν deff 2 fol) Syr
1 νομίζεται: γνωρίζεται V αὐτοῦ ER^{a}Pv τῆς ἐκκλησίας Syr(in paraphr) 2 αὐτοῦ ER^{a}Yv 3 τε om P 4 eras (συν)ειδή(σει) et corr in lac θέ C^2 ὡρχΐζεται SΘ 5 τῶν om ΣV et om ἡ et coll ἀγάπη ante ἀπὸ Σ 6-7 λέγειν coll post ἐκκλησίαν SΘ 7 καταμερίζει PTN ἐνεργημάτων Σ 8 πρόσυπα P πρόσωπόν V ἤδη: δὴ ER^{a}v 9 εἴρηται E(adscr προ E^2) οὗτος N ὁ λόγος εὐκωλίαν Σ post ἑκάστῳ add τῷ SΘ 10 τάγματι: δόγματι P ἐφαρμόσας Syr 11 post ἔθετο add φησὶν N 13 τὰ ΣPNC^2 (adscr in marg): om cett v καθ᾽ ἕκαστον: κέκαστον N πάντας ΛY 14 καρτισμὸν N τούτων om v 15 τῶν om ΛYSΘ 16-17 et σεμνὴν παρθενίαν coll post φορείου et τὴν alt om ΛY 17 τῇ om ER^{a}v οἷς τισι C(corr οἵάς τισι vel οἷόν τισι C^2) 21 γιγνόμενος Σ ante παῦλος add ἀπόστολος V παῦλος om E(in marg adscr E^2)

916 M. ἡγεῖτο, εἰ μὴ πᾶσι τῶν ἰδίων ἀγαθῶν ἐκοινώνησεν (διὸ τὰ τοιαῦτα πρὸς τοὺς ἀκούοντας ἔλεγεν ὅτι Γίνεσθε ὡς ἐγώ, καὶ γὰρ αὐτὸς ἤμην ποτὲ καθ' ὑμᾶς· καὶ ὅτι Μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ), οὕτω καὶ ἡ φιλάνθρωπος αὕτη νύμφη τῶν θείων τοῦ νυμφίου μυστηρίων ἀξιωθεῖσα, ὅτε τὴν κλίνην εἶδε καὶ φορεῖον τοῦ βασιλέως ἐγένετο, βοᾷ πρὸς τὰς νεάνιδας (αὗται δ' ἂν εἶεν αἱ τῶν σῳζομένων ψυχαί) ἕως πότε λέγουσα τῷ σπηλαίῳ τοῦ βίου ἐναποκλείεσθε; ἐξέλθετε τῶν προκαλυμμάτων τῆς φύσεως καὶ ἴδετε τὸ θαυμαστὸν θέαμα Σιὼν θυγατέρες γενόμεναι, θεάσασθε περιπρέποντα τῇ κεφαλῇ τοῦ βασιλέως τὸν στέφανον, ὃν ἡ μήτηρ αὐτῷ περιέθηκε κατὰ τὴν τοῦ προφήτου φωνήν, ὅς φησιν Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. πάντως δὲ οὐδεὶς τῶν κρίνειν τοὺς περὶ θεοῦ λόγους ἐπεσκεμμένων ἀκριβολογεῖται περὶ τὴν τοῦ ὀνόματος ἔμφασιν, ὅτι μήτηρ ἀντὶ τοῦ πατρὸς μνημονεύεται, μίαν

1 cf I Cor 10, 33; Phil 3, 7 2-3 Gal 4, 12 3-4 I Cor 11, 1 8 cf Plato Resp 514 a sqq 9 cf Ambrosius De Isaac § 46 (p 670, 16 sqq) (id est Origen Comm): 'egredimini, id est exite de sollicitudinibus et cogitationibus saeculi, exite de angustiis corporalibus, exite de vanitatibus mundi et videte' 13 Ps 20, 4

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἡγεῖται Θ ἡγήσατο Σ ἰδίων om V 2 τὰ om ΛYSΘ λεγεν Σ(sscr ἔ Σ^2) γίνεσθαι R^aC(corr C^2) 3 ante καὶ pr add ὅτι ER^av Syr, fort recte γὰρ om ER^aPv Syr, fort recte post γὰρ add καὶ VTC 4 γίνεσθαι R^aC(corr C^2) καθὼς: ὡς PVC κἀγὼ: ἐγὼ ΣPv ante Χριστοῦ add τοῦ VC 5 νύμφη αὕτη v τοῦ δεσπότου ER^av om Syr 6 ἴδε EC (corr C^2)v φορεῖα Λ(ut vid, corr Λ^2) τοῦ om v τοῦ βασιλέως coll post κλίνην Syr coll post ἐγένετο Σ post ἐγένετο add καὶ ἀνεπαύσατο ἐν αὐτῷ Syr 7 αὖτα E(corr E^2) ad 7 in marg adnot τίνες αἱ νεάνιδες S τῶν: τῶ E(corr E^2) 8 ἐναποκλείαισθε Λ(corr Λ^2) ἐναποκλίνεσθε P ἐναποκλείεσθαι YC(corr C^2) 10 θέαμα om Θ γινόμεναι ΘC θεάσασθαι R^a(corr R^{a2}) 11 περιέποντα YΛ(? an πρέποντα?) ἐπιπρέποντα Σ περιτρέποντα Vv 12 αὐτοῦ PV post προφήτου add δᾱδ V 13 ὅς: ὥς SΘC 14 λίθων τιμίων Σ(corr Σ^2) Syr ante θεοῦ add τοῦ ΛYSΘ θεὸν v 15 περὶ: πρὸς ΛY 16 τοῦ om P ἑρμηνεύεται P (exp et scr in marg μνημον P^2)

ἀφ' ἑκατέρας φωνῆς ἀναλαμβάνων διάνοιαν. ἐπειδὴ γὰρ οὔτε ἄρρεν οὔτε θῆλυ τὸ θεῖόν ἐστιν (πῶς γὰρ ἂν ἐπὶ τῆς θεότητός τι νοηθείη τοιοῦτον, ὁπότε οὐδὲ ἡμῖν τοῖς ἀνθρώποις τοῦτο εἰς τὸ διηνεκὲς παραμένει, ἀλλ' ὅταν ἐν Χριστῷ πάντες εἷς γενώμεθα, τὰ σημεῖα τῆς διαφορᾶς ταύτης μετὰ ὅλου τοῦ παλαιοῦ ἀνθρώπου συνεκδυόμεθα;), τούτου χάριν ἰσοδυναμεῖ πρὸς τὴν ἔνδειξιν τῆς ἀφράστου φύσεως πᾶν τὸ εὑρισκόμενον ὄνομα οὔτε θήλεος οὔτε ἄρρενος τὴν σημασίαν τῆς ἀκηράτου καταμολύνοντος φύσεως. διὰ τοῦτο ἐν μὲν τῷ εὐαγγελίῳ ὁ πατὴρ λέγεται ποιεῖν τῷ υἱῷ τοὺς γάμους, ὁ δὲ προφήτης πρὸς τὸν θεὸν λέγει ὅτι Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου, ἐνταῦθα δὲ παρὰ τῆς μητρός φησιν ἐπιτεθεῖσθαι τῷ νυμφίῳ τὸν στέφανον. ἐπεὶ οὖν εἷς ἐστιν ὁ γάμος καὶ μία ἡ νύμφη καὶ παρὰ ἑνὸς ἐπιβάλλεται τῷ νυμφίῳ ὁ στέφανος, διαφέρει πάντως οὐδὲν ἢ υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ λέγειν θεὸν ἢ υἱὸν τῆς ἀγάπης αὐτοῦ κατὰ τὴν Παύλου φωνὴν μιᾶς οὔσης καθ'

2-6 cf De hom opif p 181 A-188 C (Migne) 4-5 cf Gal 3, 28 5-6 cf Col 3, 9; cf Matth 22, 30 10 cf Matth 22, 2 11 Ps 20, 4 16-17 cf Col 1, 13; cf Ambros (Origen Comm) l.l. p 670, 11: '· · · coronari a matre quasi filius caritatis . . .'

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἀφ': ἐφ' R^a(sed corr)P ἀναλαμβανομένων ΛYSΘ 2 ἄρσεν ΣP ἄρρην v ἐστὶ coll ante τὸ P ἂν om ΛYΘ 3 τι coll post νοηθείη ΛYSΘΣ om V οὐδὲ om T(sscr οὔτε) 4 τοῦτο om PV ἀλλ' ὅταν: ὅταν γὰρ Syr 5 εἷς scripsi sec Gal 3, 28 et legit ut vid Syr: ἓν hoc loco V ἓν ante πάντες ΛYSΘΣv om(scil per haplogr, cf infra ad 14) cett τὰ om YSΘ 6 ἀνθρώπου om Λ(in marg adscr Λ^2)YSΘ συνεκδυώμεθα V 7 ἀφθάρτου ER^aTv 7-9 πᾶν—φύσεως om PVC 8 post εὑρισκόμενον add καὶ λεγόμενον Syr ἄρρενος οὔτε θήλεος Σ 10 τῷ pr om Y τῷ υἱῷ coll post γάμους ΛY om v 11 λέγει coll ante πρὸς P ὅτι om T 12 λίθων τιμίων Syr παρὰ: περὶ P 13 φησιν: λέγει Σ ἐπιτίθεσθαι ER^av τεθεῖσθαι Σ 14 εἷς coll post ἐστιν v om Λ(add Λ^2)Y ἡ om ER^aCv post νύμφη add καὶ εἷς ὁ νυμφίος Syr 15 ἑτοιμάζεται E(exp et in marg scr ἐπιβάλλεται E^2) post διαφέρει add δὲ S 15-16 οὐδὲν coll ante διαφέρει ER^av 16 τοῦ om PVTC τοῦ θεοῦ om Λ(sscr Λ^2)YSΘ 17 ante παύλου add τοῦ ΣPVT ante μιᾶς add ὡς ER^av οὔσης: πάσης V καθ': ἐφ' P

ἑκάτερον ὄνομα τῆς νυμφοστολούσης αὐτὸν ἐπὶ τῇ ἡμετέρᾳ συνοικήσει δυνάμεως. ἐξέλθετε οὖν φησὶν ἡ νύμφη πρὸς τὰς νεάνιδας, καὶ θυγατέρες Σιὼν γένεσθε, ὥστε ἀπὸ σκοπιᾶς ὑψηλῆς (οὕτω γὰρ ἡ Σιὼν ἑρμηνεύεται) δυνηθῆναι τὸ θαυμαστὸν ἰδεῖν θέαμα στεφανηφοροῦντα τὸν νυμφίον. στέφανος δὲ αὐτῷ ἡ ἐκκλησία γίνεται διὰ τῶν ἐμψύχων λίθων τὴν κεφαλὴν ἐν κύκλῳ διαλαμβάνουσα, στεφανηπλόκος δὲ τοῦ τοιούτου στεφάνου ἡ ἀγάπη ἐστίν, ἣν εἴτε μητέρα εἴτε ἀγάπην τις λέγοι, οὐχ ἁμαρτήσεται· θεὸς γάρ ἐστιν ἡ ἀγάπη κατὰ τὴν Ἰωάννου φωνήν. τούτῳ δὲ τῷ στεφάνῳ ἐνευφραίνεσθαι λέγει αὐτὸν ἡ νύμφη τῷ νυμφικῷ κόσμῳ ἐναγαλλόμενον· χαίρει γὰρ ὡς ἀληθῶς ὁ σύνοικον τὴν ἐκκλησίαν ἑαυτῷ ποιησάμενος ταῖς ἀρεταῖς τῶν διαπρεπόντων ἐν αὐτῇ στεφανούμενος. κρεῖττον δ' ἂν εἴη αὐτὰς παραθέσθαι τὰς θείας φωνὰς ἐπὶ λέξεως ἐχούσας οὕτως· Ἐξέλθετε καὶ ἴδετε, θυγατέρες Σιών, ἐν τῷ βασιλεῖ Σαλωμὼν ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ
917 M. νυμφεύσεως αὐτοῦ καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.

Τὴν οὖν τοιαύτην φιλανθρωπίαν τῆς νύμφης ὁ λόγος ἀποδεξάμενος, ὅτι κατὰ μίμησιν τοῦ δεσπότου καὶ

3-4 scil ex Origen, cf in Joh XIII, 13 (p 237, 25): τὸ Σιών, ὅπερ ἐστὶν σκοπευτήριον 6-7 cf I Petr 2, 5 9-10 I Joh 4, 8; 16 15 Cant 3, 11

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἕτερον Y 1-2 τῆς ἡμετέρας συνοικήσεως v 2 post οὖν add καὶ ἴδετε Syr 3 γενέσθαι C (corr C^2) γίνεσθε PT ὥτε Y ante ἀπὸ add ὡς Σ 4 ὑψηλοῖς R^a ἡ om ER^{a}v 6 αὐτῶν YΛ(ut vid, corr αὐτοῦ Λ^2) αὐτοῦ T 7 λίθων: ἀνθῶν T 8 τοῦ om R^{a}ΛY τοῦ τοιούτου: τούτου τοῦ Syr 8-9 ἀγάπην εἴτε μητέρα R^a 9 λέγει Σv λέγων P ante θεὸς add ὁ T ἡ om Λv 10 ante Ἰωάννου add τοῦ TC 12 ἐπαγαλλόμενον C ὡς om T ὁ: ὡς ΛYSΘ 13 ἑαυτῷ ER^{a}TΣ(coll ante 12 τὴν)v: ἑαυτοῦ cett (Θ coll post 12 τὴν) τῶν διαπρεπόντων om Syr 14 ἐν om T 15 ἔχουσαν Σ ἐξέλθατε ΣC(corr C^2) LXX 16 θυγατέρες σιὼν coll post σολομῶν ΛY ἐν pr: καὶ P om Vv τὸν βασιλέα v Σαλωμὼν LXX: σαλομὼν (vel -ῶν) ER^{a}ΘPVTC σολομὼν (vel -ῶν)ΛYSΣ Σολομῶντα v 17 αὐτὸν om Λ(sscr Λ^2)Y 18 καὶ om C

αὐτὴ Πάντας θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, σεμνοτέραν αὐτὴν ἀπεργάζεται κῆρυξ τοῦ κάλλους αὐτῆς καὶ ζωγράφος γινόμενος· οὐ γὰρ ἁπλῶς ὁ τῆς ὥρας ἔπαινος γίνεται καθολικήν τινα τὴν εὐφημίαν περιέχων τοῦ κάλλους, ἀλλ' ἐμφιλοχωρεῖ τῷ λόγῳ τοῖς καθ' ἕκαστον μέλεσιν ἴδιον ἑκάστῳ μέλει διὰ συγκρίσεώς τε καὶ ὁμοιώσεως χαριζόμενος τὸ ἐγκώμιον. λέγει δὲ οὕτως· Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή· ἡ γὰρ μιμησαμένη τοῦ δεσπότου τὸ φιλάνθρωπον βούλημα καὶ ἐξελθεῖν ἐγκελευσαμένη καθ' ὁμοιότητα τοῦ Ἀβραὰμ τὰς νεάνιδας, ἑκάστην ἀπὸ τῆς γῆς ἑαυτῆς καὶ ἀπὸ τῆς περὶ τὰ αἰσθητήρια συγγενείας αὐτῆς, ὥστε ἰδεῖν τὸν καθαρὸν νυμφίον στεφανηφοροῦντα τὴν ἐκκλησίαν, ἀληθῶς πλησίον γίνεται τῆς δεσποτικῆς ἀγαθότητος διὰ τῆς πρὸς τὸν πλησίον ἀγάπης τῷ θεῷ προσεγγίσασα. καλὴ οὖν εἶ, φησὶ πρὸς αὐτὴν ὁ λόγος, τῇ ἀγαθῇ προαιρέσει τῷ καλῷ πλησιάσασα. ἡ δὲ ἐπανάληψις τοῦ ἐπαίνου τὸ ἀψευστον τῆς μαρτυρίας ἐνδείκνυται· ἐν γὰρ τῇ διπλῇ μαρτυρίᾳ βεβαιοῦσθαι τὴν ἀλήθειαν ὁ θεῖος ἀποφαίνεται

1 I Tim 2, 4 7 Cant 4, 1 9-11 cf Gen 12, 1; cf Ambros (= Origen Comm) l.l. p 670, 17-19; cf Origen in Joh XIII 52 (p 280, 29 sqq); XX 10 (p 337, 31 sqq); XX 15 (p 346, 20 sqq) 14-16 cf supra p 150, 11 sqq; cf Plato Theaet 176 b sqq nec non doctrinam ethicam Peripatet, cf ex. gr. Aristot NE Γ 4 p 1112 a 1: τῷ γὰρ προαιρεῖσθαι τἀγαθὰ ἢ τὰ κακὰ ποιοί τινές ἐσμεν. ut Gregorium agnoscas sectatorem Aristotelis, vide infra p 284, 5 sqq.

ER^a ΛYSΘ Σ PVT C Syr 1 αὕτη PV αὐτῇ R^a θέλει πάντας ΛYSΘP ante ἀληθείας add τῆς v 2 ante κῆρυξ add ὁ ER^{a}v 3 γιγνόμενος Σ γενόμενος V(sed corr) 3-4 ἁπλῶς coll post ἔπαινος Σ 4 γίνεται: λέγεται v τὴν om ER^{a}Pv 5 post κάλλους add αὐτῆς ΛYSΘΣ 6 μέρεσιν ER^{a}v 7 εἶ: ἡ ΣPC(corr C^2) 7-8 ἡ — καλή iterat Σ 8 ἰδοὺ εἶ καλή om Syr εἶ: ἡ PC(corr C^2) τὸ coll ante τοῦ V 11 ἑαυτῆς: αὐτῆς ΛYΣT αὐτῶν Syr τῆς om V αἰσθητὰ ΛYSΘ αὐτῆς: αὐτῶν Syr nota bene et ἑαυτῆς et αὐτῆς utrique commati clausulam imponere 12 ante νυμφίον add αὐτῆς Σ add αὐτῶν Syr 13 τῆς δεσποτικῆς: τῷ δεσπότῃ τῆς T 14-16 καλὴ—πλησιάσασα om Syr 15 εἶ coll post φησὶν C om ΛY ἀγαθῇ: καλῇ ER^{a}v 16 καλῷ: ἀγαθῷ ER^{a}v θεῷ V προσεγγίσασα Σ 18 ἀποφθέγγεται T

νόμος. διὰ τοῦτό φησιν Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή.

Ἀλλ' ἐπειδὴ ἓν σῶμα τοῦ Χριστοῦ ἡ ἐκκλησία πᾶσα, ἐν δὲ τῷ ἑνὶ σώματι, καθώς φησιν ὁ ἀπόστολος, μέλη ἐστὶ πολλά, πάντα δὲ τὰ μέλη οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, ἀλλὰ τὸν μὲν ὀφθαλμὸν ἔπλασεν ὁ θεὸς ἐν τῷ σώματι, ἕτερος δέ τις οὖς ἐφυτεύθη, εἰσὶ δέ τινες διὰ τῆς ἐνεργείας τῶν δυνάμεων χεῖρες γινόμενοι καὶ πόδες λέγονταί τινες οἱ τὰ βάρη βαστάζοντες, εἴη δ'ἄν τι καὶ γεύσεως ἔργον καὶ ὀσφρήσεως καὶ τὰ καθ' ἕκαστον πάντα, δι' ὧν τὸ ἀνθρώπινον σύγκειται σῶμα, δυνατόν ἐστιν εὑρεῖν ἐν τῷ κοινῷ σώματι τῆς ἐκκλησίας χείλη τε καὶ ὀδόντας καὶ γλῶσσαν, μαζούς τε καὶ κοιλίαν καὶ τράχηλον, ὡς δὲ ὁ Παῦλός φησι καὶ αὐτὰ τὰ δοκοῦντα ἀσχήμονα εἶναι τοῦ σώματος. τούτου χάριν ὁ ἀκριβὴς τοῦ κάλλους δοκιμαστὴς τῶν ἀρεσάντων αὐτῷ μελῶν ἐξ ὅλου τοῦ σώματος ἴδιόν τε καὶ πρόσφορον ἑκάστῳ ποιεῖται τὸν ἔπαινον. ἄρχεται δὲ τῶν ἐγκωμίων ἀπὸ τῶν κυριωτέρων μελῶν. τί γὰρ ὀφθαλμῶν ἐν τοῖς μέλεσιν ἡμῶν ἐστι τιμιώτερον, δι' ὧν ἡ τοῦ φωτὸς ἀντίληψις γίνεται, παρ' ὧν ἐστιν ἡ τῶν φιλίων τε καὶ πολεμίων ἐπίγνωσις, οἷς τὸ ἴδιόν τε καὶ τὸ

3-10 cf I Cor 12, 12-27   13-14 ibid 23

ER^a ΛYSΘ Σ PVT C Syr 1 νόμος: λόγος Σ Syr, sed Gregorius ad usum scribendi (= νόμος) sacrae scripturae spectare vid   εἶ: ἡ PC(corr C^2)   ἡ om E(sscr E^2)   2 εἶ: ἡ PC(corr C^2)   5 τάξιν V χρείαν Syr   6 τὸν: τοῦ V(sed corr)   ἔκτισεν ER^av   8 γινόμεναι T γενόμενοι Σ   10 τὸ om v   σεγειται(sic) P (sscr συγκ) συνίσταται ER^av   11 ante δυνατόν add καὶ $R^a E^2$v   ante ἐν add καὶ γλῶσσαν Σ   τῷ κοινῷ: τούτῳ τῷ Syr   σώματι coll post ἐκκλησίας ER^av   14 εἶναι ἀσχήμονα ER^aTv   post ἀσχήμονα add μέρη T   ἐν τῷ σώματι Syr   post σώματος add (scil sec I Cor 12, 23) τιμὴν περισσοτέραν ἔχει ΛYSΘ Syr   ἀκριβ·ὴ·ς C^2(corr ἡ in ras 3 litt)   15 κάλλους: λόγου C   16 ἑκάστῳ ER^aTv Syr: ἑκάστου cett   ποιεῖται ἑκάστου Σ ποιεῖ Θ   17 δὲ: οὖν T   ante ἐγκωμίων adnot in marg τῶν ἐμπαθῶν(?) Θ   19 δι'—γίνεται om P   20 φιλίων ΣPVC: φίλων cett v   τε pr om ER^av   οἷς: οἱ E(corr E^2)   τε alt om ER^av   τὸ alt om ΣPVTC

ἀλλότριον διακρίνομεν, οἳ πάσης ἐργασίας ὑφηγηταὶ καὶ διδάσκαλοι γίνονται καὶ τῆς ἀπλανοῦς ὁδοιπορίας ὁδηγοὶ συμφυεῖς καὶ ἀχώριστοι, ὧν ἡ θέσις τῶν ἄλλων αἰσθητηρίων ὑπερκειμένη τὸ προτιμότερον τῆς ἀπ' αὐτῶν γινομένης ἡμῖν πρὸς τὸν βίον ὠφελείας ἐνδείκνυται. πάντως δὲ πρόδηλόν ἐστι τοῖς ἀκούουσιν εἰς ποῖα μέλη τῆς ἐκκλησίας ὁ τῶν ὀφθαλμῶν ἔπαινος βλέπει· ὀφθαλμὸς ἦν Σαμουὴλ ὁ βλέπων
920 M. (οὕτω γὰρ ὠνομάζετο), ὀφθαλμὸς Ἰεζεκιὴλ ὁ σκοπεῖν ὑπὸ τοῦ θεοῦ τεταγμένος ἐπὶ τῇ τῶν φυλασσομένων παρ' αὐτοῦ σωτηρίᾳ, ὀφθαλμὸς Μιχαίας ὁ ὁρῶν καὶ Μωϋσῆς ὁ θεώμενος ὁ διὰ τοῦτο καὶ θεὸς ὠνομασμένος, ὀφθαλμοὶ πάντες ἐκεῖνοι οἱ εἰς ὁδηγίαν τοῦ λαοῦ τεταγμένοι. οὓς καὶ ὁρῶντας ὠνόμαζον οἱ τότε ἄνθρωποι· καὶ νῦν οἱ τὸν ἐκείνων τόπον ἀναπληροῦντες <ἐν> τῷ σώματι τῆς ἐκκλησίας ὀφθαλμοὶ κυρίως κατονομάζονται, ἐὰν ἀκριβῶς πρὸς τὸν τῆς δικαιοσύνης βλέπωσιν ἥλιον μηδαμοῦ τοῖς ἔργοις τοῦ σκότους ἐναμβλυώττοντες, καὶ εἰ διακρίνοιεν τοῦ ἀλλοτρίου τὸ ἴδιον ἐν τῷ γινώσκειν ὅτι πᾶν ἀλλότριόν ἐστι τῆς φύσεως ἡμῶν τὸ φαινόμενόν τε καὶ πρόσκαιρον, ἴδιον δὲ τὸ δι'ἐλπίδος

7 Σαμουὴλ ὁ βλέπων: cf I Reg 9, 9 sqq; 16, 4; I Paralip 29, 29   8-9 cf Ezech 3, 17; 33, 7   10 cf Amos 7, 12   10-11 cf Exod 7, 1   15-16 cf Malach 3, 20   16 cf Rom 13, 12; Eph 5, 11   19 cf II Cor 4, 18   19-p 218, 1 cf Col 1, 5; Rom 8, 24

ER^a ΛYSΘ Σ PVT C Syr 1 διακρίνομεν, οἳ: διακρινόμενοι ER^aΣ διακρίνεται παρ'ἡμῶν, οἳ V   οἳ om v   2-3 καὶ τῆς—ἀχώριστοι om Syr   5 πρὸς τὸν βίον om ER^aΛYv   ὠφελείαν C(corr C^2) om P   ἐνδείκνυνται S   7 ante σαμουὴλ add ὁ P   ὁ βλέπων om Λ(in marg add $Λ^2$)Y   8 ante Ἰεζεκιὴλ add δὲ ΛY add ὁ Vv   ὁ σκοπὸς Syr ὡς σκοπὸς T, uterque scil de Ezech 3, 17   9 τοῦ om PVC   τῇ om Λ(sscr $Λ^2$)Y   10 Μιχαίας: Ἀμὼς Syr(scil corr lapsum memoriae Gregorii)   καὶ: ὀφθαλμὸς Syr   μωσῆς ΛSΘΣ μωσεὼς V   11 ὁ θεώμενος om Syr(scil interpr) τεθεωμένος VT   ὁ διὰ—ὠνομασμένος om Λ(in marg add $Λ^2$) Y   post θεὸς add ὢν P   12 οἱ om E(ins E^2)   τοῦ λαοῦ om T   13 ὀνομάζων C(corr C^2)   post νῦν add δὲ Syr   τὸν: τῶν C(corr C^2)   ἐκεῖνον v   14 ἐν Syr: om codd v   post ἐκκλησίας add καὶ ἐπισκοπεῖν τεταγμένοι ER^aΣTv non habet Syr   16 ἥλιον βλέπωσι ER^av   μηδαμῶς Σ   17 ἐναμβλυωποῦντες ER^av   τῷ ἀλλοτρίῳ T   18 πᾶν om P   19 δὲ: τε C

προκείμενον, οὗ ἡ κτῆσις μένει πρὸς τὸ διηνεκὲς ἀναφαίρετος. ὀφθαλμῶν ἔργον καὶ τὸ διαγινώσκειν τὸ φίλιόν τε καὶ τὸ πολέμιον, ὥστε ἀγαπᾶν μὲν τὸν ἀληθινὸν φίλον ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ δυνάμεως, τέλειον δὲ μῖσος κατὰ τοῦ ἐχθροῦ τῆς ζωῆς ἡμῶν ἐπιδείκνυσθαι. ἀλλὰ καὶ ὁ τῶν πρακτέων ὑφηγητὴς καὶ τῶν συμφερόντων διδάσκαλος καὶ τῆς ἐπὶ τὸν θεὸν πορείας χειραγωγὸς τοῦ καθαροῦ τε καὶ ὑγιαίνοντος ὀφθαλμοῦ τὸ ἔργον δι᾽ἀκριβείας ποιεῖ καθ᾽ ὁμοιότητα τῶν σωματικῶν ὀμμάτων διὰ τῆς ὑψηλῆς πολιτείας τῶν λοιπῶν προφαινόμενος. διὰ τοῦτο ἐντεῦθεν ἐπαινεῖν ὁ λόγος τὸ τῆς νύμφης ἄρχεται κάλλος καί φησιν Ὀφθαλμοί σου περιστεραί· ἀκεραίους γὰρ εἰς τὸ κακὸν τοὺς ἐν ὀφθαλμῶν τάξει προβεβλημένους ὁρῶν τὴν ἁπλότητά τε καὶ τὸ ἀκέραιον τοῦ ἤθους αὐτῶν ἀποδεξάμενος περιστερὰς αὐτοὺς κατωνόμασεν· ἴδιον γάρ ἐστι περιστερῶν τὸ ἀκέραιον. ἢ τάχα καὶ τοιοῦτόν τινα ὁ λόγος μαρτυρεῖ τοῖς ὄμμασιν ἔπαινον· ἐπειδὴ γὰρ πάντων τῶν ὁρατῶν αἱ εἰκόνες τῷ καθαρῷ τῆς κόρης ἐμπίπτουσαι τὴν ὁρατικὴν ἐνέργειαν ἀποτελοῦσιν, ἀνάγκη πᾶσα πρὸς ὅ τις ὁρᾷ, τούτου τὴν μορφὴν ἀναλαμβάνειν διὰ τοῦ ὀφθαλμοῦ κατόπτρου δίκην τοῦ ὁρατοῦ τὸ εἶδος

3-4 cf Deut 6, 5 4-5 cf Ps 138, 22; Ps 96, 10; cf Rom 12, 9 11-12 Cant 4, 1 15 cf Matth 10, 16 17-p 219, 8 cf supra p 105, 10-106, 9

ER^a ΛYSΘ Σ PVT C Syr 1 προσκείμενον P κτῆσις ER^aΘPv: κτίσις cett (corr $Λ^2$ C^2) Syr 2 ὀφθαλμοῖν Λ (ut vid, corr $Λ^2$) post ἔργον add δὲ Syr τὸ alt: τὸν ER^aΣTv φίλον T τὸ tert VC: τὸν ER^aΣTv om ΛYSΘP quibus clausula obstat 4 τε om V 5 τῶν ἐχθρῶν (scil sec Ps 138, 22) Σ Syr δείκνυσθαι T (sscr ἐπι) 7 τῆς om T τοῦ θεοῦ V 8 ποιεῖ: τῆς YΛ (ut vid, eras et corr $Λ^2$) om P 9 διὰ ΛYSΘΣ Syr: om cett v 10 post τοῦτο add τοίνυν Syr 12 ἀκεραίου Y καλὸν E^2 (λ e κ) Θ 13 τε ER^aΣTv: om cett 14-15 περιστερὰς—ἀκέραιον om P κατωνόμασεν αὐτούς ER^av 15 ἢ: εἰ Λ (corr $Λ^2$) Y καὶ om ER^av 16 τινα om P ὀνόμασιν P 17 τῶν om E (adscr E^2) ὁρατῶν om Θ (sed in marg adscr) 18 ἐμπίπτουσα Y ὁρατὴν Λ (corr $Λ^2$) YS (ut vid) Θ 19 ὅ: ὃν ΣC ἀναλαμβάνων C (corr C^2) 20 τῶν ὀφθαλμῶν C διὰ τοῦ ὀφθαλμοῦ coll post δίκην P νίκην R^a (sed corr) ὁρατοῦ: φαινομένου ER^av ὀφθαλμοῦ Θ

ἀναμασσόμενον. ὅταν τοίνυν ὁ τὴν ὀπτικὴν ταύτην ἐξουσίαν ἐπὶ τῆς ἐκκλησίας λαβὼν πρὸς μηδὲν ὑλῶδες καὶ σωματικὸν βλέπῃ, ὁ πνευματικός τε καὶ ἄϋλος ἐν αὐτῷ κατορθοῦται βίος. ἡ δὲ τοιαύτη ζωὴ τῇ τοῦ ἁγίου πνεύματος χάριτι καταμορφοῦται. οὐκοῦν ὁ τελεώτατος τῶν ὀφθαλμῶν ἐστιν ἔπαινος τὸ πρὸς τὴν τοῦ πνεύματος τοῦ ἁγίου χάριν μεμορφῶσθαι αὐτῶν τῆς ζωῆς τὸ εἶδος· περιστερὰ γὰρ τὸ πνεῦμα τὸ ἅγιον. ἡ δὲ δυὰς τῶν ὀφθαλμῶν ἐπαινεῖται, ὡς ἂν ὅλος γένοιτο ἐν ἐπαίνῳ ὁ ἄνθρωπος, ὁ φαινόμενός τε καὶ νοούμενος. διὰ τοῦτο γὰρ προσέθηκε τῷ ἐπαίνῳ καὶ ἄλλην ὑπερβολὴν εἰπὼν ὅτι Ἐκτὸς τῆς σιωπήσεώς σου· τοῦ γὰρ ἀγαθοῦ βίου τὸ μέν τι πρόδηλόν ἐστιν, ὡς καὶ ἀνθρώποις γνώριμον εἶναι, τὸ δὲ κρύφιόν τε καὶ ἀπόρρητον μόνῳ θεῷ καθορώμενον. ὁ τοίνυν τὸ ἀκατέργαστον βλέπων καὶ εἰς τὰ κρύφια καθορῶν μαρτυρεῖ ἐπὶ τοῦ ἐπαινουμένου προσώπου πλέον εἶναι τοῦ ὁρωμένου τὸ σιωπώμενον. δι᾽ ὧν φησιν ὅτι Ὀφθαλμοί σου περιστεραὶ ἐκτὸς τῆς σιωπήσεώς σου· ἔξωθεν γάρ ἐστι τοῦ ἐπαινεθέντος ἤδη τὸ διὰ τῆς σιωπῆς θαυμαζόμενον.

Ὁδῷ δὲ προάγει καθεξῆς τὸ τοῦ κάλλους ἐγκώμιον
921 M. ἐπὶ τὰς τρίχας μεταγαγὼν τὸν λόγον καί φησι Τρίχωμά

1-4 cf etiam supra p 150, 9-151, 2 10-19 cf infra p 456, 1-15 13-14 cf Matth 6, 4; 6; 18; Ps 43, 22 14-15 cf Ps 138, 16 21-223, 9 cf infra p 451, 4-452, 16

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἀναμασσόμενος $R^a$$E^2$ΣT (corr ex -ον) $Λ^2$v post τὴν lac 3 vel 4 litt P 2 ἔλαβων (sic) C (corr C^2) 3 βλέπει ΛYΣVC (corr C^2) ὁ om PVC τε om V 4 τῇ om P 5 συμμορφοῦται V τελειότατος Σv 6 ἐστιν om E (adscr E^2) iterat R^a 6-7 et τοῦ pr om et πνεύματος coll post ἁγίου ΣPT 7 μεταμεμορφῶσθαι P 9 ὅλος: ὁ λόγος C (corr C^2) ὁ alt om Θ 10 γὰρ τοῦτο T προστέθεικε ΘV 11 post εἰπὼν eras 6 vel 7 litt E 12 τὸ γὰρ ἀγαθὸν τοῦ βίου ΛY τὸν γὰρ ἀγαθὸν βίον (om τὸ μέν τι) Syr (fort = ΛY) 13 ἄνθρωπος C (corr C^2) 14 ante θεῷ add τῷ ΛYSΘ ante τὸ add καὶ Syr 16 ὁρωμένου: φαινομένου ER^av 17 ὅτι om T ante ὀφθαλμοί add οἱ PV τῆς om Λ (sscr $Λ^2$) Y 20 τὸ om E (ins E^2) 21 μετάγων VE (fort, corr E^2) v τὸν λόγον: τὸ ἐγκώμιον Θ καί φησι: φησὶ γὰρ T εἰπὼν Syr

σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνεκαλύφθησαν ἀπὸ τοῦ Γαλαάδ. νοῆσαι δὲ προσήκει πρῶτον τῆς τριχὸς τὴν φύσιν, εἶθ' οὕτως ἐπιγνῶναι τὸν ἔπαινον, ὃν διὰ τῶν τριχῶν ὁ λόγος τῇ νύμφῃ χαρίζεται. οὐκοῦν δόξα μὲν γυναικὸς ἡ θρὶξ παρὰ τοῦ Παύλου ὠνόμασται καὶ ἀντὶ περιβολαίου δεδόσθαι τῇ γυναικὶ τὴν κόμην λέγει. αἰδῶ δὲ καὶ σωφροσύνην τὸ πρέπον εἶναί φησι ταῖς γυναιξὶ περιβόλαιον οὕτω γράψας τῷ ῥήματι ὅτι Ὡς πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν Μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, ὡς διὰ τούτων τὰς ἐπὶ τῆς κεφαλῆς τρίχας, αἷς κομᾷ ἡ γυνή, αἰδῶ καὶ σωφροσύνην διὰ τῆς τοῦ Παύλου σοφίας καταλαμβάνεσθαι· οὐδὲ γὰρ ἄλλην τινὰ πρέπει δόξαν ὀνομάζεσθαι ἐπὶ τῆς ἐπαγγελλομένης θεοσέβειαν ψυχῆς εἰ μὴ τὴν αἰδῶ τε καὶ σωφροσύνην, ἣν κόμην ὠνόμασεν, ἣν ὅταν μὴ ἔχῃ Καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς, καθώς φησιν ὁ ἀπόστολος. εἰ δὲ ταῦτα περὶ τῶν τριχῶν ὁ Παῦλος ἐφιλοσόφησε,

4-6 I Cor 11, 15   8 I Tim 2, 10   9 ibid 9   15 I Cor 11, 5

ER^a ΛYSΘ Σ PVT C Syr   3 ἐπιγνῶναι τὸν om Λ(sscr τὸν Λ^2)Y   4 γυναικὸς Syr: γυναικὸς κεφαλῆς ER^{a}v κεφαλῆς γυναικὸς ΣT κεφαλῆς γυναικείας cett   5 θρὶξ om R^a id est: in archetypo erat scriptum super ἡ θρὶξ interpretamentum κεφαλῆς, quod sua sponte codd cum inseruerunt tum coniecturis vexaverunt, ineptissime ut solet R^a. sententia Gregorii e I Cor 11, 15 late patet: γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν.   6 δεδόσθω Y δεδύσθαι S δίδοσθαι C   τῇ—κόμην: αὐτῇ Syr(scil sec I Cor 11, 15)   δὲ om P   σωφροσύνη E(adscr ν E^2)   6-7 λέγει—φησι om V   6-8 αἰδῶ—ῥήματι: ἐν ἄλλῳ δὲ τόπῳ λέγει Syr(interpr ut vid)   7 φησι: λέγει ΛY   8 ὅτι om ER^{a}v   γυναιξὶν om PVC(sscr C^2)   ἐπαγαλλομέναις Λ(corr Λ^2)Y   8-9 θεοσεβεῖν ER^{a}Vv   9 ὡς om v   11 ante αἰδῶ add τὴν ER^{a}v   ex αἰδῶ corr αἰδοῖ C^2 σωφροσύνη C   τοῦ om T   11-12 διά—δόξαν om P   12 ἄλλον Y   πρέπειν τινὰ ER^a πρέπει τινὰ v   ὀνομάζεσθαι ΛYSΘ Syr: νομίζειν Σ νομίζεσθαι cett, quod minus placet, etsi excludi non potest   13 ἐπαγαλλομένης Λ(corr Λ^2)Y   14 post καὶ add τὴν omnes praeter ΣPT sed claus obstat   ἣν pr om ER^a ἣν alt: ἵν' Θ   ἔχει ΣC(corr C^2)   15 καταισχύνη ΘΣCT(fort, sed corr pr m)   αὐτῆς ER^{a}Σv   καθώς: ὡς ΛY   16 δὲ: δὴ ER^{a}Σv   post ταῦτα add καὶ τὰ τοιαῦτα Syr   post ὁ add ἀπόστολος P   Παῦλος: λόγος ΛYSΘ   post παῦλος add οὕτως Σ

προσακτέον ἂν εἴη τὰ τοῦ ἀποστόλου νοήματα τῷ ἐπαίνῳ τῆς ἐκκλησίας ἐν τῷ περὶ τοῦ τριχώματος λόγῳ κατὰ τὴν προκειμένην φωνὴν ἥ φησιν ὅτι Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνεκαλύφθησαν ἀπὸ τοῦ Γαλαάδ· διὰ τούτων γὰρ τὴν ἐνάρετον πολιτείαν ἐν ἐπαίνῳ ποιεῖται ὁ λόγος. ἀλλὰ κἀκεῖνο προστεθῆναι τῷ περὶ τῶν τριχῶν λόγῳ προσήκει ὅτι πάσης αἰσθήσεως ζωτικῆς ἀμοιροῦσιν αἱ κόμαι· οὐ μικρὸν γὰρ εἰς ἐπαύξησιν ἐγκωμίων καὶ τοῦτο τὸ μήτε πόνου μήτε ἡδονῆς αἴσθησιν ἐν ταῖς θριξὶν εἶναι· τὸ μὲν γὰρ σῶμα, ὅθεν ἐκφύονται, ὀδυνᾶται παρατιλλόμενον, αὐτὴ δὲ ἡ θρὶξ οὔτε εἰ τέμνοιτο οὔτε εἰ φλέγοιτο οὔτε εἰ διά τινος κομμωτικῆς ἐπιμελείας καταλεαίνοιτο τῶν γινομένων αἴσθησιν δέχεται. τὸ δὲ ἀμοιρεῖν τῆς αἰσθήσεως τῶν νεκρῶν ἐστιν ἴδιον. οὐκοῦν ὁ μηδεμίαν τῶν ἐν τῷ κόσμῳ τούτῳ σπουδαζομένων παραδεχόμενος αἴσθησιν μήτε ὑπὸ δόξης τε καὶ τιμῆς ἐξογκούμενος μήτε δι' ὕβρεώς τε καὶ ἀτιμίας ἀλγεινῶς διατιθέμενος, ἀλλ' ἐν ὁμοίῳ καθ' ἑκάτερον τῶν ἐναντίων ἑαυτὸν φυλάσσων, οὗτός ἐστιν ἡ ἐπαινουμένη τῆς νύμφης κόμη, νεκρὸς ἄντικρυς καὶ ἀκίνητος πρὸς τὰ τοῦ κόσμου φαινόμενος πράγματα, εἴτε οὕτως εἴτε ὡς ἑτέρως ἔχοι.

Εἰ δὲ τὸ πλεονέκτημα τῶν τριχῶν ἀγέλαις αἰγῶν παρα-

19-20 cf Rom 6, 11

ER^a ΛYSΘ Σ PVT C Syr   1 προσακτέον ex corr Λ προσεκτέον PV (in marg προσακτέον)   ἀποστόλου: λόγου αὐτοῦ Syr   νοήματα: ῥήματα ER^{a}v   3 ὅτι om T   σου: μου Y   4 διὰ τοῦτο V   5 ἐν om C(sscr C^2)   6 τῷ: τὸ Σ   τῶν om P et προσήκει coll ante προστεθῆναι et τῷ λόγῳ(sic) coll ante τῷ ER^{a}v   7 ζωτικῆς om P   κόμαι: τρίχες ΛYΣT(in marg γρ κόμαι·)   8 αὔξησιν Σ   ἐγκωμίου Syr   9 ἡδονῆς: ὠδύνης P (ὠ inc)   αἴσθησιν coll post θρηξὶν(sic) Σ   10 οὐ δύναται C (corr C^2)   περιτιλλόμενον S(ex corr ut vid)   12 κομμωτικῆς ΘT: κομωτικῆς Λ(corr Λ^2)YSPVC(corr C^2) κωμμωτικῆς ER^{a}Σv   12-13 τῷ γινομένῳ v   13 ἄμοιρον E(ut vid, corr E^2)PVC ἀμοιροῦν T   14 (ἴδ)ιον E^2 in ras   15 τούτων R^a 17 post ὁμοίῳ add καὶ R^a 18 ἑκατέρων P ἕτερον Λ(corr Λ^2)YSΘ φυλάττων ER^{a}V διαφυλάσσων Θ   20 φαινόμενος: γενόμενος ER^{a}v post οὕτως add ἔσται T   21 ὡς om ΣV   ἔχει V

βάλλεται ταῖς ἀπὸ τοῦ Γαλαὰδ ἀνακαλυφθείσαις, ἃ μὲν χρὴ δι' ἀκριβείας περὶ τούτων γινώσκειν, οὔπω καταλαβεῖν ἠδυνήθημεν, στοχαζόμεθα δὲ ὅτι ὥσπερ τὰ ξύλα τοῦ Λιβάνου εἰς χρυσόν τε καὶ ἄργυρον καὶ πορφύραν καὶ λίθους τιμίους μεταποιήσας φορεῖον ὁ βασιλεὺς κατεσκεύασεν ἑαυτῷ, οὕτως οἶδεν ὁ ποιμὴν ὁ καλὸς αἰγῶν ἀγέλας παραλαβὼν
924 M. εἰς ποίμνια μεταβαλεῖν τὰ αἰπόλια τοῦ Γαλαὰδ ὄρους. ἀλλοφύλου δὲ ὄρους ὄνομα τοῦτο τοῦ τὴν τοιαύτην χάριν ἀνακαλύπτοντος, ὥστε τοὺς ἐξ ἐθνῶν τῷ καλῷ ποιμένι ἀκολουθήσαντας εἰς τὸ τρίχωμα συντελέσαι τοῦ τῆς νύμφης κάλλους, δι' ὧν σωφροσύνη τε καὶ αἰδὼς καὶ ἐγκράτεια καὶ ἡ τοῦ σώματος νέκρωσις κατὰ τὸν προθεωρηθέντα λόγον διασημαίνεται. ἢ τάχα συμβάλλεταί τι πρὸς τὴν τῶν αἰγῶν θεωρίαν καὶ ὁ Ἠλίας τῷ ὄρει τῷ Γαλαὰδ ἐμφιλοσοφήσας χρόνον πολύν, ὃς μάλιστα τοῦ κατ' ἐγκράτειαν καθηγήσατο βίου αὐχμηρὸς τὸ εἶδος, λάσιος τὴν τρίχα, ἀντὶ μαλακῆς τινος ἐσθῆτος δέρματι αἰγὸς σκεπαζόμενος; πάντες οὖν οἱ κατὰ τὸν προφήτην ἐκεῖνον τὸν ἑαυτῶν κατορθοῦντες βίον κόσμος γίνονται τῆς ἐκκλησίας, ἀγεληδὸν

3-5 cf supra p 209,14-20 14-15 nusquam narratur in libris Regum Elias se removisse in montem Γαλαάδ. Gregorius nomen civitatis Eliae (cf III Reg 17, 1), quae est ὁμώνυμος τῷ ὄρει, ἐπ' αὐτῷ κειμένη (Euseb Onomast p 62, 2), ad montem non nominatum transtulisse videtur, in quo nuntii regis Ochoziae eum invenerunt (cf IV Reg 1, 9). 16-17 cf IV Reg 1, 8

ER^a ΛYSΘ Σ PVT C Syr 2 περὶ om Λ (sscr man fort pr) 3 ἐδυνήθημεν ΛYΘ δὲ om P 4 et χρυσίον et ἀργύριον Σ καὶ λίθους τιμίους Σ Syr: om cett v 6 ἀγέλην Syr παραλαβεῖν καὶ $R^a$$E^2$ (corr -λαβεῖ- in ras) v Syr 7 post ποίμνια add προβάτων Σ (fort recte) add πρᾶα Syr μεταβάλλειν ΛYSΘV μεταβαλὼν C (ut vid, corr C^2) in marg adnot τι ἐστι γαλααδ $Θ^2$ ὄρους: ὄρη Θ ὄρου Σ 8 τούτω C (corr C^2) 9 ποιμαίνει C (corr C^2) 10 συντελῆσαι v 13 ἢ: εἰ Y τι: τε v 14 αἰγῶν: ἔργων PVTC 14-15 ἐμφιλοχωρήσας Θ 15 πολὺν χρόνον Σ ἐκράτειαν E (sscr γ E^2) ἐγράτειαν P 16 ἀφηγήσατο T βίον Y λάσιος ΛYSΘΣV: δάσειος PC (ut vid, eras -ειος et corr -ὺς C^2) δασὺς ER^aTv LXX (IV Reg 1, 8) cf infra p 452, 8 17 δέρμα ΛY δέρματα SΘC (corr C^2) Syr αἰγῶν S Syr 18 αὐτῶν v 19 βίον κατορθοῦντες V

κατὰ τὸν νῦν ἐπικρατοῦντα τῆς φιλοσοφίας τρόπον μετ' ἀλλήλων τὴν ἀρετὴν ἐκπονοῦντες. τὸ δὲ ἐκ τοῦ Γαλαὰδ τὰς τοιαύτας ἀποκαλυφθῆναι ἀγέλας μείζονα τοῦ θαύματος τὴν ὑπερβολὴν ἔχει, ὅτι ἐκ τοῦ ἐθνικοῦ βίου γέγονεν ἡμῖν ἡ πρὸς τὴν κατὰ θεὸν φιλοσοφίαν μετάστασις· οὐ γὰρ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ τῆς τοιαύτης καθήγησατο πολιτείας, ἀλλὰ τὸ τοῖς εἰδώλοις ἀνακείμενον ἔθνος εἰς τοσαύτην ἦλθε τοῦ βίου μεταβολήν, ὥστε τὴν κεφαλὴν κοσμῆσαι τῆς νύμφης τοῖς κατ' ἀρετὴν προτερήμασιν.

Εἶτα τοὺς ὀδόντας τῇ ἀκολουθίᾳ τῶν ἐπαίνων ὁ λόγος προτίθησι παραδραμὼν τοῦ στόματός τε καὶ τῶν χειλῶν τὰ ἐγκώμια, ὅπερ ἄξιον μὴ παριδεῖν ἀνεξέταστον. τί δή ποτε τῶν χειλῶν οἱ ὀδόντες ἐν τοῖς ἐπαίνοις προτίθενται; τάχα μὲν οὖν εἴποι τις ἂν γλαφυρώτερον τὸ κάλλος δεῖξαι βουλόμενος μειδίαμα στόματος διὰ τῆς τῶν ὀδόντων ὑπογραφῆς κατὰ τὸ λεληθὸς συνενδείκνυσθαι, ἐγὼ δὲ πρὸς ἕτερον βλέπων προτερεύειν ἐν τοῖς ἐπαίνοις τὸ τῶν ὀδόντων κάλλος πρὸ τῶν τοῦ στόματος ἐγκωμίων λογίζομαι· μετὰ τοῦτο γὰρ οὐδὲ τὸ χεῖλος ἀφῆκεν ἀνεγκωμίαστον, σπαρτίον εἰπὼν κόκκινον εἶναι τὰ χείλη αὐτῆς καὶ τὴν λαλιὰν ὡραίαν. τί οὖν ἐστιν ὃ περὶ τούτου στοχάζομαι; ἀρίστη τάξις ἐστὶν

1 spectat ad regulam Basilii 14 scil Origen in Comm

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐπικροτοῦντα Y 2 ἐπινοοῦντες C ἐκ τοῦ om v 3 ἀγέλας ἀποκαλυφθῆναι Σ 4 τὴν om Σ 5 ἡ om Σ (τ)ή(ν) in ras E^2 τὴν κατὰ: τὸν ΛYSΘ φιλοσοφία Λ (corr διὰ φιλοσοφίας $Λ^2$) YSΘ 6 τῆς $Λ^2$ ex corr 7 τοιαύτην Syr 8 ante μεταβολὴν add τὴν VC μετάστασιν v 11 προστίθησι ΛYSΘPC Syr, sed cf 13 χειλῶν Λ (corr -λέων $Λ^2$) YSPC: χειλέων cett v 12 et ἅπερ et ἀνεξέταστα ER^aT 13 χειλῶν Λ (corr -λέων $Λ^2$) YSVC: χειλέων cett v οἱ om V 15 post μειδίαμα add μὲν PV μειδιαμὲν (sic) C (et eras μὲν et sscr μα C^2) 15-16 ὑπογράφη ὁ (id est O pro C) Σ μειδίαμα—συνενδείκνυσθαι om Syr 16 συνεκδείκνυσθαι Λ (corr $Λ^2$) Y post ἕτερον add τι Syr, quod praetulissem nisi claus obstaret 18 πρὸ om Θ πρὸ τῶν: πρῶτον Σ σώματος ΛYΘ ἐγκώμιον Σ 19 οὔτε T 20 et κόκκινον coll post αὐτῆς et εἶναι om Σ αὐτοῦ Y 21 ἐστιν pr om v τούτων VC 21- p 224, 1 ἐστὶν alt coll post μαθήμασιν v

ἐν τοῖς μαθήμασι πρῶτον διδάσκεσθαι καὶ τότε φθέγγεσθαι. τὰ δὲ μαθήματα ψυχῆς βρώματά τις εἰπὼν εἶναι τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. ὥσπερ δὲ τὴν σωματικὴν τροφὴν τοῖς ὀδοῦσι καταλεάναντες κατάλληλον αὐτὴν τοῖς σπλάγχνοις γενέσθαι παρασκευάζομεν, κατὰ τὸν αὐτὸν τρόπον ἔστι τις λεπτοποιητικὴ τῶν διδαγμάτων δύναμις ἐν τῇ ψυχῇ, δι' ἧς ὠφέλιμον γίνεται τῷ δεχομένῳ τὸ μάθημα. τοὺς τοίνυν κριτικούς τε καὶ διαιρετικοὺς τῶν διδαγμάτων καθηγητάς, δι' ὧν εὔληπτος γίνεται ἡμῖν καὶ ἐπωφελὴς ἡ διδασκαλία, ὀδόντας ὑπὸ τοῦ λόγου φημὶ τροπικῶς ὀνομάζεσθαι. οὗ χάριν προλαμβάνει τῶν ὀδόντων ὁ ἔπαινος, εἶθ' οὕτως ἐπάγεται τῶν χειλῶν τὸ ἐγκώμιον· οὐ γὰρ ἂν ἐπήνθιστο τῷ λογικῷ κάλλει τὸ χεῖλος μὴ τῶν ὀδόντων ἐκείνων διὰ τῆς φιλοπονωτέρας τῶν μαθημάτων κατανοήσεως τὴν ἐν τοῖς λόγοις χάριν ἐπιβαλλόντων τοῖς χείλεσιν, αἰτίαν μὲν οὖν τῆς ἐν τοῖς ἐπαίνοις ἀκολουθίας ταύτην ἐπὶ τῶν ὀδόντων κατενοήσαμεν. καιρὸς δ' ἂν εἴη καὶ αὐτὸν ἐξετάσαι τὸν ἔπαινον, πῶς παραβάλλει τὸ ἐν τοῖς ὀδοῦσι κάλλος ταῖς
925 M. κεκαρμέναις ἀγέλαις, αἳ νῦν τοῦ λουτροῦ ἀναδυεῖσαι διδύμοις ἐπαγάλλονται τόκοις κατὰ τὸ ἴσον αἱ πᾶσαι. ἔχει δὲ κατὰ

2 cf Plato Prot 313 c

ER^a ΛYSΘ Σ PVT C Syr 2 τὰ δὲ μαθήματα om P ante ψυχῆς add τῆς ER^av τινα εἰπών τις Θ εἰκότος: δέοντος Θ προσήκοντος P 3 δὲ: γὰρ δὴ R^aE^2(ex δὲ)v τὴν om P 4 super καταλεάναντες sscr λεπτοποιη P 5 γίνεσθαι C om ΛYSΘ κατασκευάζομεν Θ(in marg παρα $Θ^2$) 7 ὀφέλιμον v τῶν δεχομένων C 8 διδαγμάτων: μαθημάτων Θ(in marg διδαγ $Θ^2$) 9 καθηγητάς: λογισμούς Syr ἄληπτος Λ(corr $Λ^2$)Y ἡμῖν coll ante γίνεται Σv coll post ἐπωφελὴς ΛY ἡ om Σ 11 ὑπολαμβάνει C(ut vid, corr C^2) 12 χειλῶν ΛYSPC: χειλέων cett v οὐ: οὐδὲ Σ ἂν om T ἐπήνθει P 13 τῷ: τὸ C(corr C^2) 13-15 μὴ—χείλεσιν om ΛYSΘ 14 τῶν μαθημάτων φιλοπονωτέρας T 15 ἐπιβαλόντων V 16 μὲν om Θ τῆς: τὴν S(vel S^2 in ras)C(corr C^2) ante ἀκολουθίας add δι' S 18 παραβάλλεται ΛYSΘ 19 κεκαθαρμέναις Λ (corr $Λ^2$)Y ante τοῦ add ἀπὸ Σ λουτροῦ: λόγου V ἀναδύσαι Σ 20 ἐπαγγέλονται(sic) E(corr E^2) ἐπαγγέλλονται ΘPVTC(ut vid, eras et corr C^2) Syr αἱ πᾶσαι: ἅπασαι Σ 20-p 225, 3 ἔχει—διδυμεύουσαι om Syr

τὴν λέξιν οὕτως ὁ ἔπαινος· Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. τοῦτο τοίνυν εἰ πρὸς τὸ σωματικὸν τοῦ ὑποδείγματος βλέποιμεν, οὐκ οἶδα πῶς ἄν τις ἐπαινεῖσθαι τοὺς ὀδόντας εἴποι διὰ τῆς πρὸς τὰς πολυγονούσας ἀγέλας συγκρίσεως· ὀδόντων μὲν γὰρ ἔπαινος ἡ στερρότης ἐστὶ καὶ ἡ ἐναρμόνιος θέσις καὶ τὸ παγίως δι' ὁμαλῆς καὶ ἀκολούθου τῆς ἁρμονίας ἐμπεφυκέναι τοῖς οὔλοις, αἱ δὲ ἀναβαίνουσαι τοῦ λουτροῦ ἀγέλαι μετὰ τῆς διδύμου γονῆς ἐπισκεδασθεῖσαι ταῖς νάπαις ποίαν ὀδόντων ὑπογράφουσιν ὥραν τῷ καθ' ἑαυτὰς ὑποδείγματι, οὐκ ἔστιν ἐκ τοῦ προχείρου κατανοῆσαι· οὗτοι στοιχηδὸν συνεστήκασιν ἐναρμονίως ἀλλήλων ἐχόμενοι, ἐκεῖναι δὲ ἀπ' ἀλλήλων διασκεδάννυνται πρὸς τὴν χρείαν τῆς νομῆς ἀραιούμεναι. ἀλλὰ καὶ γυμνῷ τῷ ὀδόντι κατὰ φύσιν ὄντι εἰς σύγκρισιν τὸ ἐριοφοροῦν οὐκ εὐάρμοστον. οὐκοῦν ἐρευνητέον ἂν εἴη, πῶς ὁ κοσμῶν δι' ἐγκωμίων τὴν τῶν ὀδόντων εὐαρμοστίαν ταῖς διδυμοτόκοις ἀγέλαις παραβάλλει τὸ κάλλος, ταῖς ἀποκειραμέναις τὸ ἔριον καὶ λουτρῷ τὸν ῥύπον ἀποκλυσαμέναις τοῦ σώματος. τί οὖν περὶ τούτων ὑπενοήσαμεν; οἱ τὰ θεῖα μυστήρια διὰ σαφεστέρας ἐξηγήσεως λεπτοποιοῦντες, ὡς εὐπαράδεκτον τὴν πνευματικὴν ταύτην τροφὴν γενέσθαι τῷ σώματι τῆς ἐκκλησίας, οὗτοι τὸ τῶν ὀδόντων ἔργον ἀποτελοῦσι παχύν τε καὶ συνεστῶτα τοῦ λόγου τὸν ἄρτον τῷ ἑαυτῶν λαμβάνοντες στόματι καὶ διὰ

1 Cant 4, 2 21-p 226, 2 cf Origen Hom in Exod X, 4 (p 251, 6-8 Baehrens)

ER^a ΛYSΘ Σ PVT C Syr N(inde a 20 ὑπενοήσαμεν) 1 ὁ ἔπαινος οὕτως ER^av 3 διαδυμεύουσαι P ἐν: ἐπ' v 4 βλέποιμεν EΣTC: βλέπομεν cett v 4-5 οὐκ οἶδα om Syr 6 πρὸς τὰς om Θ πολυγόνους PVC 7 γὰρ om P διάθεσις Σ 8 ante καὶ add τε ER^av 9 ante τοῦ add ἀπὸ ER^av 12 post οὗτοι add γὰρ Σ adscr μὲν C^2 14 νομικῆς C(corr C^2) μονῆς V 15 κατὰ φύσιν ὄντι om Λ(in marg adscr $Λ^2$)Y ὄντι: ὅτι C(corr C^2) 16 ἐρειοφοροῦν v 20-21 ὑπονοήσαμεν V ἀπονοήσομεν v 22 ὥστε ΛYSΘ ἀπαράδεκτον Λ(corr $Λ^2$)Y (ἀ fort in ras) πνευματικὴν om V 22-23 ταύτην coll post τροφὴν ER^av om ΘV 23 τοῦ σώματος TC 25 τῷ om Λ(sscr $Λ^2$) ἑαυτῷ N

τῆς λεπτομερεστέρας θεωρίας εὔβρωτον ταῖς ψυχαῖς τῶν δεχομένων παρασκευάζοντες, οἷον (κρεῖττον γὰρ ἐπὶ ὑποδειγμάτων παραστῆσαι τὸ νόημα) ὁ μακάριος Παῦλος νῦν μὲν ἁπλῶς τε καὶ ἀκατασκεύως ὥσπερ τινὰ ψωμὸν ἀκατέργαστον προτίθησιν ἡμῖν τὸ τοῦ νόμου παράγγελμα λέγων Οὐ φιμώσεις βοῦν ἀλοῶντα, πάλιν δὲ διὰ τῆς ἐπεξηγήσεως ἁπαλύνας εὐπαράδεκτον ποιεῖ τοῦ νόμου τὸ βούλημα λέγων Μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως ἐγράφη καὶ ἄλλα τοιαῦτα πολλά, οἷον Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. τοῦτο ὁ ἀκατέργαστος ἄρτος. ἀλλὰ πῶς αὐτὸν διαλεπτύνων ἐδώδιμον ποιεῖ τοῖς τρεφομένοις; εἰς δύο διαθήκας μεταλαμβάνει τὴν ἱστορίαν, τὴν μὲν εἰς δουλείαν γεννῶσαν, τὴν δὲ τῆς δουλείας ἐλευθεροῦσαν. οὕτω καὶ πάντα τὸν νόμον (ἵνα μὴ τὰ καθ' ἕκαστον λέγοντες διατρίβωμεν) παχυμερὲς σῶμα λαβὼν λεπτύνει διὰ τῆς θεωρίας πνευματικὸν αὐτὸν ἐκ σωματικοῦ ἐργαζόμενος, Οἴδαμεν, λέγων, ὅτι ὁ νόμος πνευματικός ἐστιν. ὅπερ τοίνυν ἐπὶ τοῦ Παύλου κατενοήσαμεν

6 I Cor 9, 9 (Deut 25,4)   9-10 Gal 4, 22   12-14 cf Gal 4, 24-26; ad locos illos classicos interpretationis allegoricae cf supra p 5,9-7,4 et Origen De princ IV 2, 6 (p 315 sqq)   17 Rom 7, 14

ER^a ΛYSΘ Σ PVT CN Syr 1 λεπτοτέρας Θ   θεωρίας om v   εὔρωτον N   2 οἷον om T   4 τε om Σ   ἀπαρασκεύως CN   5 προστίθησιν YΛ(fort, eras προσ et corr παρα Λ^2)Σ   6 φημώσεις V κημώσεις ΣPTCN   δὲ VTC^2(adscr in marg) Syr: om cett v   ὑπεξηγήσεως ΛY ἐξηγήσεως C   7 τοῦ νόμου coll post τὸ ER^{a}v post βούλημα Σ   8 ante μὴ eras 2 vel 3 litt C(ὅτι?)   post μὴ add περὶ ΘP   μέλη ER^a μέλλει ΣPV   ἢ pars codd Syr: ἡ v maluit Jaeger, at nota bene Gregorium duas Pauli sententias in unam contraxisse. e quo elucet eum particulam η etiam in textu Pauli sensu affirmativo intellexisse. sed cf Blass-Debrunner (NT Gramm § 440, 3) et Bauer (NT Wörterbuch)   ἐγράφει V ἐγεγράφει v   10 τοῦτο ὁ: τοῦτος (sic) C(corr οὗτος C^2)N, scil uterque C pro O   ὁ om ΛYSΘ   11 post ἀλλὰ add ὅρα Syr, fort recte   12 στρεφομένοις R^a 14 ἐλευθερῶσαν P   15 τὰ om P   καθέκαστα CN   ante παχυμερὲς adscr ὡς Λ^2 16 αὐτὸ ΛYS   17 ἐργασάμενος V   ante ὁ add ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῶ νόμω λαλεῖ καὶ ὅτι V (scil sec Rom 3, 19)   18 ὅπερ: ὥσπερ V

ὡς ὀδόντων χρείαν τῇ ἐκκλησίᾳ πληροῦντος ἐν τῷ διαλεπτύνειν τὴν τῶν δογμάτων σαφήνειαν, τοῦτο καὶ ἐπὶ παντὸς τοῦ κατὰ μίμησιν ἐκείνου διασαφοῦντος ἡμῖν τὰ μυστήρια λέγομεν. οὐκοῦν ὀδόντες εἰσὶ τῆς ἐκκλησίας οἱ τὴν ἀκατέργαστον τῶν θείων λογίων πόαν λεπτοποιοῦντες ἡμῖν καὶ μηρυκίζοντες. ὥσπερ τοίνυν ὑπογράφει τῶν τοῦ καλοῦ
928 M. ἔργου τῆς ἐπισκοπῆς ὀρεγομένων τὸν βίον ὁ θεῖος ἀπόστολος λέγων τὰ καθ' ἕκαστον, οἷον εἶναι προσήκει τὸν τῆς ἱερωσύνης ἐπειλημμένον, ὡς μετὰ πάντων καὶ τὴν διδακτικὴν χάριν ἔχειν, οὕτως ἐνταῦθα τοὺς εἰς ὀδόντων ὑπηρεσίαν τεταγμένους ἐν τῇ ἐκκλησίᾳ βούλεται ὁ λόγος πρῶτον κεκαρμένους εἶναι, τουτέστι πάσης ὑλικῆς ἀχθηδόνος γεγυμνωμένους, εἶτα τῷ λουτρῷ τῆς συνειδήσεως παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καθαρεύοντας, πρὸς τούτοις ἀεὶ διὰ προκοπῆς ἀναβαίνοντας καὶ μηδέποτε πρὸς τὸ ἔμπαλιν κατασυρομένους ἐπὶ τὸ βάραθρον, ἐπὶ πᾶσι δὲ διπλαῖς ταῖς τῶν ἀγαθῶν κυημάτων γοναῖς κατὰ πᾶν εἶδος ἀρετῆς ἐπαγάλλεσθαι καὶ ἐν μηδενὶ τῶν καλῶν ἐπιτηδευμάτων ἀγονεῖν. τὸ δὲ διπλοῦν κύημα αἴνιγμα γίνεται τῆς καθ' ἑκάτερον τῶν ἐν ἡμῖν

6-9 cf I Tim 3, 1-7   13-14 cf II Cor 7, 1

ER^a ΛYSΘ Σ PVT CN Syr 1 χρείαν ΛYΣPTC Syr(ut vid, evan): χρείας V χρεία ER^{a}SΘNv   πληροῦντος ΣVT(ς in ras corr)Syr: πληροῦντες C(corr -τος C^2)N πληροῦν P πληρούντων cett(Λ pr m ut vid ων ex corr)v   3 διασαφοῦντες N τὸ μυστήριον v   6 καὶ μηρυκίζοντες om E(in marg adscr E^2)   τῶν: τὸ Σ τὸν Syr, fort T(corr τῶν) om V   καλλοῦ Σ   7 ὀρεγόμενον E(corr E^2)Σ Syr   τὸν βίον: τῶν θείων N om Syr   8 λέγων om N   ἀρχιερωσύνης ΛY ἐπισκοπῆς T   9 εἰλημμένον T   ante ὡς add καὶ Syr(in paraphr)   10 ante ἐνταῦθα add καὶ Syr   εἰς om P   ὀδόντας P   ὑπηρεσί· P(1 litt evan)   10-11 τοὺς—ἐκκλησίᾳ om V   11 ἐν om P   ante τῆς ἐκκλησίας(sic) add εἶναι τουτέστι πάσης P   post βούλεται add δεῖξαι Syr   κεκραμένους N κεκαθαρμένους Λ(corr Λ^2)YΣ Syr   12 ἀχδηδόνος C(ut vid, corr C^2)   13 τοῦ λουτροῦ P (sscr bis ω)   14 ante ἀεὶ add εἰς ER^{a}v   ἀεὶ om V   17 κοιημάτων C(corr C^2) νοημάτων ΛYSΘ   ἐπαγγέλλεσθαι Λ (corr Λ^2)YΘ(sed corr pr m ut vid)P(-έλε-)VCN   de paraphr Syr non liquet   18 ἀγωνεῖν C(corr C^2) ἀγνοεῖν ΘΣV   19 κύημα: κτῆμα PVCN   γίνεται coll post ἑκάτερον v

νοουμένων εὐδοκιμήσεως, ὥστε διδυμοτόκους εἶναι τοὺς τοιούτους ὀδόντας, τῇ μὲν ψυχῇ τὴν ἀπάθειαν, τῷ δὲ σωματικῷ βίῳ τὴν εὐσχημοσύνην γεννῶντας.

Ἐπάγει τούτοις δι' ἀκολούθου τὸν ἐπιπρέποντα τοῖς χείλεσιν ἔπαινον σπαρτίῳ κοκκοβαφεῖ παρεικάζων τὸ κάλλος, οὗ τὴν ἑρμηνείαν αὐτὸς ἐπήγαγε λαλιὰν ὡραίαν τὸ σπαρτίον κατονομάσας. τοῦτο δὲ ἐν τοῖς φθάσασιν ἤδη προτεθεώρηται, ὅπως τῇ τῶν ὀδόντων ὑπηρεσίᾳ τὸ ἐν τοῖς χείλεσιν ὡραΐζεται κάλλος· τῇ γὰρ τῶν ὀδόντων (τουτέστι τῇ τῶν διδασκάλων) ὑφηγήσει τὸ στόμα τῆς ἐκκλησίας συμφθέγγεται. διὰ τοῦτο πρῶτον οἱ ὀδόντες κείρονται καὶ λούονται καὶ οὐκ ἀτεκνοῦσι καὶ διδυμεύουσι, καὶ τότε τῷ κοκκίνῳ εἴδει τὰ χείλη περιανθίζεται, ὅταν γένηται πᾶσα ἡ ἐκκλησία κατὰ τὴν τοῦ ἀγαθοῦ συμφωνίαν χεῖλος ἓν καὶ φωνὴ μία. διπλοῦν δὲ τοῦ κάλλους ἐστὶ τὸ ὑπόδειγμα· οὐ γὰρ μόνον ἁπλῶς σπαρτίον φησὶν εἶναι τὰ χείλη, ἀλλὰ προσέθηκε καὶ τῆς εὐχροίας τὸ ἄνθος, ὥστε δι' ἀμφοτέρων καλλωπισθῆναι τῆς ἐκκλησίας τὸ στόμα διά τε τοῦ σπαρτίου καὶ τοῦ κοκκίνου ἰδιαζόντως καθ' ἑκάτερον μέρος· τῷ μὲν γὰρ σπαρτίῳ τὴν ὁμογνωμοσύνην παιδεύεται, ὥστε πᾶσαν αὐτὴν ἓν σπαρτίον καὶ μίαν γενέσθαι σειρὰν ἐκ διαφόρων νημάτων συγκεκλωσμένην,

5 cf Cant 4, 3

ER^a ΛYSΘ Σ PVT CN Syr 1 νενοημένων ER^av 4 τούτους V τὸν coll ante δι' ER^av ἐπιτρέποντα YV 4-5 ἔπαινον coll ante τοῖς N 5 κακοβαφεῖ Λ(ut vid, eras α et corr ο $Λ^2$)Y(sed corr ο) κοκκῷ βαφεῖ ΣC(corr C^2) κκοκοβαφεῖ(sic) N 8 πῶς ER^aTv ὡραΐζονται P(ο ex corr)N 9 γὰρ om Syr post ὀδόντων add λεπτοποιήσει TC^2(sscr) τουτέστι om PVCN τῇ alt om v Syr, nescio an recte 9-10 διδασκαλικῶν ὑφηγημάτων v 10 τῆς: εἶτ οὖν V om T ἐκκλησίαις V om T 11 post κείρονται add τε ΛYSΘV λύονται ΛYPVTC 12 καὶ pr: ἀλλὰ P 13-14 κατὰ—συμφωνίαν om Syr 15-16 φησὶν coll post εἶναι V post χείλη Σ 16 τῇ εὐχροίᾳ T τὸ om P 17 καλλωπίζεσθαι ER^av 18 post καὶ add διὰ Σ ἰδιάζοντος PN 19 ante καθ' add δὲ ΛYSΘ ἕτερον Θ γὰρ om N τὴν om ER^av 19-20 ὁμογνωμοσύνη E(sscr ν E^2) εὐγνωμοσύνην ΛYSΘ 21 σειρὰν γενέσθαι Θ νημάτων SΘΣNC(sed ante ν pr eras 1 litt, ω ut vid): νοημάτων cett v Syr(sed add paraphr,

διὰ δὲ τοῦ κοκκίνου πρὸς τὸ αἷμα δι' οὗ ἐλυτρώθημεν βλέπειν διδάσκεται καὶ ἀεὶ τὴν ὁμολογίαν διὰ στόματος φέρειν τοῦ ἐξαγοράσαντος ἡμᾶς διὰ τοῦ αἵματος· δι' ἀμφοτέρων γὰρ τούτων ἐστὶ πληρουμένη τοῖς τῆς ἐκκλησίας χείλεσιν ἡ εὐπρέπεια, ὅταν καὶ ἡ πίστις τῆς ὁμολογίας προλάμπῃ καὶ ἡ ἀγάπη τῇ πίστει συμπλέκηται. καὶ εἰ χρὴ ὥσπερ ὁρισμῷ τινι περιλαβεῖν τὸ ὑπόδειγμα, οὕτω τὸ ῥηθὲν ὁριούμεθα· κόκκινον σπαρτίον ἐστὶ Πίστις δι' ἀγάπης ἐνεργουμένη, ὡς τῇ πίστει μὲν δηλοῦσθαι τὸ κόκκινον, τῇ δὲ ἀγάπῃ τὸ σπαρτίον διερμηνεύεσθαι. τούτοις κεκοσμῆσθαι τὰ χείλη τῆς νύμφης μαρτυρεῖ ἡ ἀλήθεια. ἡ δὲ ὡραία λαλιὰ θεωρίας τινὸς λεπτοτέρας ἢ ἑρμηνείας ἄλλης οὐκ ἐπιδέεται· φθάσας γὰρ διεσάφησεν ὁ ἀπόστολος ὅτι ἡ λαλιὰ αὕτη τὸ ῥῆμα τῆς πίστεώς ἐστιν ὃ κηρύσσομεν, λέγων Ἐὰν ὁμολογήσῃς τῷ στόματί σου κύριον Ἰησοῦν καὶ πιστεύσῃς ἐν τῇ
929 M. καρδίᾳ σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. αὕτη ἐστὶν ἡ ὡραία λαλιά, δι' ἧς τὰ χείλη τῆς ἐκκλησίας κατὰ τὸ κόκκινον ἐκεῖνο σπαρτίον εὐπρεπῶς ἐπανθίζεται.

Ἀρέσκεται δὲ μετὰ τὴν τοῦ στόματος ὥραν ὁ νυμφίος καὶ τῷ τῆς παρειᾶς ἐρυθήματι. μῆλον δὲ τοῦτο τοῦ προσώπου τὸ μέρος ἐκ καταχρήσεως καλεῖ ἡ συνήθεια. προσεικάζει

8-9 Gal 5,6 14-16 Rom 10, 9-10

cuius pr pars in cod legi nequit. inter ea verba, quae legere potui, certe νημάτων invenitur. itaque interpres in exempl Graeco νοημάτων καὶ νημάτων vel simile quid legisse videtur)

ER^a ΛYSΘ Σ PVT CN Syr 2 διά: ἐπὶ V 6 πρὸσλάμπῃ Σ συμπέπλεκται T 7 περιβαλεῖν N 8 ὁρισόμεθα Θ ante κόκκινον add τὸ T 9 ὡς: ὥστε ΛYSΘ 10 post τούτοις add δὲ ΣT 11 ἀλήθεια: γραφή V 13 διεσάφισεν N 14 τῆς πίστεώς om Θ post πίστεως add ὡς N κηρύσσωμεν Σ λέγων Σ Syr(vel εἰπών, add ὅτι): εἰπὼν ὅτι V om cett v 15 ante κύριον add τὸν P Ἰησοῦν: υἱὸν N 16 ἤγειρεν αὐτὸν Θ 18 post αὕτη add δὲ ER^aΘv add δὴ ΛYS 19 ἐκεῖνον N 21 τοῦ om Λ(sscr $Λ^2$)Y σώματος ΘΣVN 23 κατακρίσεως NC (corr συγκρίσεως C^2) καλὴ R^aC(-ῆ, corr -εῖ C^2) προεικάζοι V

τοίνυν τὸ τῆς παρειᾶς μῆλον τῷ λεπύρῳ τῆς ῥόας γράψας οὕτω τὸν ἔπαινον αὐτὸν ἐπὶ λέξεως· Ὡς λέπυρον ῥόας μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου. ὅτι μὲν οὖν αἰδώς ἐστι τὸ ἐπαινούμενον παντὶ ῥᾴδιον ἐκ τῆς ἀκολουθίας τῶν τεθεωρημένων λογίσασθαι· σωματοποιήσας γὰρ τὴν ἐκκλησίαν ὁ λόγος εἰς τὸ τῆς νύμφης εἶδος καὶ τὰς καθ' ἕκαστον ἀρετὰς καταλλήλως τῇ ὑπογραφῇ τῆς κατὰ τὸ πρόσωπον ὥρας ἐπιμερίσας νῦν διὰ τοῦ ἐρυθήματος τοῦ ταῖς παρειαῖς ἐπιζέοντος προσφόρως ἐπαινεῖ τὴν σωφροσύνην αἰδοῖ κατακοσμήσας ἐν τῷ τῆς ῥόας αἰνίγματι· ὁ γὰρ καρπὸς οὗτος στυφῇ τε καὶ ἀβρώτῳ τῇ ἐπιφανείᾳ ἐντρέφεται. διὸ καλῶς τε καὶ οἰκείως εἰς τὸ τῆς σωφροσύνης κατόρθωμα διὰ τῆς θεωρίας μεταλαμβάνεται· ὡς γὰρ ἡ στῦψις τοῦ τῆς ῥόας λεπύρου τρέφει τε καὶ φυλάσσει τοῦ ἐμπεριεχομένου καρποῦ τὴν γλυκύτητα, οὕτως ὁ στυφός τε καὶ ἐγκρατὴς καὶ κατεσκληκὼς βίος φύλαξ γίνεται τῶν τῆς σωφροσύνης καλῶν. διπλοῦς δὲ καὶ ἐνταῦθα τῆς ἀρετῆς ταύτης ὁ ἔπαινος γίνεται διά τε τῶν προφαινομένων κατὰ τὸν εὐσχήμονα βίον καὶ διὰ τῶν ἐν τῇ τῆς ψυχῆς ἀπαθείᾳ κατορθουμένων, ὧν Ὁ ἔπαινος, καθώς φησιν ὁ ἀπόστολος, οὐκ ἐξ ἀνθρώπων ἀλλ' ἐκ

2 Cant 4, 3   19-20 Rom 2, 29

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τὸ: τῷ VT(sed corr) ῥοιᾶς Θ 2 αὐτὸν (cf p 224, 17/8) ΘPN: αὐτῶν cett Syr αὐτοῦ v ῥοιᾶς Θ 3 οὖν om ΘP(sed sscr) 4 πᾶν τι Σ 4-5 θεωρημένων R^a θεωμένων Θ 5 λογίσασθαι coll ante 4 τῶν Σ ὁρίσασθαι S 7 ante τῆς eras 1 litt E τὸ om ΛYSΘΣN 8 ἐπιμελήσας N 9 ἐπιζέοντος: ἐπιπρέποντος ER^{a}ΣT ante αἰδοῖ add ἐπιπρεπούσῃ Syr (id est: var lect in fine lin post ἐπιζέοντος adscr per errorem ad finem lin inferioris traxit. nota bene προσφόρως—σωφροσύνην = 29 litt = 1 lin) 10 ῥοιᾶς Θ 11 στύφηται (om τε) N στυφεῖ ΛYS στύφει R^{a}E^2(-ει in ras)C^2(ex -ῇ)v 13 post διὰ add τὸ NC(ut vid, sed eras) λαμβάνεται ΛYSΘ ὡς: ὥσπερ Σ 14 ῥοιᾶς Θ τε om PN 15 στυφός PVN Syr: στῦφος Λ (corr στύφων Λ^2)YSΘΣT στύφων R^{a}E^2(adscr ων in fin lin)Cv 17 δὲ om ΛY ταύτης om Λ(add Λ^2)N 18 τε: τὸ NC eras et corr τε C^2) κατὰ τὸν: καὶ τῶν V 19 τῆς om v ὧν: οὗ (scil sec Rom 2, 29) PVTCN 20 οὐκ ἐξ: οὐξ N ἐκ om C(add in marg C^2)

θεοῦ· ἡ γὰρ ἐπιλάμπουσα τοῖς γινομένοις αἰδὼς ἴδιον μὲν ἐκ τῶν προδήλων ἔχει τὸν ἔπαινον, ἐκτὸς δὲ τῶν σιωπωμένων ἐστὶ καὶ ὑποκεκρυμμένων θαυμάτων, ἃ μόνῳ καθορᾶται τῷ ὀφθαλμῷ ἐκείνῳ τῷ εἰς τὰ κρύφια βλέποντι.

Διὰ δὲ τῶν μετὰ ταῦτα μανθάνομεν ὅτι πᾶν τὸ παρὰ τῶν θεοφορουμένων ἁγίων γινόμενον τύπος τις καὶ διδασκαλία τῶν εἰς ἀρετὴν κατορθουμένων ἐγίνετο· οἱ γάμοι, αἱ ἀποικίαι, οἱ πόλεμοι, αἱ τῶν οἰκοδομημάτων κατασκευαί, πάντα κατά τινα λόγον εἰς νουθεσίαν τῷ μετὰ ταῦτα προδιετυποῦτο βίῳ· Ἐγράφη γὰρ ταῦτα, φησί, πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν· ὁ μὲν γὰρ κατὰ τῶν ἀλλοφύλων πόλεμος συμβουλεύει κατὰ τῆς κακίας ἡμᾶς ἀνδρίζεσθαι, ἡ δὲ κατὰ τοὺς γάμους σπουδὴ τὴν τῶν ἀρετῶν συνοίκησιν δι' αἰνιγμάτων ἡμῖν ὑποτίθεται. ὡσαύτως δὲ καὶ ἡ ἀποικία τοῦ ἐναρέτου βίου τὸν οἰκισμὸν ὑποβάλλει, τὰ δὲ ὅσα περὶ τὰς κατασκευὰς τῶν οἰκοδομημάτων παρ' αὐτῶν ἐσπουδάζετο, τῶν ἡμετέρων οἴκων τῶν δι' ἀρετῆς οἰκοδομουμένων ἐπιμέλειαν ποιεῖσθαι διακελεύεται. διό μοι δοκεῖ κἀκεῖ τὸν περιφανῆ πύργον ἐκεῖνον, <ἐν> ᾧ τὰ ἀκροθίνια τῶν λαφύρων ἀνέθηκεν ὁ Δαβίδ,

4 cf Matth 6, 4; 6; 18; Ps 43, 22   7 nota bene ex triplici illa Origenis interpretatione (cf De princ IV 2, 4; p 312) hoc loco Gregorium secundam solum (id est ψυχικήν, ad virtutem spectantem) laudare   10 I Cor 10, 11   12 sqq ad locos valde communes cf ex. gr. Origen Hom in Jos   15 scil ἡ ἀποικία τοῦ Ἀβραάμ, cf Gen 12, 1   18 cf ex. gr. I Petr 2, 5

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ante θεοῦ add τοῦ (scil sec Rom 2, 29) ER^{a}Tv ἐπίλαμπος C(corr C^2) ἐπεὶ λάμπους N τοῖς om C(ins C^2)N 3 κεκρυμμένων T μόνα Y 4 εἰς om ER^{a}v 5 μανθάνωμεν C(corr C^2) τὸ om PTC(add C^2) 6 θεοφόρων v 8 πολέμϊοι P 10 προετυποῦτο ER^{a}v βίῳ προετυποῦτο ΛYSΘ γὰρ: δὲ Σ φησί om R^{a}Σ 11 τῶν αἰώνων: τῆς νουθεσίας ΛY κατήντηκεν (scil sec I Cor 10, 11) ER^{a}Vv 12 μὲν om P 13 ἡμῶν Y 14 δι' αἰνιγμάτων om T 15 δὲ om P ἡ om T 16 ἀποικισμὸν CN τὰ δὲ: ταῦθ' ΛYSΘ(ταῦτα) 17 τῶν alt om T 18 δι': διὰ τῆς Σ 19 παρακελεύεται ΛYSΘ δοκεῖ κἀκεῖ scripsi: κἀκεῖ ΛYSΘ δοκεῖ cett v Syr προφανῆ V 20 ἐν supplevit Jaeger, cf infra p 233, 3

πρὸς τὴν προκοπὴν τῆς ἐκκλησίας βλέπων [τῶν τι κατ᾽ ἀρετὴν σπουδαζομένων] προδιατυπῶσαι τούτῳ τῷ ἔργῳ, ὃς
932 M. ὑπερφαίνεται μὲν ἀκρωρείας τινὸς εἰς ὕψος ἀνατεινόμενος, ἐπιτήδειος δὲ κατὰ τὸν χρόνον ἐκεῖνον πρὸς τὴν τῶν λαφύρων φυλακὴν ἐνομίσθη, ὅσα δουλωσάμενος τοὺς ἀλλοφύλους μετὰ τῶν λοιπῶν χρημάτων ἴδιον κέρδος ὁ βασιλεὺς ἐποιήσατο. ἔδειξεν οὖν διὰ τῆς ἑαυτοῦ σοφίας ὁ βασιλεὺς πρὸς ὅ τι βλέπων ὁ Δαβὶδ ἀγαθὸν τῇ τῶν ἀνθρώπων ζωῇ ὥσπερ τινὰ συμβουλὴν τῷ μετὰ ταῦτα βίῳ διὰ τῆς τοῦ πύργου κατασκευῆς προαπέθετο· παντὸς γὰρ τοῦ σώματος τῆς ἐκκλησίας τῶν καθ᾽ ἕκαστον μελῶν διὰ τῆς πρός τι παραθέσεώς τε καὶ ὁμοιώσεως ἐγκωμιάζειν τὸ κάλλος μέλλων δι᾽ ἀκολούθου τοὺς ἐν τῷ λαῷ τὸν τοῦ τραχήλου τόπον ἐπέχοντας οἵους τινὰς εἶναι προσήκει διαγράφων τῷ λόγῳ τοῦ πύργου μέμνηται τούτου, ᾧ ἐπονομάζεται μὲν ὁ Δαβίδ, ἔχει δὲ καὶ ἀπὸ τῶν ἐπάλξεων τὸ γνώριμον· θαλπιὼθ γὰρ αἱ ἐπάλξεις κατονομάζονται. οὕτω δὲ ἡ λέξις ἔχει· Ὡς πύργος Δαβὶδ τράχηλός σου ὁ ᾠκοδομημένος ἐν θαλπιώθ· χίλιοι θυρεοὶ κρέμανται ἐπ᾽ αὐτόν, πᾶσαι βολίδες τῶν δυνατῶν.

17-19 Cant 4, 4

ER^a ΛYSΘ Σ PVT CN Syr 1-2 τῶν—σπουδαζομένων (scil interpretamentum ad τούτῳ τῷ ἔργῳ de p 231, 16-18 haustum) delevi. sensus est: ὁ λόγος ut aliis vet test de aedibus aedificandis narrationibus (cf p 231, 16/7) sic et illic (scil in illo versu Cant Cant) turrim Davidis profectum aspiciens ecclesiae praefiguravisse videtur τούτῳ τῷ ἔργῳ (scil τοῦ οἰκοδομεῖν δι᾽ ἀρετῆς τοὺς ἡμετέρους οἴκους, cf p 231, 17/8). ad dativ cf p 231, 9/10 τῷ μετὰ ταῦτα προδιετυποῦτο βίῳ. τῶν—σπουδαζομένων: καὶ πρὸς τὰ κατ᾽ ἀρετὴν ἐν αὐτῇ σπουδαζόμενα Syr (scil de coniect) 1 βλέπων τῶν: βλεπόντων ΛYSΘ τι: τὴν C (et eras et super τῶν sscr τὴν περίωπον C^2) om ΛY 2 eras τῷ ἔργῳ et corr πύργῳ C^2 3 ὑποφαίνεται ΘN ἀκρειωρίας P 5 φυλακὴν: προκοπὴν V ὅσα: ἅπερ V 7 ἐδείδαξεν Y αὐτοῦ ER^av βασιλεύς: λόγος Syr 8 ἀγαθῶν ΣC (corr C^2) 9-10 et τὴν et κατασκευὴν C (corr C^2) 11 πρός τι: προσάλληλα V 11-12 προσπαραθέσεως (om τι) PCN 12 ἐγκωμιάζει V 13 τοὺς ἐν τῷ λαῷ om V τοῦ om Θ 14 ἐπέχοντά σοι οὓς Σ ἔχοντας Y 15 τοῦ eras T ὁ om P (fort recte) 16 γάρ: δὲ PVCN αἱ om T 17 κατονομάζεται C 18 ὁ om ΛYSΘ 19 αὐτῶν P αὐτῷ ER^aTv

ἡ μὲν οὖν σωματικὴ τοῦ πύργου κατασκευὴ τὸ περίβλεπτον ἔχει ἔκ τε τοῦ ἔργον εἶναι τοῦ βασιλέως Δαβὶδ καὶ ἐκ τῆς περιφανείας τοῦ τόπου καὶ ἐκ τῶν ἀνατεθέντων ὅπλων ἐν αὐτῷ, τῶν θυρεῶν τε καὶ τῶν βολίδων, ὧν τὸ πλῆθος ἐνδείκνυται ὁ λόγος τῷ τῆς χιλιάδος ὀνόματι, ἡμῖν δὲ σκοπός ἐστι κατανοῆσαι τοῦ θείου λογίου τὴν δύναμιν. πῶς παραβάλλεται τῷ πύργῳ τούτῳ τὸ μέρος ἐκεῖνο τῆς ἐκκλησίας, ᾧ τράχηλός ἐστι τὸ ὄνομα; πρῶτον τοίνυν ἐξετάσαι προσήκει, ποῖον ἐν τῷ καθ᾽ ἡμᾶς σώματι μέρος τῷ ὀνόματι τοῦ τραχήλου προσαγορεύεται, εἶθ᾽ οὕτως ἐφαρμόσαι τῷ τῆς ἐκκλησίας μέλει τὸ ὄνομα. οὐκοῦν τὸ ἐρριζωμένον μὲν ἐν τῷ μέσῳ τῶν ὤμων, ἀνέχον δὲ τὴν κεφαλὴν ἐφ᾽ ἑαυτοῦ καὶ ἀντὶ βάσεως τοῦ ὑπερκειμένου γινόμενον τράχηλος ὀνομάζεται, οὗ τὸ κατόπιν μὲν ὀστέοις ἐρείδεται, τὸ δὲ προβεβλημένον ἐλεύθερόν ἐστι τῆς τῶν ὀστέων περιβολῆς. ἡ δὲ τοῦ ὀστέου φύσις οὐ καθ᾽ ὁμοιότητα τοῦ πήχεος ἢ τῆς κνήμης συνεχὴς πρὸς ἑαυτήν ἐστι καὶ ἀδιαίρετος, ἀλλὰ πολλαχῇ τῶν ὀστέων ἐν σπονδύλων σχήματι διῃρημένων διὰ τῶν περιπεφυκότων αὐτοῖς νεύρων τε καὶ μυῶν καὶ συνδέσμων ἡ ἕνωσις αὐτῶν πρὸς ἄλληλα γίνεται καὶ διὰ τοῦ μυελοῦ τοῦ αὐλοειδῶς κατὰ τὸ μέσον διήκοντος. οὗ ἡ περιοχὴ μὲν πρὸς τὰς μήνιγγας αὐτὸ δὲ τὸ ἐγκείμενον πρὸς τὸν ἐγκέφαλον ἥνωται. ἐν δὲ τοῖς ἔμπροσθεν περιέχει μὲν τὴν ἀρτηρίαν ὁ τράχηλος, ἣ

ER^a ΛYSΘ Σ PVT CN Syr 1 post πύργου add τούτου Syr 2 τε om N εἶναι ἔργον P 3 ἐν: ἐπ᾽ ΛYSΘ 4 τῶν pr om ER^av 6 λόγου ER^aVv 7 τούτῳ om V ἐκείνω C 8 ᾧ: ὃ Σ 10 προσαγορευσαι E (ut vid, corr E^2) 11 μὲν om v ἐν om PVC (add C^2) N τῷ om ER^aΣv 12 ἀνέχων R^aC (corr C^2) Nv ἀνεχόμενον Θ ἐφ᾽: ἀφ᾽ V 14 κατατόπιν Σ 15 τοῦ ὀστέου: τούτων τῶν ὀστέων Syr 16 πήχεως ER^aΣNv in marg adnot πήχεως θάτερον βιβλίον γρ Θ 17 ἐστι coll ante πρὸς ER^av post ἀδιαίρετος add καὶ μονοφυῆς Σ πολλαχοῦ $R^a$$E^2$ (corr -οῦ in ras) v 18 ἐν om PVCN πεφυκότων ER^aΣv 19 τε om ER^aSv μυῶν Σ: μυελῶν cett v om Syr (ut vid, paraphr) αὐτῶ ER^a αὐτῇ v 20 διὰ om P (ut vid) αὐλοειδοῦς YPTv 21 κατά: εἰς V τὸ om ΛY τάς: τοὺς N 22 αὐτῶ δὲ τῶ ἐγκειμένω V δὲ alt om E (sscr E^2) 23 ἀλτηρίαν N (ut vid, sed corr) C (fort, corr in ras ἀρ C^2)

δοχεῖόν ἐστι τοῦ πνεύματος τοῦ ἔξωθεν ἡμῖν εἰσοικιζομένου τε καὶ εἰσρέοντος, δι' οὗ τὸ ἐγκάρδιον πῦρ πρὸς τὴν ἐνέργειαν αὐτοῦ τὴν κατὰ φύσιν ἀναρριπίζεται, περιέχει δὲ καὶ τῆς τροφῆς τὰς εἰσόδους διὰ τοῦ λαιμοῦ τε καὶ τοῦ λάρυγγος πᾶν τὸ διὰ τοῦ στόματος εἰσαγόμενον πρὸς τὴν κοιλότητα τὴν δεκτικὴν τούτων διαπορθμεύων. ἔχει δὲ καὶ ἄλλο παρὰ τὰ λοιπὰ τῶν μελῶν ἐξαίρετόν τι ὁ τράχηλος· κατὰ γὰρ τὴν ἄνω τῆς ἀρτηρίας θέσιν ἐστὶν ἐν αὐτῷ τὸ τῆς φωνῆς ἐργαστήριον, ἐν ᾧ τὰ φωνητικὰ πάντα παρεσκεύασται ὄργανα, δι' ὧν ἀπογεννᾶται ὁ ἦχος τῷ ἀναδιδομένῳ πνεύματι περιδονουμένης ἐν κύκλῳ τῆς ἀρτηρίας. οὕτω δὲ τοῦ σωματικοῦ μέλους ἡμῖν διαγραφέντος εὔκολον ἂν εἴη διὰ τῶν
933 M. ἐνταῦθα θεωρηθέντων καὶ τὸν τοῦ ἐκκλησιαστικοῦ σώματος τράχηλον κατανοῆσαι, ὅστις ἐστὶν ὁ διὰ τῶν καταλλήλων ἐνεργειῶν τὸ ὄνομα τοῦτο κυρίως ἀναλαμβάνων τράχηλός τε ὀνομαζόμενος καὶ τῷ πύργῳ τοῦ Δαβὶδ ὁμοιούμενος. πρῶτον μὲν οὖν ὃ δὴ καὶ πρῶτόν ἐστιν, εἴ τις τὴν ἀληθινὴν τοῦ παντὸς κεφαλὴν ἐφ' ἑαυτοῦ βαστάζοι (ἐκείνην λέγω τὴν κεφαλὴν ἥτις ἐστὶν ὁ Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογεῖται καὶ συμβιβάζεται), οὗτος κυρίως ἐφ' ἑαυτοῦ φέρει τοῦτο τὸ ὄνομα. πρὸς τούτοις εἰ τοῦ πνεύματός ἐστι δεκτικὸς τοῦ τὴν καρδίαν ἡμῶν πυροειδῆ ποιοῦντος καὶ

19-20 Eph 4, 16

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἔσωθεν Λ(corr Λ^2)Y 2 τὸ om VC(sscr C^2)N 3 αὐτοῦ YSv ἑαυτοῦ ΣPTCN 5 στόμαχος Y 7 et eras ut vid 1 litt post παρὰ et iterat τὰ P (τ)ὰ corr C^2 in ras 2 litt ut vid 8 ἀλτηρίας VNC(corr C^2) ἐν om ΛY αὐτὸ ΛY τὸ: τῶ ER^a τὸ coll post φωνῆς v 9 ἐργαστηρίω E(post -ω 1 litt eras ut vid) R^a παρασκεύασται P 11 ἀλτηρίας VN(sed corr)C(corr C^2) 12 διαγράφοντος C(corr C^2)N ante ἂν add δ' V 14 ὅστις: ὅς V ὁ om PVCN διὰ: διὸ C(corr C^2) 15 τοῦτο coll ante τὸ T 16 ὁμοιούμενος: προσεικαζόμενος C^2 (corr in ras) 18 ἑαυτῶ V βαστάζει PT 19 ἥτις: εἴ τις C(corr C^2) 20 οὕτως C(corr C^2) ἑαυτῷ v 20-21 φέρει coll ante ἐφ' ER^{a}v post τοῦτο Σ 21 τοῦτο om V post πρὸς add δὲ Syr post εἰ add τούτοις εἰ N add et eras τούτοις ἡ C 22 δεκτικοὶς N(ins ι) et interpr πυροειδῶς et om ποιοῦντος καὶ Syr

ἐκθερμαίνοντος καὶ εἰ διὰ τῆς εὐήχου φωνῆς ὑπηρετεῖ τῷ λόγῳ· οὐδὲ γὰρ ἄλλου τινὸς ἕνεκεν τὴν ἀνθρωπίνην φωνὴν ὁ θεὸς τῇ φύσει τῶν ἀνθρώπων ἐνετεκτήνατο ἢ ἵνα ὄργανον ᾖ τοῦ λόγου διαρθροῦσα δι' ἑαυτῆς τὰ τῆς καρδίας κινήματα. ἐχέτω δὲ οὗτος ὁ τράχηλος καὶ τὴν θρεπτικὴν ἐνέργειαν, τὴν διδασκαλίαν λέγω, δι' ἧς παντὶ τῷ σώματι τῆς ἐκκλησίας συντηρεῖται ἡ δύναμις· ἐπιρρεούσης γὰρ ἀεὶ τῆς τροφῆς ἐν τῷ εἶναι διαμένει τὸ σῶμα, ἐπιλειπούσης δὲ φθίνει καὶ διαφθείρεται. μιμείσθω δὲ καὶ τὴν ἐναρμόνιον τῶν σπονδύλων θέσιν ἐν τῷ τοὺς καθ' ἕκαστον τῷ λαῷ συντελοῦντας διὰ τοῦ συνδέσμου τῆς εἰρήνης ἓν ἀπεργάζεσθαι μέλος κλινόμενόν τε καὶ ἀνορθούμενον καὶ καθ' ἑκάτερον τῶν πλαγίων εὐκινήτως μεταστρεφόμενον. τοιοῦτος τράχηλος ὁ Παῦλος ἦν καὶ εἰ δή τις ἄλλος κατὰ μίμησιν ἐκείνου τὸν βίον κατώρθωσεν, ὃς ἐβάστασε μὲν τὸ ὄνομα τοῦ κυρίου σκεῦος ἐκλογῆς τῷ δεσπότῃ γενόμενος, καὶ οὕτως αὐτῷ δι' ἀκριβείας ἡ κεφαλὴ τῶν ὅλων ἐφήρμοστο, ὥστε καὶ ὅσα ἐλάλει μηκέτι αὐτὸν εἶναι τὸν λαλοῦντα, ἀλλὰ τὴν κεφαλὴν αὐτοῦ φθέγγεσθαι, καθὼς ἐπέδειξε τοῖς Κορινθίοις τὸν Χριστὸν ἐν αὐτῷ λαλοῦντά τε καὶ φθεγγόμενον. οὕτως αὐτοῦ εὔφωνός τε καὶ εὔηχος ἦν ἡ ἀρτηρία διὰ τοῦ ἁγίου

15-16 cf Act 9, 15 19-20 cf II Cor 13, 3 21 cf infra p 424, 23 sqq

ER^a ΛYSΘ Σ PVT CN Syr 1 εἰ: ἡ Σ ὑπηρετῇ Σ 2 τινὸς om T 3 ὁ iterat P ὁ θεὸς om ΛY τῇ ἀνθρωπίνῃ φύσει R^{a}E^2(-ύσει corr in ras)v ἐτεκτήνατο V ἐνετεκτήσατο v 4 ᾖ coll post λόγου P τοῦ iterat P διάθροῦσα P 5 οὕτως C(corr C^2) 6 παν Σ(adscr τὶ Σ^2) 8 τρυφῆς N διαμείνει C(corr C^2) 9 φθείρεται ER^{a}v καὶ alt: κατὰ T 10 ante τῷ alt add ἐν omnes praeter ΛY. de paraphr Syr non liquet. intellege τῷ λαῷ συντελεῖν sec usum Atticorum = 'ecclesia contineri', 'participes ecclesiae esse'. cf 222, 10 εἰς τὸ τρίχωμα συντελέσαι 11 συνθέσμου Λ(corr Λ^2)Y ἓν: ἕνα NC(eras α) 12-13 καὶ alt—μεταστρεφόμενον om CN 14 ἦν coll ante ὁ C om Θ δή: δ' εἰ V om ER^{a}PTv 15 ἐβάσταζε PVT ἐβάσταξεν CN τοῦ om ER^{a}Σv post κυρίου add ἐνώπιον τῶν ἐθνῶν Syr 17 ἀκρίβειαν v ἐρήρμοσται E(ut vid, corr E^2) 19 ἀπέδειξε ΛYSΘ ὑπέδειξε T 20 αὐτῶ P ἑαυτῶ ΛYSΘ τε om PVTCN 21 αὐτῷ ER^{a}v ἔμφωνός N ἦν om PVCN ἀλτηρία VC(corr C^2)N(corr N^2) διὰ om Λ(sscr Λ^2)YSΘ

πνεύματος διαρθροῦσα τῆς ἀληθείας τὸν λόγον, οὕτως αὐτῷ πάντοτε τοῖς θείοις λογίοις ὁ λάρυγξ κατεγλυκαίνετο τρέφων ὅλον δι' ἑαυτοῦ τὸ σῶμα τοῖς ζῳοποιοῖς ἐκείνοις διδάγμασιν. εἰ δὲ καὶ τὸ τῶν σπονδύλων ζητεῖς, τίς οὕτω τοὺς πάντας εἰς ἓν σῶμα συνήρμοσε τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης; τίς οὕτως ἐδίδαξε κλίνεσθαι τὸν τράχηλον ἐν τῷ τοῖς ταπεινοῖς συμπεριφέρεσθαι καὶ ἀνορθοῦσθαι πάλιν ἐν τῷ τὰ ἄνω φρονεῖν καὶ πρὸς τὰ πλάγια περισκοπεῖν εὐστρόφως τε καὶ εὐκινήτως ἐν τῷ τὰς ποικίλας τοῦ διαβόλου μεθοδείας ἐκκλίνειν καὶ ἀσφαλίζεσθαι; ὁ τοιοῦτος οὖν τράχηλος ὄντως παρὰ τοῦ Δαβὶδ ᾠκοδόμηται. νόει δὲ διὰ τοῦ Δαβὶδ τὸν βασιλέα, τὸν τοῦ βασιλέως πατέρα, ὃς ἐξ ἀρχῆς τὸν ἄνθρωπον κατεσκεύασε πύργον εἶναι καὶ οὐχὶ σύμπτωμα καὶ διὰ τῆς χάριτος αὐτὸν πάλιν ἀνῳκοδόμησεν ἀσφαλισάμενος τοῖς πολλοῖς θυρεοῖς, ὥστε μηκέτι αὐτὸν ταῖς τῶν πολεμίων ἐφόδοις εὐεπίβατον εἶναι· οἱ γὰρ κρεμάμενοι θυρεοί, οὐκ ἐπὶ γῆς κείμενοι ἀλλὰ διαέριοι περὶ αὐτὸν θεωρούμενοι, καὶ μετὰ τῶν θυρεῶν αἱ τῶν δυνατῶν βολίδες φόβον ἐμποιοῦσι τοῖς πολεμίοις, ὥστε μηδὲ τὴν ἀρχὴν ἐγχειρῆσαι καταδραμεῖν τοῦ πύργου. οἶμαι δὲ τὴν ἀγγελικὴν φρουρὰν ἐν κύκλῳ περιεστοιχισμένην τὸν τοιοῦτον

7 cf Eph 4, 14 8 cf Col 3, 2 10 cf Eph 6, 11 12 ad βασιλεύς cf ex. gr. De Perf p 176, 17 sqq (Vol VIII, 1 Jaeger)

ER^a ΛYSΘ(post 12 διὰ def 1 fol) Σ PVT CN Syr 1 (ἀλ)ηθεί(ας) corr in ras $Λ^2$ αὐτοῦ PVCN Syr 2 λόγοις ΣVC^2 (-γοις ex corr) 3 δι' ἑαυτοῦ ὅλον T τὸ σῶμα: (τὸ σ)ῶμα τῆς ἐκκλησίας C^2 in ras 7 fere litt, super τὸ antea erat acc circumfl 5 τοὺς om v post συνήρμοσεν (sic) add ἐν omnes praeter ER^av συνθέσμῳ Λ(ut vid, corr fort m pr) 6-7 κλίνεσθαι coll post τράχηλον v 7 τῷ: τε ER^aT om v et coll καὶ ante συμπεριφέρεσθαι et om ἀνορθοῦσθαι v 8 τὰ pr om Θ 9 ἐν τῷ: ὥστε Syr 10 μεθοδίας ΣN(-θωδ-) ante καὶ add τε ΛYSΘΣ 11 ante παρὰ add καὶ T τοῦ: τῶ ER^a 12 post δὲ add μοι Σ τοῦ pr: τὸν PN τὸν βασιλέα: τοῦ βασιλέως S 16 αὐτῶν N τῶν om T 17 κρεμάμενοι: κεκρυμμένοι N 18 αὐτὴν R^a αὐτῶν N 19 ἐμποιοῦσαι T πολεμουμένοις v μήτε ER^aT(sed corr)v 20 ἀγχειρῆσαι V ἐγχειρῖσαι N 21 περιστοιχισμένην VC(corr C^2)N περιτετειχισμένην v in marg adnot ἀντὶ τοῦ περιστοιχίζουσαν R^aE^2

πύργον τῷ πλήθει τῶν θυρεῶν ἡμῖν διασημαίνεσθαι. δείκνυσι
936 M. δὲ καὶ ἡ τῶν βολίδων μνήμη τὴν τοιαύτην διάνοιαν· οὐ γὰρ ἁπλῶς εἶπε βολίδας, ἀλλὰ τῇ τῶν δυνατῶν προσθήκῃ τοὺς ὑπερμαχοῦντας ἡμῶν ἐνεδείξατο, ὥστε συμβαίνειν τὸ λεγόμενον τῷ τῆς ψαλμῳδίας ῥητῷ ὅτι Παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς. ὁ δὲ τῶν χιλίων ἀριθμὸς οὔ μοι δοκεῖ δι' ἀκριβείας σημαίνειν τὴν τῶν ἑκατοντάδων δεκάδα, ἀλλ' εἰς πλήθους ἔνδειξιν παρελήφθη ὑπὸ τοῦ λόγου· σύνηθες γάρ ἐστιν ἐκ τῆς καταχρήσεως τῆς γραφικῆς τῷ ἀριθμῷ τούτῳ τὸ πλῆθος ἐνδείκνυσθαι, ὥς φησιν ὁ Δαβὶδ ἀντὶ τοῦ πλήθους ὅτι Χιλιάδες εὐθηνούντων, καὶ Ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Οὕτω μὲν οὖν τὸν τράχηλον τὸν ἐπὶ τῶν ὤμων ἐρριζωμένον κατενοήσαμεν. ὤμους δὲ νοοῦμεν, οἷς ἐπιπέφυκε, τὰς πρακτικάς τε καὶ ἐνεργητικὰς σπουδάς, δι' ὧν οἱ βραχίονες ἡμῶν τὴν σωτηρίαν ἑαυτῶν κατεργάζονται. τὴν δὲ πρὸς τὸ μεῖζον ἐπαύξησιν τῆς κατὰ θεὸν ὑψουμένης ψυχῆς σύνοιδε πάντως ὁ ἐπιστατικῶς τοῖς λεγομένοις ἀκολουθῶν, ὅτι πρότερον μὲν ἀγαπητὸν ἦν τῇ νύμφῃ ἵππῳ ὁμοιωθῆναι τῇ καταγωνισαμένῃ τὸν Αἰγύπτιον τύραννον καὶ πρὸς τοὺς ὁρμίσκους ἐμφερῶς ἔχειν τὴν ἐπὶ τοῦ τραχήλου

5-7 Ps 33, 8 11 Ps 67, 18 12 Ps 118, 72 19 sqq cf Cant 1, 9/10; cf supra p 73, 3-82, 16

ER^a ΛYS Σ PVT CN Syr 1 ante τῷ add ἐν Σ 4 ἡμῖν v ὥστε: ὥσπερ ΛYS 5 τῷ—ῥητῷ om ER^av ὅτι om ΛYS 6 αὐτῶν V 8 τῶν om P 9 παρελείφθη ΛY ἐλήφθη PVC ἐλήμφθην N ἐκ: διὰ PVCN τῆς om P 10 γραφῆς R^aE^2(eras -ικ-)ΛYSv 11 ὥς—Δαβὶδ om P 12 εὐθυνούντων R^a(sscr η)C(corr C^2)N εὐθυνόντων P 14 οἷς: οὓς V ἐπιπεφυκέναι ΛYS 'qui acceperunt' Syr(interpr ut vid) 14-15 ἐπιπεφύκασιν αἱ πρακτικαί τε καὶ ἐνεργητικαὶ σπουδαί R^aE^2 (E idem quod cett) 15 βατραχίονες R^a 16 ἑαυτῶ R^a ἐργάζονται V ut allegoria vocis βραχίονες intellegatur, subaudiendum βραχύτεροι, id est simpliciores ecclesiae, suspicor 17 τὸ μείζων C(corr C^2) τὴν μείζων N σύνοιδε PS(συνοῖδε): σύνοιδας Syr(vel fort συνεῖδες) συνεῖδε cett v 18 ἐπισταχτικῶς R^a 19 ἦν ἀγαπητὸν ΛY 21 σχεῖν E(ut vid, corr E^2) ἐπὶ om Syr

εὐπρέπειαν· νυνὶ δὲ πόσην αὐτῇ μαρτυρεῖ τὴν πρὸς τὸ ἀγαθὸν τελειότητα, ὅτι οὐχ ὁρμίσκοις τισὶ περιδεραίοις προσεικάζει τοῦ τραχήλου τὴν ὥραν, ἀλλὰ πύργος εἶναι διὰ τὸ μέγεθος λέγεται, ὃν περίβλεπτον ποιεῖ καὶ τοῖς πόρρωθεν ἀφεστηκόσιν ἀποσκοπούμενον οὐ μόνον ἡ περὶ τὴν οἰκοδομὴν φιλοτιμία ἐφ' ὅ τι μήκιστον τὸ ὕψος ἐγείρουσα, ἀλλὰ καὶ ἡ τοῦ τόπου θέσις φυσικῶς ὑπερανεστῶσα τῶν γειτνιώντων; ὅταν τοίνυν βασιλέως μὲν ἔργον ὁ πύργος ᾖ, ἐπὶ δὲ τῆς ὑψηλῆς πολιτείας βεβηκὼς τύχῃ, τότε ἀληθὲς ἐπιδείκνυται τὸ παρὰ τοῦ κυρίου λεγόμενον ὅτι Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. νόει δέ μοι τὸν πύργον ἀντὶ τῆς πόλεως.

Καιρὸς δ'ἂν εἴη καὶ τοὺς δύο νεβροὺς τῆς δορκάδος κατανοῆσαι, οἳ περὶ τὴν καρδίαν τῆς νύμφης αὐλίζονται μαστοὶ κληθέντες παρὰ τοῦ λόγου [καθώς φησι Δύο μαστοί

10-11 Matth 5, 14   15-239, 2 Cant 4, 5

ER^{a} ΛYS Σ PVT CN Syr 1 εὐπρέπειαν: ἐμφέρειαν Σ   νῦν C   post δὲ add καὶ Y   πόσην: προσῆν Σ   2 τελειότητα: ἐμφέρειαν (vel ὁμοιότητα) Syr, quam var lect Σ falso loco (1) in text recepisse vid   post τισὶν add ἢ C^{2} τισὶ περιδεραίοις om Syr   3 τὴν ὥραν: τὸ κάλλος Σ   4 ὃν: ὧν N   5 ἀφεστῶσιν Σ ἐφεστηκόσιν C^{2} (ex ἀ-)   οὐ μόνον om E (adscr E^{2})   6 οἰκοδομίαν (fort recte) ΛYSPVCN   ἐφ' ὅ τι: ἐφ' ὃ ΛY ἐφ' ᾧ S ἐφ' ᾧτε PVC (corr C^{2}) ἐφὸτε N   7 τόπου: πόθου R^{a} ὑπερανεστηκῶσα N ὑπερανιστῶσα ER^{a}v   8 ἔργον om Syr   ὁ: ὡς C (fort? eras et corr C^{2})   9 ᾖ R^{a}ΛYSTΣ (ἦ): ἦν E (corr E^{2}) v om PVCN   ἐπὶ—τύχῃ: ὁ δὲ τόπος αὐτοῦ ὑψηλὸς ᾖ Syr (scil interpr)   sensus est: ‘cum turris illa a Domino aedificata in regno caelorum consistit’   τύχοι ΛYS   ἀληθῶς V ἀσφαλὲς N   10 ἐνδείκνυται N   περὶ N   11 κρυβῆναι coll post κειμένη R^{a} τὸν om v   15 μαστοὶ pr: μαζοὶ S (sed corr) μέσοι P   καθώς—239, 2 κρίνοις delevi   consecutioni sententiarum minus perspicuae hic et p 239, 10-11 lumen afferre conatus est scriba pervetustus verbis Cant Cant laudatis, quem fuisse scribam librarium ipsius Gregorii negare non auserim. scil Gregorius scribae suo non aliter atque Origenes delegavit, ut versus biblicos a se laudatos exscriberet. proinde erat spatium arbitrii non solum illi sed et scribis posterioribus, quos internoscere non semper possumus. cf ex. gr. p 184, 1 sqq et 196, 15   μαστοί alt: μασθοί N

σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμενοι ἐν τοῖς κρίνοις] διὰ τὸ μεταξὺ τούτων εἶναι τῆς καρδίας τὴν θέσιν, ὧν ἡ νομὴ οὐ χόρτος ἐστὶν ἢ ἄκανθα ἀλλὰ κρίνα παντὶ τῷ τῆς νομῆς χρόνῳ τὸ ἄνθος ἑαυτῶν παρατείνοντα καὶ οὐ κατὰ καιρὸν ἀνθοῦντα οὐδὲ ἐπὶ καιροῦ μαραινόμενα, ἀλλὰ διαρκῆ παρεχόμενα τοῖς νεβροῖς τούτοις δι' ἑαυτῶν τὴν τροφήν, ἕως ἂν μηκέτι αἱ σκιαὶ κρατῶσι τῆς σπουδαζομένης περὶ τὸν βίον ἀπάτης, ἀλλ' ἤδη τοῦ φωτὸς πανταχῇ διαλάμψαντος καταυγασθῇ τὰ πάντα διὰ τῆς ἡμέρας τῆς ὅπου θέλει διαπνεούσης τὸ φῶς. [οὕτω γάρ φησιν ὁ λόγος Ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί.] οἶδας δὲ πάντως παρὰ τοῦ εὐαγγελίου μαθὼν ὅτι τὸ πνεῦμά ἐστι τὸ ἅγιον τὸ διὰ τοῦ πνεῖν ὅπου βούλεται φῶς ἐμποιοῦν τοῖς ἐπισταμένοις ὅθεν ἔρχεται καὶ ποῦ ὑπάγει· περὶ οὗ νῦν ὁ λόγος οὑτωσὶ διεξέρχεται Δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμενοι ἐν τοῖς κρίνοις, ἕως οὗ
937 M. διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. ἀλλὰ τὸ μὲν ἡμέραν λέγεσθαι τὸ πνεῦμα τὸ ἅγιον, φῶς πνέον οἷς ἂν

5 cf ex. gr. Ps 89, 6   11 Cant 4, 6   12-14 cf Joh 3, 8; cf Origen in Joh frg XXXVII (p 514, 1-6)   15-17 Cant 4, 5/6

ER^{a} ΛYSΘ (inde a 4 καὶ) Σ PVT CN Syr 1 δύο om ΛYS   τοῖς om ΛYSVCN LXX, at cf p 200, 20   2 τῆς καρδίας om E (in marg adscr E^{2})   3 ἄκανθαι Syr   κρίνον P   ante παντὶ add τὰ Σ   4 νομῆς: ζωῆς ΣPV   5 οὐ: οὔτε Σ   οὐδὲ: καὶ οὐδὲ S οὔτε Σ   καιροῦ: καιρὸν ΛY   6 τούτους V   7 τὴν om N   ὡς PVCNv   ἂν om ER^{a} κρατοῦσι ΛYT   7-8 σπουδαζομένοις Y   8 et ἀλλὰ et om ἤδη T   9 καταυγασθῆναι Θ κατεργάσθη P (sscr αυγασθῇ)   τὰ om ΛYSΘ   10 θέλη ΣC (corr C^{2})   10-11 οὕτω—σκιαί delevi   11 οὗ om N   διαπνεύσει ΛYV   ἡ om P   12 corr (πάντ)ως C^{2} fort ex ας   13 post ἐστι add τὸ πνεῦμα V   τὸ alt: τῷ C (corr C^{2})   14 ἐπανισταμένοις Nv   ὅθεν: πόθεν Σ ὁ θεὸς C (corr C^{2}) N ὅθεν ὁ θεὸς P   ἄρχεται C   15 οὑτωσὶ ΛYSΘT: οὗτος NC^{2} (ex -ως) οὕτως cett v   16 τοῖς ER^{a}ΣTv: om cett LXX   οὗ: ἂν ΣTCN om P   17 διαπνεύσει Λ (corr pr m ut vid) S (corr ex -η) ΣV   18 ἡμέρα C (adscr ν C^{2})   τὸ ἅγιον πνεῦμα (om τὸ alt) Σ   ante φῶς add καὶ ΣP   18-240, 1 φῶς—ἐγγένηται om Λ (in marg adscr Λ^{2}) YSΘ

ἐγγένηται, οὐκ οἶμαί τινα τῶν νοῦν ἐχόντων ἐπιδιστάσαι τῷ λόγῳ· εἰ γὰρ υἱοὶ φωτὸς καὶ υἱοὶ ἡμέρας γίνονται οἱ γεννηθέντες παρὰ τοῦ πνεύματος, τί ἄλλο χρὴ νοεῖν τὸ πνεῦμα τὸ ἅγιον ἢ φῶς καὶ ἡμέραν, ἧς ἡ πνοὴ φυγαδευτικὴ τῶν σκιῶν τῆς ματαιότητος γίνεται; ἀνάγκη γὰρ πᾶσα τοῦ ἡλίου φανέντος τὰς σκιὰς μὴ μένειν ἀλλὰ μεταχωρεῖν τε καὶ μετανίστασθαι. τὸ δὲ περὶ τῶν δύο νεβρῶν τῆς δορκάδος μυστήριον εὔκαιρον ἂν εἴη προσθεῖναι τῇ ἐξετάσει τοῦ λόγου, ὧν δίδυμος μέν ἐστιν ἡ γένεσις, τροφὴ δὲ τὸ κρίνον, τόπος δὲ νομῆς ἡ ἀγαθή τε καὶ πίειρα γῆ. αὕτη δ' ἐστὶν ἡ καρδία κατὰ τὸν τῆς παραβολῆς τοῦ κυρίου λόγον· ἐν αὐτῇ δὲ νεμόμενοι καὶ τοὺς καθαροὺς ἐξ αὐτῆς λογισμοὺς ἀνθολογοῦντες πιαίνονται. τὸ δὲ ἄνθος τῶν κρίνων διπλῆν ἔχει τὴν χάριν παρὰ τῆς φύσεως εὐπνοίας τῇ εὐχροίᾳ συμμεμιγμένης, ὡς καθ' ἑκάτερον εἶναι τοῖς δρεπομένοις ἐράσμιον, εἴτε τῇ ὀσφρήσει προσάγοιεν εἴτε τοῖς ὀφθαλμοῖς τοῦ κάλλους τῆς ὥρας κατατρυφῷεν· ἡ μὲν γὰρ ὄσφρησις τῆς τοῦ Χριστοῦ εὐωδίας πλήρης γίνεται, διὰ δὲ τοῦ εἴδους ἐνδείκνυται τὸ καθαρόν τε καὶ ἀκηλίδωτον.

Τάχα τοίνυν ἤδη διὰ τῶν εἰρημένων σεσαφήνισται ἡμῖν τὸ ὑπὸ τοῦ λόγου δηλούμενον ὅτι δύο ἀνθρώπων ἐν τοῖς

2 cf I Thess 5, 5   3 cf Joh 3, 8   11 cf Luc 8, 15   18 cf II Cor 2, 15   21-241, 2 cf Origen Comm Prolog p 63, 31-64, 15; cf II Cor 4, 16

ER^{a} ΛYSΘ Σ PVT CN Syr   1 γένηται E (sscr ἐγ E^{2}) Σ ἐνγίνεται C (corr C^{2})   2 τῷ λόγῳ: τοῦ Χριστοῦ Syr   4 ἧς: οὗ PVCN   ἡ om E (sscr E^{2})   4-5 φυγαδεύει τὴν σκιὰν Θ   5 γίνεται om Θ   γὰρ om P   7 τὸ: τῶν P   8 προσθεῖναι ΛYSΘV v Syr: προσθῆναι PNC (corr προστεθεῖναι C^{2}, corr προθῆναι C^{3}) προθεῖναι $R^{a}E^{2}$ (ex -ῆ-) ΣT   9 ὧν: οἷς T   μέν om E (sscr E^{2})   ἡ om T   γένησις Σ γέννησις PN Syr, at cf infra p 241, 3-6   τὸ om E (in marg adscr E^{2})   10 πίειρα ΛYSΘE^{2} (-ει- in ras, in marg adnot μακαρία): πιερὰ ΣPVTCN πίρα R^{a} πιαρὰ v   αὐτὴ EΣv   11 τῆς παραβολῆς om T   12 δὲ: γὰρ V   λογισμοὺς coll ante ἐξ ΛYΣ   13 τῶν κρίνων Syr: τοῦ κρίνου Σ τὸ κρίνον cett v   14 εὐχροίας τῇ εὐπνοίᾳ V   15 ἕτερον Θ   16 ὀσφρήσει: αἰσθήσει CE (fort, eras αἰσθ et corr ὀσφρ E^{2})   προσά··γοιεν Σ (1 vel 2 litt eras)   17 τοῦ κάλλους om T   18 τῆς om P   τοῦ pr om ΛY   τοῦ alt om P   20 ἤδη διὰ: ἡ ἀδηλία PVC (corr τῇ C^{2}) N (-δειλ-)   σεσαφήνικεν V   21 ὑπὸ: διὰ T

καθ' ἕκαστον θεωρουμένων, τοῦ μὲν σωματικοῦ τε καὶ φαινομένου, τοῦ δὲ νοητοῦ τε καὶ ἀοράτου, δίδυμος μὲν ἀμφοτέρων ἐστὶν ἡ γένεσις κατὰ ταὐτὸν ἀλλήλοις συνεπιδημούντων τῷ βίῳ· οὔτε γὰρ προϋπάρχει τοῦ σώματος ἡ ψυχὴ οὔτε προκατασκευάζεται τῆς ψυχῆς τὸ σῶμα, ἀλλ' ὁμοχρόνως ἐν τῇ ζωῇ γίνονται. τροφὴ δὲ τούτοις κατὰ φύσιν μέν ἐστιν ἡ καθαρότης καὶ ἡ εὐωδία καὶ πάντα τὰ τοιαῦτα, ὧν εὐφοροῦσιν αἱ ἀρεταί, ἔστι δὲ ὅτε τὸ δηλητήριόν τισιν ἀντὶ τοῦ τροφίμου σπουδάζεται, οἳ οὐχὶ τὰ ἄνθη τῶν ἀρετῶν ἐπιβόσκονται, ἀλλ' ἀκάνθαις ἐπιτέρπονται καὶ τριβόλοις· οὕτω γὰρ τῆς παραβολῆς τοῦ εὐαγγελίου ὀνομαζούσης τὰς ἁμαρτίας ἠκούσαμεν, ὧν ἡ κατάρα τοῦ ὄφεως τὴν κακὴν βλάστην ἐδημιούργησεν. ἐπειδὴ τοίνυν διακριτικῶν ὀφθαλμῶν ἐστι χρεία τῶν δυναμένων ἐν ἀκριβείᾳ διαγνῶναι τὸ κρίνον τε καὶ τὴν ἄκανθαν καὶ τὸ μὲν σωτήριον προελέσθαι, τὸ δὲ φθοροποιὸν ἀποπέμψασθαι, διὰ τοῦτο τὸν καθ' ὁμοιότη-

2-6 Ad Gregorii de communi animae corporisque origine doctrinam (creatianismum ut dicunt theologi) cf De hom opif 28/9, p 233 B sqq (Migne) et De an et res 108 A, praecipue 125 A (Migne). e numero patrum eccles cf ex. gr. Iren 2, 455 (Harvey), Tertull De an 27, 1: 'Quomodo igitur animal conceptum? simulne conflata utriusque substantia corporis animaeque an altera earum praecedente? immo simul ambas et concipi et confici, perfici dicimus, sicut et promi, nec ullum intervenire momentum in conceptu quo locus ordinetur'. cf quae J. H. Waszink demonstrat in comm suo p 342-347   4-5 scil doctrina Origen (cf De princ I 7, 4 = p 90, 4-21)   10-11 cf Matth 7, 16; cf Hebr 6, 8   12 cf Gen 3, 17/18   13-14 cf I Cor 12, 10 (διάκρισις πνευμάτων)

ER^{a} ΛYSΘ Σ PVT CN Syr   1 τε om ΛYSΘ   καὶ om ΛY   2 τε om T   3 ἀμφότερός v   ἐστιν ἀμφοτέρων T   γέννησις N Syr γεῦσις C   καταυτὸν Θ   5 προκατεσκεύασται ΛYSΘ   6 ὁμοφρόνως PVCN ὁμόχρονοι (om ἐν τῇ ζωῇ) Syr   γίνεται C   τούτων P Syr   κατὰ φύσιν om Syr   7 ἡ alt om PVCNv   8 τὸ om P   9 τοῦ om ER^{a}v   12 κατάρα: κατὰ P   13 κακὴν: κακίαν Θ   βλάστην ER^{a}ΣTv: βλάστησιν PVCN   εὐφορίαν ΛYSΘ   ἐποίησεν ΛYSΘ   14 ἐστι om ΣPVTCN, obstat claus   διακρῖναι ΣPVTC διακρίνεται N

τα τοῦ μεγάλου Παύλου μαζὸν τοῖς νηπίοις γινόμενον καὶ γαλακτοτροφοῦντα τοὺς ἀρτιγενεῖς τῆς ἐκκλησίας δυάδα μαζῶν ἀλλήλοις συγγεννηθέντων τῶν τοῖς νεβροῖς τῆς δορκάδος ἀπεικαζομένων ὠνόμασεν διὰ πάντων μαρτυρῶν τῷ τοιούτῳ μέλει τῆς ἐκκλησίας τὸ δόκιμον, ὅτι τε καθ' ἑκάτερον εὐοδοῦται πρὸς τὴν τῶν καθαρῶν κρίνων νομὴν ὀξὺ δεδορκὼς καὶ διακρίνων τοῦ τροφίμου τὴν ἄκανθαν καὶ ὅτι περὶ τὸ ἡγεμονικὸν ἀναστρέφεται, οὗ σύμβολον ἡ καρδία ἐστιν ἡ δι' ἑαυτῆς τοὺς μαζοὺς ὑποτρέφουσα καὶ ἔτι πρὸς τούτοις ὅτι οὐκ ἐν ἑαυτῷ κατακλείει τὴν χάριν, ἀλλ' ἐπέχει τοῖς δεομένοις τοῦ λόγου τὴν θηλήν, Ὡς ἐὰν
940 M. τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, καθὼς ἐποίει τε καὶ ἔλεγεν ὁ ἀπόστολος.

Μέχρι τούτων δὲ τῶν μελῶν τῆς ἐκκλησίας προαγαγὼν ὁ λόγος τὸν ἔπαινον ἐν τοῖς ἐφεξῆς ὁλοσώματον ποιεῖται αὐτῆς τὸ ἐγκώμιον, ὅταν Διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου καὶ πάλιν ἐπαναγάγῃ ἑαυτὸν πρὸς τὴν ἰδίαν δόξαν τῆς θεότητος, ἣν εἶχεν ἀπ' ἀρχῆς πρὸ τοῦ τὸν κόσμον εἶναι· εἰπὼν γὰρ ὅτι Πορεύσομαι

1-2 cf I Cor 3, 1/2   8 τὸ ἡγεμονικὸν: cf supra p 211, 1-3   11 I Thess 2, 7   16-17 Hebr 2, 14   19 Cant 4, 6

ER^a ΛYS Σ PVT CN Syr Θ(post 1 τοῦ deff foll 9)   1 γενόμενον ER^{a}v   2 γαλακτοφοροῦντα C   3 δύο Σ   μαζῶν δυάδα N   συγγενηθέντων R^{a}Λ(corr Λ^2)SN, fort recte   3 et τὸ et 4 ἀπεικασμένον PVC(corr τῶν et -νων C^2)N   5 τε om E(sscr E^2)   6 ἕτερον PC(ut vid, corr C^2)N   εὐωδοῦται C(corr C^2)N   κρίνην N   7 ante ὀξὺ add ὁ ER^a ὀξὺ δὲ δορκὸς V ὀξυδερκῶς v om T   καὶ om Tv   διακρίνον Vv   ἄκανθα VC(corr C^2)   8 ἀνατρέφηται V   σύμβουλον R^a σύμβουλος Syr   9 ὑποστρέφουσα v   10 πρὸς: ἐπὶ V ἐν PC(corr ἐπὶ C^2)N   ὅτι om E(sscr E^2)T   αὐτῷ ΛYSN   11 ὑπέχει TC^2(ex ἐπ-)   ἐὰν ΛYS I Thess 2, 7: ἂν cett v Syr   12 θάλπει E(corr E^2)ΣC(corr C^2)v   13 ἀπόστολος: Παῦλος Syr   14 μέχρι: μετὰ v   δὲ τούτων ΛYΣC^2 (transp δὲ)v   προάγων Σ   15 αὐτῆς ποιεῖ (sic) V   16 καταρτίσῃ Λ(ut vid) καταργίσῃ Y καταργής Σ   17 post θανάτου add αὐτοῦ Σ   ἐπανάγῃ V   ἑαυτὸν ἐπαναγάγῃ Σ   αὐτὸν Λ (corr m fort pr)   19 τὸν om v   (εἰ)πὼν corr in ras C^2 γὰρ om P

ἐμαυτῷ εἰς τὸ ὄρος τῆς σμύρνης καὶ εἰς τὸν βουνὸν τοῦ λιβάνου, διὰ μὲν τῆς σμύρνης τὸ πάθος, διὰ δὲ τοῦ λιβάνου τὴν δόξαν τῆς θεότητος ἐνδειξάμενος προσέθηκεν Ὅλη καλὴ εἶ, ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί, διδάσκων διὰ τῶν εἰρημένων πρῶτον μὲν ὅτι οὐδεὶς αἴρει τὴν ψυχὴν αὐτοῦ· ἀπ' αὐτοῦ, ἀλλ' ἐξουσίαν ἔχει θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχει πάλιν λαβεῖν αὐτήν πορευόμενος ἑαυτῷ ἐπὶ τὸ ὄρος τῆς σμύρνης, οὐκ ἐκ τῶν ἡμετέρων ἔργων ἵνα μή τις καυχήσηται, ἀλλ' ἐξ ἰδίας χάριτος τὸν ὑπὲρ τῶν ἁμαρτωλῶν ἀναδεχόμενος θάνατον· ἔπειτα δὲ ὅτι οὐκ ἔστιν ἄλλως καθαρθῆναι τοῦ μώμου τὴν ἀνθρωπίνην φύσιν μὴ τοῦ ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου πᾶσαν δι' ἑαυτοῦ τὴν κακίαν ἐξαφανίσαντος. ὁ τοίνυν εἰπὼν ὅτι Ὅλη καλὴ εἶ, ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί· καὶ ἐπαγαγὼν τὸ κατὰ τὸ πάθος μυστήριον διὰ τοῦ κατὰ τὴν σμύρναν αἰνίγματος εἶτα τοῦ λιβάνου μνησθείς, δι' οὗ τὸ θεῖον ἐνδείκνυται, τοῦτο παιδεύει ἡμᾶς ὅτι ὁ συμμετασχὼν αὐτῷ τῆς σμύρνης συμμεθέξει πάντως καὶ τοῦ λιβάνου· ὁ γὰρ συμπαθῶν καὶ συνδοξάζεται πάντως, ὁ δὲ ἅπαξ ἐν τῇ θείᾳ δόξῃ γενόμενος ὅλος γίνεται καλὸς ἔξω τοῦ ἀντικειμένου μώμου γενόμενος, οὗ καὶ ἡμεῖς χωρισθείημεν

2-3 et 15-18 cf supra p 189, 2-15   4-5 Cant 4, 7   5-7 cf Joh 10, 18   8-9 cf Eph 2, 8   9-10 cf Rom 5, 8   12 Joh 1, 29   19 cf Rom 8, 17   20-21 cf Eph 5, 27

ER^a ΛYS Σ PVT CN Syr   1 εἰς pr: πρὸς Σ   2 διὰ pr—λιβάνου: καὶ διὰ τούτου Syr om Nv   ante διὰ pr add καὶ R^{a}E^{2}C^2 4 εἶ om PTC   ἡ om ER^{a}YVv   ante διδάσκων add καὶ PVCN   7 et ante πορευόμενος ins φησίν et corr πορεύσομαι ἐμαυτῷ C^2 ἑαυτὸς Y   9 καυχήσεται Σ   τὸν om C(add C^2)   10 ἀναδεξάμενος ER^{a}Nv   13 ἑαυτῆς v   ὁ om v   ὅτι om T   ὅλη om CN   13-14 ὅτι—σοί coll post 17 ἐνδείκνυται (antea add καὶ προστίθησι καί φησι) Syr (scil invenit in exempl suo verba Cant Cant laudata in marg adscr)   14 εἶ om PTC   ἡ om ER^{a}Vv   μου: μοσ R^a 16 μνησθῆς Σ   17 τούτῳ Nv   19 συνδοξασθήσεται ΛYS   20 γενάμενος C(corr C^2)N   ὅλος: ὁ λόγος C(corr C^2)   γίνεται: γὰρ Σ   21 (μώ)μου corr in ras Λ^2 γινόμενος Σ

διὰ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος η'

Δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου· (4,8)
ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως,
ἀπὸ κεφαλῆς Σανὶρ καὶ Ἑρμών,
ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων.
Ἐκαρδίωσας ἡμᾶς, ἀδελφὴ ἡμῶν νύμφη, (9)
ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου,
ἐν μιᾷ, ἐνθέματι τραχήλου σου.
Τί ἐκαλλιώθησαν μαστοί σου, ἀδελφή μου νύμφη, (10)
τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου;
καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα.
Κηρίον ἀποστάζουσι χείλη σου, νύμφη, (11)
μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου,
καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου.

ER^a ΛYS Σ PVT CN Syr 1 ἀποθανόντος: παθόντος C καὶ ἐγερθέντος om P post ἐγερθέντος add Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν ER^av add Χριστοῦ P post ᾧ add πρέπει ER^av Syr post δόξα add καὶ τὸ κράτος ER^av 2 τῶν αἰώνων ER^aTv Syr: om cett ἀμήν om P post ἀμήν add ἐτελειώθη λόγος ὄγδοος Syr 3 λόγος η' ER^a(post lemma)ΛYΣ^2(in marg sup)VT(in marg post lemma)N: τοῦ αὐτοῦ εἰς τὸ ἆσμα τῶν ἀσμάτων λόγος η̄ Σ λόγος ἔνατος Syr ὁμιλία η̄ S om titulum PC(in marg adscr Z C^2) 5 ἀπὸ ἀρχῆς: ἀπαρχὴ N 6 Σανὶρ PV LXX: σανὴρ E(corr -εὶρ E^2) σανεὶρ ΛYSΣ ἀνεὶρ R^a ἀνὴρ C(corr C^2)N 7 μανδρῶν: ἀνδρῶν C(corr C^2)N post ὀρέων add καὶ R^aE^2(sscr) 8 ἡμῶν R^aE^2(corr e μου ut vid), cf infra p 254,1-6: μου cett v Syr LXX 10 ἐνθέματι: ἐν θελήματι ΛY ἐν θέωτη C(corr C^2) τραχήλω S τω τραχήλω C(eras τω et corr C^2) τραχήλων LXX(pars codd) σου om P 11-p 245, 10 (= versus 4, 10-15) om SΣPVTv habet Syr, sed non rubro adhibito, quo anteriores, ut solet lemmata in initio librorum, distinguit. a Gregorio hoc libro non explicantur. liber octavus brevissimus est. Gregorium causa nobis ignota coactum medium sermonem interrupisse persuasum habeo. nota verba, quibus in fine libri (p 260, 12 sqq) auditores in tempus aliud differt. 11 τί—νύμφη om Y et scr ἐκαλλιώθης et om μαστοί σου ER^aΛ 15 μέλη ΛYC(corr C^2)

Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, (12)
κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη.
Ἀποστολαί σου παράδεισος ῥοῶν μετὰ καρποῦ
κύπροι μετὰ νάρδων, ἀκροδρύων, (13)
Νάρδος καὶ κρόκος, (14)
κάλαμος καὶ κιννάμωμον
μετὰ πάντων ξύλων τοῦ Λιβάνου,
σμύρνα, ἀλόη μετὰ πάντων πρωτομύρων,
Πηγὴ κήπων, φρέαρ ὕδατος ζῶντος (15)
καὶ ῥοιζοῦντος ἀπὸ τοῦ Λιβάνου.

Ὁ τὰς μεγάλας ὀπτασίας διεξελθὼν πρὸς τοὺς Κορινθίους, ὁ μέγας ἀπόστολος, ὅτε καὶ ἀμφίβολος περὶ τῆς ἑαυτοῦ φύσεως ἔφησεν εἶναι εἴτε σῶμα ἦν εἴτε νόημα ἐν τῷ καιρῷ τῆς ἐν τῷ παραδείσῳ μυσταγωγίας, ταῦτα διαμαρτυράμενος λέγει ὅτι Ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι, ἀλλ' ἔτι τοῖς ἔμπροσθεν ἐπεκτείνομαι τῶν προδιηνυσμένων λήθην ποιούμενος, δηλῶν ὅτι καὶ μετὰ τὸν τρίτον οὐρανὸν ἐκεῖνον ὃν αὐτὸς ἔγνω μόνος (οὐ γάρ τι Μωϋσῆς ἐν τῇ κοσμογενείᾳ περὶ αὐτοῦ διηγήσατο) καὶ μετὰ τὴν ἄρρητον τῶν τοῦ παραδείσου μυστηρίων ἀκρόασιν ἔτι ἐπὶ τὸ ἀνώτερον ἵεται καὶ οὐ λήγει τῆς ἀναβάσεως οὐδέποτε τὸ καταλαμβανόμενον ἀγαθὸν ὅρον τῆς ἐπιθυμίας ποιούμενος, διδάσκων οἶμαι διὰ τούτων ἡμᾶς ὅτι τῆς μακαρίας ἐκείνης τῶν ἀγαθῶν

11-14 cf II Cor 12, 1-4 15 Phil 3, 13 23-p 247, 18 cf supra p 157, 14-159, 11

ER^a ΛYS Σ PVT CN Syr 3 καρπῶν CN Syr 6 κινάμωμον R^aCN κινάμωμος ΛY 8 ante ἀλόη add καὶ C^2(sscr) Syr (ἀλό)η E^2 in ras αλωθ LXX πρώτων μύρων LXX 10 τοῦ om Λ 11 τοὺς om P 12 ὁ om VCN nominativ anacol vocis ἀμφίβολος mutare nolui 13 et ἐν σώματι et ἐν νοήματι Syr(scil sec II Cor 12, 2/3) ἐν τῷ καιρῷ om V Syr 14 τῆς coll ante 13 ἐν N ἐν τῷ om N παραδείσως N διαμαρτυράμενος ΣPT: διαμαρτυρόμενος cett v 15 ἔτι: ἐπὶ CN 16 προδεικνυσμένων R^a 17 δηλῶν ΛYSΣC^2(corr e δῆλον) Syr: δῆλον cett v καὶ om Y 18 τι: τοι N μωσῆς Σ μουσῆς N 19 περὶ αὐτοῦ coll ante 18 ἐν ER^av 19-20 τῶν ἐν τῷ παραδείσῳ Syr 20 ἔτι: ὅτι ΛYS οἴεται N 21 οὐδέ(ποτε) eras R^a

941 M. φύσεως πολὺ μέν ἐστι τὸ ἀεὶ εὑρισκόμενον, ἀπειροπλάσιον δὲ τοῦ πάντοτε καταλαμβανομένου τὸ ὑπερκείμενον καὶ τοῦτο εἰς τὸ διηνεκὲς γίνεται τῷ μετέχοντι ἐν πάσῃ τῇ τῶν αἰώνων ἀϊδιότητι διὰ τῶν ἀεὶ μειζόνων τῆς ἐπαυξήσεως τοῖς μετέχουσι γινομένης· ὁ μὲν γὰρ καθαρὸς τὴν καρδίαν κατὰ τὴν ἀψευδῆ τοῦ δεσπότου φωνὴν ὁρᾷ τὸν θεόν, ἀεὶ κατὰ τὴν ἀναλογίαν τῆς δυνάμεως ὅσον χωρῆσαι δύναται τοσοῦτον τῇ κατανοήσει δεχόμενος. τὸ μέντοι ἀόριστόν τε καὶ ἀπερίληπτον τῆς θεότητος ἐπέκεινα πάσης καταλήψεως διαμένει· οὗ γὰρ τῆς μεγαλοπρεπείας τῆς δόξης οὐκ ἔστι πέρας, καθὼς ὁ προφήτης μαρτύρεται, τοῦτο πάντοτε ὡσαύτως ἔχει ἐν τῷ αὐτῷ ὕψει διὰ παντὸς θεωρούμενον. ὥσπερ δὴ καὶ ὁ μέγας Δαβὶδ ὁ τὰς καλὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος καὶ ἐκ δυνάμεως εἰς δύναμιν ἀεὶ πορευόμενος τοῦτο πρὸς τὸν θεὸν ἀνεβόησεν ὅτι Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα, κύριε· τοῦτο οἶμαι διὰ τῆς φωνῆς ταύτης σημαίνων ὅτι ἐν πάσῃ τῇ τοῦ ἀτελευτήτου αἰῶνος ἀϊδιότητι ὁ μὲν πρὸς σὲ τρέχων ἑαυτοῦ μείζων πάντοτε καὶ ἀνώτερος γίνεται ἀεὶ διὰ τῆς τῶν ἀγαθῶν ἀναβάσεως ἀναλόγως αὐξόμενος, σὺ δὲ ὁ αὐτὸς εἶ ὕψιστος εἰς τὸν αἰῶνα μένων, οὐδέποτε χθαμαλώτερος τοῖς ἀνιοῦσι φανῆναι δυνάμενος τῷ κατὰ τὸ ἴσον ἀνώτερος πάντοτε καὶ ὑψηλότερος

5-6 cf Matth 5, 8 9 cf Plat Resp 508 e; cf ex. gr. De beatitud VI p 1268 B (Migne) 10-11 cf Ps 144, 5; 3 13-15 cf Ps 83, 6; 8 15-16 Ps 91, 9 20-21 cf Ps 101, 13

ER^a ΛYS Σ PVT CN Syr 2 παντὸς (sic) coll ante τοῦ PVCN ante τὸ T 3 γίνεσθαι Σ πᾶσϊ N 3-4 ἐν—ἀϊδιότητι om P 4 αἰωνίων ΣV 5 τοῖς μετέχουσι om ΛYS γινόμενος TE (ut vid, corr E^2) 6 ἄψευστον δὴ V om N δεσπότου: κυρίου T 7 κατὰ: καὶ N 8 τὴν κατανόησιν ER^{a}Tv 10 μένει PVCN 11 διαμαρτύρεται C τοῦτο: τότε ΛYS 13 δὴ: δὲ v καὶ om PV 13-14 ὁ ἐν τῇ καρδίᾳ τὰς ἀναβάσεις τὰς καλὰς N διατιθέμενος coll ante ἐν Σ 14 post καρδίᾳ add ἀεὶ Syr τιθέμενος ER^{a}PVC(sscr δια C^2)v ἀεὶ om Σ 15 τὸν om P ὅτι: τὸ ER^{a}v 16 ante εἰς add εἶ ER^{a}P τοὺς αἰῶνας ER^{a}Σ κύριε: μαίνων P (scil de Ps 101, 13) 17 τοῦ om v 20 αὐξόμενος(claus praest) ΣPV: αὐξούμενος C(corr C^2)N αὐξανόμενος cett v εἶ om V post αἰῶνα add κύριε Σ 22 τῷ: τὸ VN

εἶναι τῆς τῶν ὑψουμένων δυνάμεως. ταῦτα τοίνυν περὶ τῆς φύσεως τῶν ἀφράστων ἀγαθῶν δογματίζειν τὸν ἀπόστολον ὑπειλήφαμεν λέγοντα ὅτι τὸ ἀγαθὸν ἐκεῖνο Ὀφθαλμὸς οὐκ εἶδεν, κἂν ἀεὶ βλέπῃ (οὐ γὰρ ὅσον ἐστὶ βλέπει, ἀλλ᾽ ὅσον τῷ ὀφθαλμῷ δυνατόν ἐστι δέξασθαι), Καὶ οὖς οὐκ ἤκουσεν, καθ᾽ ὅσον ἐστὶ τὸ δηλούμενον, κἂν πάντοτε δέχηται τῇ ἀκοῇ τὸν λόγον, Καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, κἂν διὰ παντὸς ὁ καθαρὸς τῇ καρδίᾳ ὅσον δύναται βλέπῃ· τὸ γὰρ ἀεὶ καταλαμβανόμενον τῶν μὲν προκαταληφθέντων πάντως μεῖζόν ἐστιν, οὐ μὴν ὁρίζει ἐν ἑαυτῷ τὸ ζητούμενον, ἀλλὰ τὸ πέρας τοῦ εὑρεθέντος ἀρχὴ πρὸς τὴν τῶν ὑψηλοτέρων εὕρεσιν τοῖς ἀναβαίνουσι γίνεται καὶ οὔτε ὁ ἀνιὼν ποτε ἵσταται ἀρχὴν ἐξ ἀρχῆς μεταλαμβάνων οὔτε τελεῖται περὶ ἑαυτὴν ἡ τῶν ἀεὶ μειζόνων ἀρχή· οὐδέποτε γὰρ ἐπὶ τῶν ἐγνωσμένων ἡ τοῦ ἀνιόντος ἐπιθυμία μένει, ἀλλὰ διὰ μείζονος πάλιν ἑτέρας ἐπιθυμίας πρὸς ἑτέραν ὑπερκειμένην κατὰ τὸ ἐφεξῆς ἡ ψυχὴ ἀνιοῦσα πάντοτε διὰ τῶν ἀνωτέρων ὁδεύει πρὸς τὸ ἀόριστον.

Τούτων δὲ ἡμῖν οὕτω διῃρημένων καιρὸς ἂν εἴη

3 et 5 et 7 I Cor 2, 9 8 cf Matth 5, 8 11 sqq scil contra principia logica Aristot (cf loca a Bonitz laudata, Ind Aristot p 74 b 41 sqq) nec non contra illum Origenis locum ab ecclesia acerrime damnatum De princ II 9, 1 p 164, 3-6; ··· ἐὰν γὰρ ᾖ ἄπειρος ἡ θεία δύναμις, ἀνάγκη αὐτὴν μηδὲ ἑαυτὴν νοεῖν· τῇ γὰρ φύσει τὸ ἄπειρον ἀπερίληπτον.

ER^a ΛYS Σ PVT CN Syr 1 post τοίνυν add καὶ τοιαῦτα Syr 2 ἀφράστων: ἀκηράτων P 2-3 ὑπειλήφαμεν τὸν ἀπόστολον ΛYN 3 post ἐκεῖνο add ὃ ΛYSΣV 4 ἴδεν C(corr C^2)N οἶδε Vv κἂν: εἰ καὶ PVCN βλέπει pr ΣPCN οὐ—βλέπει om PVCN 6 κἂν: καὶ PN δέχεται YΣPTC(corr C^2)N 7 ἡ ἀκοὴ T ante ἀνθρώπου add τοῦ v ἀναβαίνει N 8 ὁ: εἶ C(corr ᾗ C^2) ᾗ N βλέπει R^a(sscr η)ΣPCN 10 πάντων ER^{a}VTv μείζων ΣC (corr C^2)N 12 ὁ om R^{a}PVCN 13 τελείωται R^a τελειοῦται SPT(sscr οῦ)Λ^2(e -λεῖτ-) 14 αὐτὴν ΛYSP(αυτὴν) ἀεὶ om ΛYSP ἐπὶ: περὶ ER^{a}v 15 προεγνωσμένων Syr ἀνιῶντος Λ(corr Λ^2)Y μένει: ἵσταται ER^{a}Σv 16 ἑτέρας coll post ἐπιθυμίας V om CN 17 ἡ om v 18 τὸ: τὸν E (corr E^2)T 19 οὕτως ἡμῖν Σ διειρημένων VTCN corr V^{2}T^{1}C^2

προθεῖναι τῶν θείων λογίων τὴν θεωρίαν· Δεῦρο ἀπὸ λιβάνου, νύμφη, δεῦρο ἀπὸ λιβάνου· ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως, ἀπὸ κεφαλῆς Σανὶρ καὶ Ἑρμών, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων. τί τοίνυν ἐν τούτοις ὑπενοήσαμεν; ἀεὶ τῶν ἀγαθῶν ἡ πηγὴ πρὸς ἑαυτὴν τοὺς διψῶντας ἐφέλκεται, καθὼς ἐν τῷ εὐαγγελίῳ φησὶν ἡ πηγὴ ὅτι Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω· ἐν τούτοις γὰρ οὔτε τῆς δίψης οὔτε τῆς πρὸς αὐτὸν ὁρμῆς
944 M. οὔτε τῆς ἐν τῷ πίνειν ἀπολαύσεως ἔδωκεν ὅρον, ἀλλὰ τῷ παρατατικῷ τοῦ προστάγματος πρὸς τὸ διηνεκὲς ποιεῖται τὴν προτροπὴν καὶ τοῦ διψῆν καὶ τοῦ πίνειν καὶ τοῦ πρὸς αὐτὸν τὴν ὁρμὴν ἔχειν. τοῖς δὲ γευσαμένοις ἤδη καὶ τῇ πείρᾳ μαθοῦσιν ὅτι χρηστὸς ὁ κύριος οἷόν τις προτροπὴ πρὸς τὴν τοῦ πλείονος μετουσίαν ἡ γεῦσις γίνεται. διὰ τοῦτο οὐδέποτε λείπει τῷ ἀναβαίνοντι ἡ γινομένη πρὸς αὐτὸν προτροπὴ ἡ πάντοτε πρὸς τὸ μεῖζον ἐφελκομένη· ὑπομνησθῶμεν γὰρ τῆς πολλάκις ἐν τοῖς φθάσασιν ἤδη γεγενημένης παρορμήσεως παρὰ τοῦ λόγου τῇ νύμφῃ.

1 Cant 4, 8 7 Joh 7, 37 12-13 cf I Petr 2, 3 (Ps 33, 9)

ER^a ΛYS Σ PVT CN Syr 1 προθεῖναι ER^{a}SΣTΛ^2(eras σ) Syr: προσθῆναι C προσθεῖναι cett v θείων om ΛYS 3 ἀπαρχὴ N Σανὶρ PVTC LXX: ἀνὴρ N σανεὶρ cett v 4 ὀρέω R^a 4-5 περὶ τούτων Syr (vel ἐπὶ τούτων), fort recte cf ex. gr. p 225, 20 et 226, 18. at fort voluit dicere Gregorius 'inter legendum' vel 'inter audiendum'. 5-6 τοὺς δήψοντας (ut vid, corr C^2) πρὸς ἑαυτὴν C τοὺς δαψιλῶντας π.ἑ. N 7 ἡ om Σ (sscr Σ^2 ut vid) εἴ τις διψᾷ: ὁ διψῶν CN πᾶς ὁ διψῶν Syr 8 τῆς pr om P 9 ex (ἔδωκε)ν ὅρον corr κόρον Λ^2 10 παρατηκῶ C (corr C^2) προστάγματος: πράγματος T ποιεῖ ER^{a}v 11 διψεῖν Λ (corr Λ^2) YΣVNC (δη-) τοῦ alt om P πινεῖν C πεινεῖν R^a πεινῆν PT πεινᾶν E (ut vid, corr E^2) πεινῆν καὶ τοῦ διψῆν T 13 πήρα Σ μαθούσῃ N Χριστὸς R^{a}S (corr S^2 ut vid) ΣC (corr C^2) N προτροπή: μετοχὴ P 14 ἡ γεῦσις om N 15 λείπει: λήγει P ante ἡ add ἄνοδος P γενομένη C 15-16 πρὸς αὐτὸν om E (in marg adscr E^2) 16 ἡ om PVCN 17 γὰρ om Λ (sscr Λ^2) Y τῆς om V 18 γεγενημένοις ΛYN 18-p 249, 2 παρορμήσεως—σεαυτῇ om Λ (in marg add Λ^2) Y 18 ante παρὰ add ἤδη Λ^2 παρὰ om PVCN ἡ νύμφη Σ

Ἐλθέ, ἡ πλησίον μου, λέγει καὶ πάλιν Δεῦρο περιστερά μου, καὶ Δεῦρο σεαυτῇ ἐν σκέπῃ τῆς πέτρας. καὶ ἄλλας τοιαύτας φωνὰς προτρεπτικάς τε καὶ ἑλκτικὰς τῆς τῶν μειζόνων ἐπιθυμίας ὁ λόγος πρὸς τὴν ψυχὴν ποιησάμενος καὶ μαρτυρήσας ἤδη τῇ πρὸς αὐτὸν ἀνιούσῃ τὸ διὰ πάντων ἀμώμητον εἰπὼν ὅτι Ὅλη καλὴ εἶ καὶ μῶμος οὐκ ἔστιν ἐν σοί, ὡς ἂν μὴ τῇ μαρτυρίᾳ ταύτῃ ἐγχαυνωθεῖσα πρὸς τὴν τῶν μειζόνων ἄνοδον ἐμποδισθείη, πάλιν διὰ τῆς προτρεπτικῆς ταύτης φωνῆς ἐπὶ τὴν τῶν ὑπερκειμένων ἐπιθυμίαν ἀναβῆναι παρακελεύεται λέγων Δεῦρο ἀπὸ λιβάνου, νύμφη. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι· καλῶς, φησίν, ἐν τοῖς φθάσασιν ἠκολούθησας, ἦλθες μετ᾽ἐμοῦ πρὸς τὸ ὄρος τῆς σμύρνης (συνετάφης γάρ μοι διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον), συνανῆλθές μοι καὶ ἐπὶ τὸν βουνὸν τοῦ λιβάνου (συνανέστης γάρ μοι καὶ ὑψώθης ἐν τῇ τῆς θεότητος κοινωνίᾳ, ἣν ἐνδείκνυται τοῦ λιβάνου τὸ ὄνομα), ἀνάβηθί μοι καὶ ἀπὸ τούτων ἐπὶ ἕτερα ὄρη προκόπτουσά τε καὶ ὑψουμένη διὰ τῆς ἐνεργοῦς γνώσεως, δεῦρο τοίνυν ἀπὸ τοῦ λιβάνου, φησίν, οὐκέτι μνηστὴ ἀλλὰ νύμφη. οὐ γάρ ἐστι δυνατὸν ἐμοὶ συζῆσαι μὴ ἀλλοιωθέντα διὰ τῆς τοῦ θανάτου σμύρνης πρὸς τὴν τοῦ λιβάνου θεότητα. ἐπεὶ οὖν ἐν τούτῳ γέγονας

1 Cant 2, 10 et 13 1-2 Cant 2, 14 6 Cant 4, 7 12-16 cf supra p 189, 2-6 13-14 cf Rom 6, 4

ER^a ΛYS Σ PVT CN Syr 1 λέγει om Λ^2(in marg) ante περιστερά add ἡ P 2 καὶ pr om T (sed sscr) eras Λ^3(in marg) σεαυτῇ (cf supra p 160, 15 sqq) ER^{a}SΛ^2(eras σ Λ^3) Syr: σεαυτὴν v σὺ ΣPVTC om N post ἐν add τῇ ΣPVTCN σκέπῃ om C (post πέτρας adscr ὀπῇ C^2) τῆς: τῇ ETv 3 τε om P ἑλκυτικὰς SPE (fort?, corr E^2) ἐκλεκτικὰς Λ (corr Λ^2) Y 4 τὴν om V 6 ὅλη om ΛYSC εἶ coll ante καλὴ T om PVv μῶμος: ἄμωμος Λ (corr Λ^2) Y 7 χαυνωθεῖσα ΛYS 8 ἐμποδισθῇ NC (post ῇ fort eras 1 litt) 10 προτρέπεται CN 11 καλῶς: ἠκολούθησας CN 12 ἠκολούθησαν Y πρός: εἰς PVCN 13 βαπτισμοῦ ΛYS 14 συνῆλθες ER^{a}v μοι om ΛYS 15 μοι ΛYSΣC Syr: om cett v συνυψώθης ΛYSΣ θεότης Σ post θεότητος add μου Syr 16-17 καὶ ἀπὸ τούτων ΣPVTCN: ἀπὸ τούτων καὶ R^{a}ΛYSv καὶ ἀπὸ τούτων καὶ E^2(corr καὶ pr in ras) Syr 17 ἐπί: ἀπο N 18 ἐνεργοῦς ER^{a}ΣTv: om cett Syr τοῦ om ΣPv 20 ante μὴ add τὸν R^{a}E^2(sscr) v 21 ἐπεὶ οὖν: ἐπειδὴ ER^{a}v

ἤδη τῷ ὕψει, μὴ στῇς ἀνιοῦσα ὡς ἤδη διὰ τούτων ἐπιβᾶσα τῆς τελειότητος· ἀρχὴ γάρ σοι πίστεως ὁ λίβανος οὗτος γίνεται, οὗ μετέσχες διὰ τῆς ἀναστάσεως, ἀρχὴ δὲ τῆς ἐπὶ τὰ ὑψηλότερα τῶν ἀγαθῶν πορείας. ἀπὸ τοίνυν τῆς ἀρχῆς ταύτης, ἥτις ἐστὶν ἡ πίστις, ἐλεύσῃ καὶ διελεύσῃ· τουτέστι καὶ νῦν ἥξεις καὶ εἰς ἀεὶ διερχομένη διὰ τῶν τοιούτων ἀνόδων οὐκ ἀπολήξεις.

Ἔχει δὲ ἡ λέξις οὕτως· Ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως, ἀπὸ κεφαλῆς Σανὶρ καὶ Ἑρμών. διὰ τούτων δὲ τὸ τῆς ἄνωθεν γεννήσεως ὑποφαίνει μυστήριον· ἐντεῦθεν γὰρ προχεῖσθαί φασι τὰς τοῦ Ἰορδάνου πηγάς, ὧν ὑπέρκειται τοῦτο τὸ ὄρος δύο λοφιαῖς μεριζόμενον, αἷς ταῦτα ἐπίκειται τὰ ὀνόματα Σανὶρ καὶ Ἑρμών. ἐπεὶ οὖν τὸ ἐκ τῶν πηγῶν τούτων ῥεῖθρον ἀρχὴ γέγονεν ἡμῖν τῆς πρὸς τὸ θεῖον μεταποιήσεως, τούτου χάριν ἀκούει τοῦ πρὸς ἑαυτὸν καλοῦντος αὐτὴν ὅς φησι Δεῦρο ἀπὸ λιβάνου καὶ ἀπὸ ἀρχῆς πίστεως καὶ ἀπὸ κεφαλῆς τῶν ὀρέων τούτων, ὅθεν σοι γεγόνασιν αἱ τοῦ μυστηρίου πηγαί. καλῶς δὲ προστίθησι τὴν τῶν λεόντων τε καὶ παρδάλεων μνήμην, ἵνα διὰ τῆς τῶν λυπηρῶν παραθέσεως γλυκυτέραν ποιήσῃ

8 Cant 4, 8 11 unde?

ER^a ΛYS Σ PVT CN Syr 1 ἤδη pr om Syr, fort recte 3 μετέσχε E (sscr ς E^2) μετέσχον Λ (ut vid) Y δὲ: τε S post δὲ add καὶ R^{a}E^2(sscr)v 3-4 et τῇ et πορείᾳ v 7 οὐ λήξεις ΛYS 9-17 ἀπὸ κεφαλῆς—πίστεως om Λ (in marg add Λ^2) Y 9 Σανὶρ PVTC LXX: Σανεὶρ ESΣv ἀνεὶρ R^a ἀνιεὶρ Δ^2(in marg) ἀνὴρ N ἑρμόν N ἀερμών (an de Deut 3, 9?) Λ^2(in marg) 9-13 διὰ—Ἑρμών om S 10 τὸ: τὸν P τῶν N τῆς om Σ (sscr Σ^2) ἄνωθεν γεννήσεως: ἀναγεννήσεως Syr γεννήσεως: γνώσεως N super (ὑποφαίν)ει sscr η P ὑπογράφει V 11 φησι Λ^2(in marg)v ὑπέρκει (sic) Σ 12 τὸ om v λοφιοῖς V λοφίας N λόφοις Λ^2(in marg) μορίοις Syr 13 Σανὶρ PVTC LXX: σανεὶρ ER^a(sed eras σ)Σv ἀνὴρ N ἀνιεὶρ Λ^2(in marg) ἀερμών Λ^2(in marg) 15 τοῦ om Λ^2(in marg) 16 ἑαυτὸν: ἑαυτὴν V αυτὸν N ὅς: ὥς SΛ^2(corr Λ^3) 17 post κεφαλῆς add πίστεως καὶ ἀπὸ κεφαλῆς N ὀρῶν ΛYS 18 δὲ om T 19 τε om PVTCN 20 ποιήσει Σ ποιήσης S ἐπιδείξει VN ἐπιδείξῃ PC

τὴν τῶν εὐφραινόντων ἀπόλαυσιν· ἐπειδὴ γὰρ ἀποθέμενός
945 M. ποτε τὸ θεῖον εἶδος ὁ ἄνθρωπος πρὸς τὴν ὁμοιότητα τῆς ἀλόγου φύσεως ἐθηριώθη πάρδαλις καὶ λέων διὰ τῶν πονηρῶν ἐπιτηδευμάτων γενόμενος (ὁ γὰρ ὑπὸ τοῦ λέοντος ἑλκυσθεὶς τοῦ ἐνεδρεύοντος ἐν τῇ μάνδρᾳ, καθώς φησιν ὁ προφήτης, καὶ ἐν τῇ παγίδι αὐτοῦ ταπεινωθεὶς πρὸς τὴν ἐκείνου φύσιν μεταμορφοῦται κατακρατήσαντος τοῦ θηρίου τῆς φύσεως· Ὅμοιοι γὰρ αὐτοῖς, φησί, γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. ὁμοίως δὲ καὶ πάρδαλις γίνεται ὁ διὰ τῶν τοῦ βίου κηλίδων τὴν ψυχὴν στιγματίσας), ἐπεὶ οὖν ἦν ποτε ὅτε ἐν τούτοις ἦν τὸ ἀνθρώπινον διὰ τῆς εἰδωλολατρίας καὶ τῆς Ἰουδαϊκῆς ἀπάτης καὶ τῆς ποικίλης τῶν ἁμαρτιῶν κακίας πλανώμενον, μετὰ ταῦτα δὲ διὰ τοῦ Ἰορδάνου καὶ τῆς σμύρνης καὶ τοῦ λιβάνου πρὸς τοσοῦτον ὑψώθη, ὥστε αὐτῷ ἤδη συμμετεωροπορεῖν τῷ θεῷ, τούτου χάριν πλεονάζει τῶν παρόντων ἀγαθῶν τὴν εὐφροσύνην ὁ λόγος διὰ τῆς τῶν ποτε γεγενημένων ἀνιαρῶν παραθέσεως προφέρων, ἐν τίσιν ἦν ἡ ψυχὴ πρὸ τοῦ λιβάνου καὶ τῆς ἀρχῆς τῆς πίστεως καὶ πρὸ τῶν ἐπὶ τοῦ Ἰορδάνου γνωρισθέντων ἡμῖν μυστηρίων· ὡς γὰρ ἡ κατ' εἰρήνην ζωὴ γλυκυτέρα μετὰ τὸν πόλεμον γίνεται τοῖς σκυθρωποῖς διηγήμασιν ἡδυνομένη καὶ τὸ τῆς ὑγείας ἀγαθὸν μᾶλλον καταγλυκαίνει τὰ τοῦ σώματος ἡμῶν αἰσθητήρια, εἰ ἔκ τινος ἀρρωστημάτων

2 sqq cf Plat Resp 620 a sqq; cf Basilid Gnost apud Clem Alex Strom II, 112 (p 174, 6-16 Stählin); cf Origen De princ I 8, 4 (p 103, 23 sqq) 4-6 cf Ps 9, 30/31 8-9 Ps 113, 16 15 cf Plat Phaedr 247 d sqq

ER^a ΛYS Σ PVT CN Syr 1 ante εὐφραινόντων add λυπηρῶν καὶ N γὰρ om P 3 τῶν om N 4 γινόμενος T 5 καθώς—προφήτης om Syr 6 παγίδι: καταιγίδι T 7 μετεμορφώθη T 8 αὐτοῖς: αὐτῆς R^a om ΛYS φησί coll ante αὐτοῖς T post αὐτὰ ER^{a}Σv γένοινται Σ 10 στιγματίσας: δογματίσας V 11 et ἦν pr et ὅτε om PVTCN ποτε coll ante τὸ P τούτω P τοῖσδε v τούτοις καὶ τοιούτοις Syr 13 ἁμαρτωλῶν ER^{a}v περιπλανώμενον P 15 αὐτῶν δὴ Σ (scil N pro H) αὐτὸν ER^{a}Vv συμμετεωροπορῶν V 16 τὴν εὐφροσύνην om ER^a 17 ἀνιαρῶν: ἀγαθῶν V 18 ἦν: εἶναι P om V 22 ὀδυνωμένη V ὑγιείας Σ ὑγίας C (corr C^2) μᾶλλον om E (adscr in marg E^2)

ἀηδίας πρὸς ἑαυτὴν ἐπανέλθοι πάλιν ἡ φύσις, τὸν αὐτὸν τρόπον ἐπίτασίν τινα καὶ πλεονασμὸν τῆς ἐν τοῖς ἀγαθοῖς εὐφροσύνης οἰκονομῶν ὁ ἀγαθὸς νυμφίος τῇ πρὸς αὐτὸν ἀνιούσῃ ψυχῇ οὐ μόνον τὸ ἑαυτοῦ κάλλος τῇ νύμφῃ προδείκνυσιν, ἀλλὰ καὶ τοῦ φρικωδεστάτου τῶν θηρίων εἴδους ὑπομιμνήσκει τῷ λόγῳ, ἵνα μᾶλλον ἐντρυφῴη τοῖς παροῦσι καλοῖς μανθάνουσα διὰ τῆς παραθέσεως, οἷα ἀνθ' οἵων ἠλλάξατο. τάχα δέ τι καὶ ἕτερον διὰ τούτων ἐκ προνοίας ἀγαθὸν τῇ νύμφῃ κατασκευάζεται· ἐπειδὴ γὰρ βούλεται ἡμᾶς ὁ λόγος τρεπτοὺς ὄντας κατὰ τὴν φύσιν μὴ πρὸς τὸ κακὸν διὰ τῆς τροπῆς ἀπορρέειν, ἀλλὰ διὰ τῆς ἀεὶ πρὸς τὸ κρεῖττον γινομένης αὐξήσεως συνεργὸν τὴν τροπὴν πρὸς τὴν τῶν ὑψηλοτέρων ἄνοδον ἔχειν, ὥστε κατορθωθῆναι διὰ τοῦ τρεπτοῦ τῆς φύσεως ἡμῶν τὸ πρὸς τὸ κακὸν ἀναλλοίωτον, τούτου χάριν ὥσπερ τινὰ παιδαγωγὸν καὶ φύλακα πρὸς τὴν τῶν κακῶν ἀλλοτρίωσιν τὴν μνήμην τῶν ποτε κατακρατησάντων θηρίων ὁ λόγος προήνεγκεν, ἵνα τῇ

10-p 253, 3 cf De perfect p 213, 14-214, 6 (Vol VIII, 1 Jaeger,) vim dialecticam, ut dicere consuevimus, verbi τρεπτόν e controversiis orthodoxorum cum doctrina gnostica de substantia immutabili eorum, qui per praedestinationem salvi fiunt, prosiluisse elucet, cf ex. gr. Tertullian Adv Marc II 5 sqq. Gregorius doctrinam de libero arbitrio novis argumentis de Athanasio haustis contra ontologiam Platonicorum sua sponte defendere videtur cum suscipiens tum limans Athanasium. cf ex. gr. Athanas Contra gentes 4 (PG 25, p 9 B/C Migne)

ER^a ΛYS Σ PVT CN Syr 1 ἐπανέλθῃ PVT 2 post τρόπον add εἶ ΛYS 5 παραδείκνυσιν N 5-6 εἴδους τῶν θηρίων ΛYS 6 μᾶλλον om T ἐντρυφῶν NC(corr -φᾷ C^2) ad optativum cf Schwyzer, Griech Gramm II p 338 7 κακοῖς E ut vid (corr E^2) παραθέσεως: παραβάσεως V τῶν παραθέσεων μνήμης ΛYS 8-9 ἐκ προνοίας coll ante διὰ Σ 9 προοιμίας CN 10 ὄντος N 11 τὸ om Λ(sscr $Λ^2$)Y τροφῆς V ἀπορέειν C(sscr ρ C^2)N τῆς alt om R^a(sscr R^{a1} ut vid) 11-12 ἀεὶ coll post κρεῖττον ER^av 12 προτροπὴν ΛYS 14 τὸ pr: τῆς N καλὸν TE^2(corr -λό- in ras) 14-15 ἀλλοιώσεως N 15 φύλακα: φίλα καὶ N 17 προσήνεγκεν PV

ἀποστροφῇ τῶν χειρόνων τὸ ἀκλινές τε καὶ ἀπαράτρεπτον ἐν τοῖς ἀγαθοῖς κατορθώσωμεν οὔτε ἱστάμενοι τῆς ἐπὶ τὸ κρεῖττον τροπῆς οὔτε πρὸς τὸ κακὸν ἀλλοιούμενοι. διὰ ταῦτα καὶ ἐλθεῖν ἐγκελεύεται ἀπὸ τοῦ λιβάνου τὴν νύμφην καὶ τῆς μάνδρας τῶν λεόντων ὑπομιμνήσκει, ᾗ ἐνηυλίζετο, καὶ τὰ τῶν παρδάλεων ὄρη προφέρει τῷ λόγῳ, οἷς ἐνδιέτριβεν ὅτε τοῖς θηρίοις ὁμοδίαιτος ἦν.

Ἀλλ' ἐπειδὴ πάντοτε ἡ τοῦ λόγου φωνὴ δυνάμεώς ἐστι φωνή, καθάπερ ἐπὶ τῆς πρώτης κτίσεως συνεξέλαμψε τὸ φῶς τῷ προστάγματι καὶ συνυπέστη πάλιν τῷ προστακτικῷ ῥήματι τὸ στερέωμα καὶ ἡ λοιπὴ πᾶσα κτίσις ὡσαύτως τῷ ποιητικῷ συνανεφαίνετο λόγῳ, τὸν αὐτὸν τρόπον καὶ
948 M. νῦν τοῦ λόγου τὴν ψυχὴν κρείττονα γενομένην πρὸς ἑαυτὸν ἐλθεῖν ἐγκελευσαμένου ἀδιαστάτως δυναμωθεῖσα τῷ προστάγματι τοιαύτη γίνεται, οἵαν ὁ νυμφίος ἐβούλετο, μεταποιηθεῖσα πρὸς τὸ θειότερον καὶ ἀπὸ τῆς δόξης ἐν ᾗ ἦν πρὸς τὴν ἀνωτέραν δόξαν μεταμορφωθεῖσα διὰ τῆς ἀγαθῆς ἀλλοιώσεως, ὡς θαῦμα γενέσθαι τῷ περὶ τὸν νυμφίον τῶν ἀγγέλων χορῷ καὶ πάντας εὐφήμως πρὸς αὐτὴν τὴν θαυμαστικὴν ταύτην προέσθαι φωνὴν ὅτι Ἐκαρδίωσας ἡμᾶς, ἀδελφὴ

9-12 cf Gen 1, 3-24 16-17 cf II Cor 3, 18 20 Cant 4, 9

ER^a ΛYS Σ PVT CN Syr 1 ἀποτροπῇ ER^av ἀκλινές τε καὶ om Syr ἀπερίτρεπτον PVCN 2 κατορθώσομεν N 4 τὴν νύμφην: αὐτὴν ὁ νυμφίος Syr 5 ἐπιμιμνήσκει N om P ἐν ᾗ ηὐλίζετο ER^av ἐγκυλίζετο N 6 προσφέρει P 9 καθάπερ P: καὶ καθάπερ (id est cum anacolutho) cett v Syr, fort recte πρώτης om ER^av κτήσεως N 10 τῷ pr: τὸ R^a καὶ om Λ (sscr $Λ^2$)Y συνεπέστη Nv 11 τὸ: τῶ Σ καὶ om Σ πᾶσα $R^a$$E^2$(adscr)v Syr: om cett 12 συναναφαίνεται ΣN 13 τὴν ψυχὴν coll post γενομένην T κρείττονα γενομένην om Syr litt ρ vocis κρείττονα corr in ras 1 litt E^2 γεναμένην PC (corr C^2)N ἑαυτὴν V 14 ἐγκελευομένου T διαστάτως Σ (sscr ἀ $Σ^2$ ut vid) εὐδιαστάτως V ἀδιστάκτως T 15 γεγένηται ER^av οἷα P ἠβούλετο C μεταθεῖσα P(sscr γρ μεταποιη) μεταποιηθεῖσαν SΣ 17 ἀνωτέρω ΛY μεταμορφωθεῖσαν S διὰ om ΛYS ἀγαθῆς: καλῆς N 18 ὡς om E (sscr E^2)PC(sscr C^2)N τῷ: τῶν E(corr E^2) τῶν ἀγγέλων om T 20 ταύτην om ER^aVv προελέσθαι YSΛ(ut vid, eras -ελ-) προέται N

ἡμῶν νύμφη· ὁ γὰρ τῆς ἀπαθείας χαρακτὴρ ὁμοίως ἐπιλάμπων αὐτῇ τε καὶ τοῖς ἀγγέλοις εἰς τὴν τῶν ἀσωμάτων αὐτὴν ἄγει συγγένειάν τε καὶ ἀδελφότητα τὴν ἐν σαρκὶ τὸ ἀπαθὲς κατορθώσασαν. διὰ τοῦτό φασι πρὸς αὐτὴν ὅτι Ἐκαρδίωσας ἡμᾶς, ἀδελφὴ ἡμῶν νύμφη, κυρίως ἑκατέρῳ τῶν ὀνομάτων σεμνυνομένη· ἀδελφὴ μὲν ἡμετέρα διὰ τὴν τῆς ἀπαθείας συγγένειαν, νύμφη δὲ διὰ τὴν πρὸς τὸν λόγον συνάφειαν. τοῦ δὲ ἐκαρδίωσας τὸ σημαινόμενον τοιοῦτον εἶναι νομίζομεν οἷόν ἐστι καὶ τὸ ἐψύχωσας, ὡς εἰ ἔλεγον πρὸς αὐτὴν ὅτι καρδίαν ἡμῖν ἐνέθηκας. σαφηνείας δὲ χάριν, ὡς ἂν γένοιτο μᾶλλον καταφανὲς ἡμῖν τὸ λεγόμενον, τὸν θεῖον ἀπόστολον πρὸς τὴν τῶν μυστηρίων τούτων ἑρμηνείαν παραληψόμεθα· φησὶ γάρ που τῶν ἑαυτοῦ λόγων ἐκεῖνος πρὸς Ἐφεσίους γράφων, ὅτε τὴν μεγάλην οἰκονομίαν τῆς διὰ σαρκὸς γεγενημένης θεοφανείας ἡμῖν διηγήσατο, ὅτι οὐ μόνον ἡ ἀνθρωπίνη φύσις ἐπαιδεύθη τὰ θεῖα διὰ τῆς χάριτος ταύτης μυστήρια, ἀλλὰ καὶ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις ἐγνωρίσθη ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ διὰ τῆς κατὰ Χριστὸν ἐν τοῖς ἀνθρώποις οἰκονομίας φανερωθεῖσα. ἔχει δὲ ἡ λέξις οὕτως· Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ

20-p 255, 4 Eph 3, 10-12

ER^a ΛYS Σ PVT CN Syr 1 post νύμφη add ἐκαρδίωσας ἡμᾶς V Syr, at cf infra p 257, 5-11 2 τε om E (sscr E^2) P 3 ἀνάγει ER^{a}v τε om T τὴν om V 4 ante φασι add καί Syr φησι V 5 ἑκατέρων E (sed eras ν) ΛYPC (eras ν) N ἐκ (sic) V 6 νοημάτων E (corr E^2) post μὲν add εἶ Syr 7 τῶν λόγων N 8 post ἐκαρδίωσας add ἡμᾶς PVTCN Syr 9 καὶ om ER^{a}v τὸ: τοῦ Σ (ἐ)ψύ(χωσας) corr E^2 in ras post ἐψύχωσας add ἡμᾶς Σ Syr 10 ἡμῶν P 11 γένηται PVCN post τὸν add μὲν P 13 παραληψώμεθα ER^{a}ΣPT ἐκείνους T (sed corr) 14 οἰκονομίαν: ἐκείνην CN, scil additam. sscr. correcturam arbitrati τῆς om T (add T^2) διά: θείας Y 14-15 et τὴν et γεγενημένην θεοφανείαν corr C^2 15 ἡμῖν coll post σαρκὸς Σ 16 ante μόνον in spatio 2 litt 2 punct P τὰ θεῖα coll ante ἐπαιδεύθη Σ om ΛY διὰ om VCN eras et sscr τὰ θεῖα Λ^2 17 ταύτης ex corr S 18 ἐγνώσθη Σ 19-p 255, 1 διὰ—θεοῦ om T 19 οἰκονομία ΣN 20 γνωρισθείη P νῦν om v

τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ἐν ᾧ ἔχομεν τὴν παρρησίαν καὶ προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ· τῷ ὄντι γὰρ διὰ τῆς ἐκκλησίας γνωρίζεται ταῖς ὑπερκοσμίοις δυνάμεσιν ἡ ποικίλη τοῦ θεοῦ σοφία ἡ διὰ τῶν ἐναντίων θαυματουργήσασα τὰ μεγάλα θαυμάσια, πῶς γέγονε διὰ θανάτου ζωὴ καὶ δικαιοσύνη διὰ τῆς ἁμαρτίας καὶ διὰ κατάρας εὐλογία καὶ δόξα διὰ τῆς ἀτιμίας καὶ διὰ τῆς ἀσθενείας ἡ δύναμις· μόνην γὰρ ἐν τοῖς πρὸ τούτου χρόνοις τὴν ἁπλῆν τε καὶ μονοειδῆ τοῦ θεοῦ σοφίαν αἱ ὑπερκόσμιοι δυνάμεις ἐγίνωσκον καταλλήλως ἐνεργοῦσαν τῇ φύσει τὰ θαύματα (καὶ ποικίλον ἦν ἐν τοῖς ὁρωμένοις οὐδὲν ἐν τῷ δύναμιν οὖσαν τὴν θείαν φύσιν πᾶσαν τὴν κτίσιν κατ' ἐξουσίαν ἐργάζεσθαι ἐν μόνῃ τῇ ὁρμῇ τοῦ θελήματος τὴν τῶν ὄντων φύσιν εἰς γένεσιν ἄγουσαν καὶ ποιεῖν τὰ πάντα καλὰ λίαν τὰ ἀπὸ τῆς τοῦ καλοῦ πηγῆς ἀναβρύοντα), τὸ δὲ ποικίλον τοῦτο τῆς σοφίας εἶδος τὸ ἐκ τῆς πρὸς τὰ ἐναντία διαπλοκῆς συνιστάμενον νῦν διὰ τῆς ἐκκλησίας σαφῶς ἐδιδάχθησαν, πῶς ὁ λόγος σὰρξ γίνεται, πῶς ἡ ζωὴ θανάτῳ μίγνυται, πῶς τῷ ἰδίῳ μώλωπι
949 M. τὴν ἡμετέραν ἐξιᾶται πληγήν, πῶς τῇ ἀσθενείᾳ τοῦ σταυροῦ καταπαλαίει τοῦ ἀντικειμένου τὴν δύναμιν, πῶς τὸ ἀόρατον

15 cf Clem Alex (de Pantaeno) frg VII (Vol III p 224, 23 Stählin) 16 cf Gen 1, 31; ἀ.τ.τ.κ. πηγῆς: cf (scil de Plat Resp 508 e) ex. gr. Origen De princ I 8, 3 (p 100, 12) et Athanas De inc verbi 3 (p 101 A/B Migne) 19 Joh 1, 14 20 cf I Petr 2, 24 (Isai 53, 5)

ER^a ΛYS Σ PVT CN Syr 1 τοῦ θεοῦ σοφία ΛYS 2 αἰωνίων Y ἣν coll ante 1 κατὰ T 3 post καὶ add τὴν PVTCN 4 διὰ pr om Syr 5 νομίζεται N ὑπερκοσμίαις ΣVCNE (ut vid, eras αι et corr E^2) ἐπουρανίοις S (ut vid, corr m pr) πολυποίκιλος V 7 θαύματα Σ post πῶς add γὰρ PVCNv ante θανάτου add τοῦ Σ 8-9 δι' ἀτιμίας ΣP 9 μόνον Y 10 τὴν om T τοῦ θεοῦ om ΛYS 11 ὑπερκόσμιαι ΣVC (corr C^2) N 12 ποικῖλλον V 13 οὖσαν: εἶναι V ἔχουσαν v 14-15 ἐν—φύσιν om V 15 ἄγουσαν om P 17 τοῦτο: τοῦ κατὰ S 18 πρὸς: περὶ P συμπλοκῆς ΛY 19 ἐδείχθησαν v 20 ante πῶς pr add καὶ N μιγνύεται V claus praestat! ante πῶς alt add καὶ Syr 21 ἐξιοῦται P εὐσθενείᾳ V 22 καταπαλαίσει CN τὴν coll ante τοῦ P

ἐν σαρκὶ φανεροῦται, πῶς ἐξωνεῖται τοὺς αἰχμαλώτους αὐτός τε ὢν ὁ ὠνούμενος καὶ αὐτὸς χρῆμα γινόμενος (ἑαυτὸν γὰρ ἔδωκε λύτρον ὑπὲρ ἡμῶν τῷ θανάτῳ), πῶς καὶ ἐν τῷ θανάτῳ γίνεται καὶ τῆς ζωῆς οὐκ ἐξίσταται, πῶς καὶ τῇ δουλείᾳ καταμίγνυται καὶ ἐν τῇ βασιλείᾳ μένει· ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα ποικίλα ὄντα καὶ οὐχ ἁπλᾶ τῆς σοφίας ἔργα διὰ τῆς ἐκκλησίας οἱ φίλοι τοῦ νυμφίου μαθόντες ἐκαρδιώθησαν, ἄλλον χαρακτῆρα τῆς θείας σοφίας ἐν τῷ μυστηρίῳ κατανοήσαντες. εἰ δὲ μὴ τολμηρόν ἐστιν εἰπεῖν, τάχα κἀκεῖνοι διὰ τῆς νύμφης τὸ τοῦ νυμφίου κάλλος ἰδόντες ἐθαύμασαν τὸ πᾶσι τοῖς οὖσιν ἀόρατόν τε καὶ ἀκατάληπτον· ὃν γὰρ Οὐδεὶς ἑώρακε πώποτε, καθώς φησιν Ἰωάννης, Οὐδὲ ἰδεῖν τις δύναται, καθὼς ὁ Παῦλος μαρτύρεται, οὗτος σῶμα ἑαυτοῦ τὴν ἐκκλησίαν ἐποίησε καὶ διὰ τῆς προσθήκης τῶν σῳζομένων οἰκοδομεῖ ἑαυτὸν ἐν ἀγάπῃ, Μέχρις ἂν καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. εἰ οὖν σῶμα τοῦ Χριστοῦ ἡ ἐκκλησία, κεφαλὴ δὲ τοῦ σώματος ὁ Χριστὸς τῷ ἰδίῳ χαρακτῆρι μορφῶν τῆς ἐκκλησίας τὸ πρόσωπον, τάχα διὰ τοῦτο πρὸς ταύτην βλέποντες οἱ φίλοι τοῦ νυμφίου ἐκαρδιώθησαν, ὅτι τρανότερον ἐν αὐτῇ τὸν

3 cf Matth 20, 28; Isai 53, 12 12 Joh 1, 18 13 I Tim 6, 16 14-15 cf Eph 4, 12 et 16 16 Eph 4, 13 17-p 257, 5 cf infra p 386, 5-9 18 cf Eph 1, 22; 4, 15; 5, 23; Col 1, 18 19 cf Eph 5, 27; cf Method Conv VIII, 8 (p 90, 7-19) 21 sq cf explicationem Methodii ad Cant 4, 9 (Conv VII, 2 p 72, 19 sqq) ··· τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν, ὁπότε δὴ τοῦτον ὁ ἔσω σμήξας ἄνθρωπος καθαρῶς τρανότερον τὴν ἀλήθειαν ἐποπτεύει κ.τ.λ. fortasse et ille Comm Origen secutus est.

ER^a ΛYS Σ PVT CN Syr 2 αὐτότε V 3 δέδωκεν Σ παρέδωκε (om γὰρ) T 4 ἀφίσταται N ante τῇ add ἐν ER^{a}ΛYSv 4-5 πῶς—καταμίγνυται om P 5 ἐν om V 5-6 πάντα γὰρ ταῦτα ER^{a}Tv 9 post μυστηρίῳ add τῆς οἰκονομίας Syr μή: μοι P τολμηρότερόν ER^{a}Σv 10 τὸ om Y 12 ὅν: θεὸν (scil sec Joh 1, 18) PVCN 13-14 μαρτυρεῖται v 14 οὗτος: οὗ τὸ PVC(corr οὕτω C^2)N τὴν om P 15 αὐτὴν v 19 ante τῷ add ὁ T 20 τοῦτο: τούτων ER^{a}Tv ταύτην: ταῦτα ER^{a}v

ἀόρατον βλέπουσιν· καθάπερ οἱ αὐτὸν τοῦ ἡλίου τὸν κύκλον ἰδεῖν ἀδυνατοῦντες, διὰ δὲ τῆς τοῦ ὕδατος αὐγῆς εἰς αὐτὸν ὁρῶντες, οὕτω κἀκεῖνοι ὡς ἐν κατόπτρῳ καθαρῷ τῇ ἐκκλησίᾳ τὸν τῆς δικαιοσύνης ἥλιον βλέπουσι τὸν διὰ τοῦ φαινομένου κατανοούμενον. τούτου χάριν οὐχ ἅπαξ εἴρηται τῇ νύμφῃ παρὰ τῶν φίλων τὸ ἐκαρδίωσας ἡμᾶς (ὅπερ ἐστὶν ὅτι ψυχήν τινα καὶ διάνοιαν πρὸς τὴν τοῦ φωτὸς κατανόησιν δι' ἑαυτῆς ἡμῖν ἐνεποίησας), ἀλλὰ καὶ πάλιν τὸν αὐτὸν ἐπαναλαμβάνουσι λόγον ἀξιοπιστίαν προστιθέντες τῷ λεγομένῳ διὰ τῆς δευτερώσεως· λέγουσι γὰρ ἐπαναλαμβάνοντες ὅτι Ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου. τοῦτό ἐστι μάλιστα ὃ τὴν θαυμαστικὴν ἐνεποίησε τοῖς φίλοις περὶ τῆς νύμφης διάθεσιν· διπλῆς γὰρ οὔσης τῇ ψυχῇ τῆς ὀπτικῆς ἐνεργείας καὶ τῆς μὲν τὴν ἀλήθειαν ὁρώσης, τῆς δὲ ἑτέρας περὶ τὰ μάταια πλανωμένης, ἐπειδὴ περὶ μόνην τοῦ ἀγαθοῦ τὴν φύσιν ἀνέῳκται τῆς νύμφης ὁ καθαρὸς ὀφθαλμός, ἀργεῖ δὲ ὁ ἕτερος, τούτου χάριν τῷ ἑνὶ τῶν ὀφθαλμῶν

1-3 cf Plat Resp 516 a/b 3-4 cf Sap Sal 7, 26 scil imaginem speculi a sapientia (id est Christo) ad corpus Christi (id est ecclesiam) trahit, cf infra p 386, 3-9. ad explicat Sap Sal 7, 26 cf ex. gr. Origen in Joh XIII, 25 (p 249, 32 sqq) 4 Malach 3, 20 (ἥλιος δικαιοσύνης) 6-8 cf Method l.l. p 73, 3: ··· ἀνεπτέρωσας ἡμῶν τὴν καρδίαν εἰς πόθον ··· 13 cf Method l.l. p 72, 23: ··· δισσὴν γὰρ ὄψεως δύναμιν εἶναι ···

ER^a ΛYS Σ PVT CN Syr 1 post ἀόρατον add νυμφίον PVCN post καθάπερ add γὰρ Syr 2 ἀναδυνατοῦντες N ἐν τῷ ὕδατι Syr εἰς om Syr αὐτὴν YN 3 κἀκεῖνον P κακίνοι ὡς C κακινσίως N ante καθαρῷ add καθορῶντες v τῇ ἐκκλησίᾳ ER^{a}ΛYSΣ Syr: τῷ προσώπῳ τῆς ἐκκλησίας PVCv τῷ προσώπῳ τῆς ἀληθείας N τῆς ἐκκλ. τῷ προσ. T 4 βλέπουσιν ἥλιον PVCN 5 ante τούτου add καὶ Syr 6 τῶν φίλων: αὐτῶν Syr ἡμᾶς om ER^{a}v 8 αὐτῆς PVCN ἐποίησας ΛYS 9 προτϊθέντες P προτεθέντες V 9-10 λεγομένῳ: λόγω T(in marg γρ λεγομένω) 10 ἐπαναλαβόντες ΛYSPT 11 ἡμᾶς om P post τοῦτο add γάρ Syr 12 ὃ τὴν: ὅτι N θαυμαστὴν V ἐποίησεν E(sscr ἐν E^2) 12-13 τὴν νύμφην N 13 τῇ ψυχῇ: τῇ ὄψει P τῆς ψυχῆς V 16 τὴν: τοῦ S ὁ coll ante τῆς P 17 ὁ δὲ ἕτερος ἀργεῖ P ἄρχει NC(ut vid, corr C^2) post δὲ add πάντως ER^{a}v τούτους Λ(corr Λ^2)Y post ὀφθαλμῶν add μόνον Syr

προσάγουσιν οἱ φίλοι τὸν ἔπαινον, δι' οὗ μόνου θεωρεῖ τὸν μόνον, ἐκεῖνον λέγω τὸν μόνον τὸν ἐν τῇ ἀτρέπτῳ τε καὶ ἀϊδίῳ καταλαμβανόμενον φύσει, τόν τε ἀληθινὸν πατέρα καὶ τὸν μονογενῆ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα· μόνον γάρ ἐστιν ὡς ἀληθῶς τὸ ἐν μιᾷ θεωρούμενον φύσει, μηδένα χωρισμὸν ἢ ἀλλοτρίωσιν τῆς κατὰ τὰς ὑποστάσεις διαφορᾶς ἐμποιούσης. εἰσὶ γάρ τινες οἳ διαφόροις ὀφθαλμοῖς κακῶς περὶ τὸ ἀνύπαρκτον ὀξυωποῦσιν εἰς πολλὰς φύσεις τὸ ἓν ταῖς τῶν ἐνδιαστρόφων ὀφθαλμῶν φαντασίαις καταμερίζοντες. οὗτοί εἰσιν οἱ λεγόμενοι πολυβλέποντες, οἱ διὰ τοῦ πολλὰ βλέπειν ὁρῶντες
952 M. οὐδέν. καὶ ὅσοι νῦν μὲν πρὸς τὸν θεὸν ὁρῶσι, πάλιν δὲ ταῖς ὑλικαῖς φαντασίαις ἐπιπλανῶνται, ἀνάξιοι τῆς τῶν ἀγγέλων εὐφημίας εἰσὶ ταῖς τῶν ἀνυπάρκτων φαντασίαις ἐμματαιάζοντες, ὁ δὲ πρὸς μόνον τὸ θεῖον ὀξυωπῶν τυφλὸς ἐν τοῖς ἄλλοις πᾶσίν ἐστιν, πρὸς ἅπερ αἱ τῶν πολλῶν βλέπουσιν ὄψεις. διὰ τοῦτο τῷ ἑνὶ τῶν ὀφθαλμῶν ποιεῖ τοῖς φίλοις ἡ νύμφη τὸ θαῦμα. οὐκοῦν τυφλὸς μέν ἐστιν ὁ πολυόμματος ὁ πρὸς τὰ μάταια πολλοῖς ὀφθαλμοῖς βλέπων, ὀξυδερκὴς δὲ καὶ διορατικὸς ἐκεῖνος ὁ δι' ἑνὸς τοῦ τῆς ψυχῆς ὀφθαλμοῦ πρὸς μόνον τὸ ἀγαθὸν βλέπων.

Τίς δὲ ἐκείνη ἐστὶν ἡ μία ἢ τί τὸ ἔνθεμα τοῦ τραχήλου τῆς νύμφης, οὐ χαλεπὸν ἂν εἴη διὰ τῶν ἐξητασμένων

14-16 cf Plat Theaet 173 d sqq

ER^a ΛYS Σ PVT CN Syr 1 οἱ φίλοι om Syr 2 λέγω τὸν μόνον om V 3 φύσιν N 4 τὸν om E(sscr E^2) 5 ante τὸ ἐν add τὸ ὂν PVC(eras τὸ)N χωρισμοῦ Y 7 διαφόροις: διαφόρως Λ(corr $Λ^2$)Y τὸ: τὸν v 7-8 ἀνυπόστατον P ἀμέριστον T post ἓν add καὶ ἀμέριστον Syr id est: exemplar codicis T scr in marg ad ἓν additament καὶ ἀμέριστον, quod T ut var lect pro voce ἀνύπαρκτον substituit. inde ab ὀξυωπ. usque ad ἓν numerus litt est 29 (= 1 lin). 8 ἓν: ἐν Λ(corr $Λ^2$)YP 8-9 διαστρόφων ER^aTv 10 πολὺ βλέποντες v caeci per euphemismum nominantur πολυβλέποντες (cf Pap Lond 1821. 269) τοῦ: τὸ R^aV 11 τὸν om PVCN πάλιν: νῦν V 12 ἀποπλανῶνται V ἀνάξιον Y 15 ἄλλοις: πολλοῖς P 17 τὸ θαῦμα ἡ νύμφη T 19 post διὰ add τοῦ CN 21 δὲ: καὶ v ἐκείνη coll post ἐστιν ΛYSΣV om Syr ἢ: καὶ Syr 22 τῆς νύμφης om Syr litt τῶν ἐξη om V

ἐπιλογίσασθαι, κἂν δοκῇ πως ἀσαφὴς ἡ λέξις εἶναι, κατὰ τὴν σύμφρασιν· οὕτω γὰρ ὁ λόγος φησὶν ὅτι Ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλου σου, ὡς τὸ μὲν Ἐν μιᾷ σύμφωνον εἶναι τῷ Ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, νοούντων ἡμῶν κατὰ παράλειψιν τὸ Ἐν μιᾷ ψυχῇ. πολλαὶ γὰρ ἐν ἑκάστῳ γίνονται τῶν ἀπαιδεύτων ψυχαί, ἐν οἷς τὰ πάθη διὰ τῆς ἐπικρατήσεως εἰς τὸν τῆς ψυχῆς τόπον ἀντιμεθίσταται πρὸς λύπην καὶ ἡδονὴν ἢ θυμὸν καὶ φόβον καὶ δειλίαν καὶ θράσος μεταβαλλομένου τοῦ τῆς ψυχῆς χαρακτῆρος. ἡ δὲ πρὸς τὸν λόγον ὁρῶσα τῷ μονοειδεῖ τῆς κατ' ἀρετὴν ζωῆς μιᾷ ψυχῇ συζῆν μεμαρτύρηται. οὐκοῦν οὕτω διασταλτέον τὸν λόγον, ὡς τὸ μὲν Ἐν μιᾷ τῷ προλαβόντι συνημμένον εἶναι κατὰ τὴν ἔννοιαν νοούντων ἡμῶν ἢ ἐν μιᾷ ψυχῇ ἢ ἐν μιᾷ καταστάσει, τὸ δὲ ἐφεξῆς ἑτέραν ἔχειν διάνοιαν τὸ Ἐνθέματι τραχήλου σου. ὡς ἄν τις ὅλον πρὸς τὸ σαφέστερον μεταλαβὼν εἴποι ὅτι σου καὶ ὀφθαλμὸς εἷς ἐστιν ἐν τῷ πρὸς τὸ ἓν βλέπειν

6 cf quam doctrinam Basilides Gnost (v supra ad p 251, 2 sqq) e Platone (cf Plat Resp 611 d sqq) suo quidem modo de anima evolverat. Gregorius doctrinas et haereticorum et Platonicorum de compluribus animis (cf ex. gr. Origen De princ III 4, 2) theologiae suae mysticae adaptare ausus est.

ER^a ΛYS Σ PVT CN Syr 1 δοκεῖ ΣC(corr C^2) κατὰ: διὰ T τὴν om ΛY 3 ἡμᾶς om S ἀπὸ: αὐτὸ V ἑνὶ—σου pr om N τραχήλῳ SN τραχήλων Y LXX 4 μὲν om V τῷ: τὸ N τῷ ἑνὶ om Σ 5 παράλειψιν PC^2(corr -ει- ex η) Syr: παράληψιν cett v post ψυχῇ add σου Syr 8 τόπον: τρόπον PC(corr C^2)N ἀντιμεθίστανται ΣPVCN πρὸς: πῶς C(corr C^2) ἢ om ER^aΣv 9 καὶ pr: ἢ Syr θάρσος PCN δειλίαν καὶ θράσος: θράσος S τὰ λοιπὰ πάθη Syr 10 ὁρῶσα om P 12 διαστατέον PC(corr C^2)N 13 λαβόντι v συνημμένῳ C(corr C^2)N 14 post ἡμῶν et add τὸ κατὰ παράλειψιν φυλασσόμενον τουτέστιν et om ἢ pr et om ἢ alt — καταστάσει Syr. fort recte om bis ἢ et ἐν μιᾷ κατ. ἐν μιᾷ κ. potest esse var lect. 15 ἔχειν correxi: ἔχει codd v Syr post τὸ add δὲ PE(ut vid, eras) ἐνθέμα E(sscr τι E^2) ἐνθεάματι R^a ante τραχήλου add τοῦ E^2(corr e τῶ ut vid)R^aTC^2(sscr)v τραχήλῳ Λ(corr $Λ^2$)YSΣE(corr E^2) 16 ὅλον: τὸν ὅλον λόγον Syr πρὸς om V μεταβάλλων ER^av 17 καὶ σοῦ PVCN ὀφθαλμὸς ΛYN: ὁ ὀφθαλμὸς cett v πρὸς om P τὸ om Pv ἓν om C(corr C^2)N

καὶ ψυχὴ μία διὰ τὸ μὴ πρὸς διαφόρους διαθέσεις μερίζεσθαι καὶ ἡ θέσις τοῦ τραχήλου σου τὸ τέλειον ἔχει τὸν θεῖον ζυγὸν ἐφ' ἑαυτῆς ἀραμένη. ἐπεὶ οὖν ἐπὶ ὄψει ἐν μὲν τῷ ἐνθέματι τοῦ τραχήλου σου τὸν τοῦ Χριστοῦ ὁρῶμεν ζυγόν, ἐν δὲ τῇ περὶ τὸ ὄντως ἀγαθὸν διαθέσει ἕνα ὀφθαλμὸν καὶ μίαν ψυχήν, διὰ τοῦτο ὁμολογοῦμεν ὅτι τοῖς σοῖς ἡμᾶς θαύμασιν ἐκαρδίωσας ἕνα δεικνύουσα ὀφθαλμὸν καὶ μίαν ψυχὴν ἐν τῷ ἐνθέματι τοῦ τραχήλου σου. [ἔνθεμα δὲ τοῦ τραχήλου τῆς νύμφης ὁ ζυγός ἐστι καθὼς εἴρηται.] αὕτη μὲν οὖν ἡ τῶν ἀγγέλων ἐστὶν εὐφημία ἣν ἐπὶ τῷ κάλλει τῆς νύμφης πεποίηνται (τούτους γὰρ εἶναι τοὺς φίλους τοῦ νυμφίου κατελαβόμεθα), ὡς δ' ἂν μὴ δοκοίη ἄκριτός τις αὐτῶν εἶναι καὶ διημαρτημένος ὁ ἔπαινος, κυροῖ τῶν φίλων τὴν ἐπὶ τῷ κάλλει τῆς νύμφης κρίσιν ἐπιψηφίσας ὁ λόγος καὶ προστίθησι καὶ αὐτὸς τὰ μείζω θαύματα τῇ μαρτυρίᾳ τοῦ κάλλους τὴν αὐτοῖς τοῖς μέλεσιν ἐπιφαινομένην ὥραν διαγράφων τῷ λόγῳ, ἃ ἐν τοῖς ἐφεξῆς θεοῦ διδόντος προσθήσομεν, εἴ γέ τις γένοιτο ἡμῖν ἐκ τῆς ἄνωθεν συμμαχίας δύναμις πρὸς τὴν κατανόησιν

2-3 cf Matth 11, 29 11 cf supra p 253, 18-19; cf Origen Comm II p 136, 27 sqq et 156, 31

ER^a ΛYS Σ PVT CN Syr 1 καὶ—μερίζεσθαι om P πρὸς om E(adscr E^2) διαθέσεις: θέσεις V γνωρίζεσθαι N 2 τὸν θεῖον ἔχει ζυγὸν τὸ τέλειον N 3 ἑαυτὴν v ἐπεὶ οὖν om (scil per haplographiam) PCN, habet Syr ἐπὶ ὄψει PC(ἐπεὶ ὄψη, corr ὄψει C^2) N(ἐπεὶ): ἐπὶ Syr om(scil per haplogr) cett v et ἐν et τῷ ἐνθέματι om Syr ἐνθεάματι N intellege ἐπ' ὄψει = 'ipsis oculis' vel 'visibiliter' ~ ἐν ὄψει vel κατ' ὄψιν. dubium restat. 3-4 τῷ τραχήλῳ E(corr E^2 4 τῇ om R^a(sscr R^{a1})S 5 ἕνα: ἵνα Y 5-7 διὰ—ψυχὴν om V 7 post ἕνα add δὲ P θέματι V 8-9 ἔνθεμα—εἴρηται delevi 8 post τραχήλου alt add σου N τῆς om T νύμφης om TN 10 ἐστὶν om PVN πεποίηται Y om P 11 τούς: τοῦ N 12 δ' om E(sscr E^2) δοκείη N ἄκριτως (sic) Σ τις om ER^{a}v Syr(ut vid) 14 περιτίθησι P καὶ alt om PVCN 15 αὐτοῦ P τοῖς om T 16 ἐπιφερομένην PVNC(ut vid, corr C^2) ἃ (scil τὰ μείζω θαύματα) Syr: ἣν codd v 17 προθήσομεν ER^{a}PNv προσθήσομεν καὶ προθήσομεν Syr γέ: δέ Y γένηται S

τοῦ μυστηρίου εἰς ἐπίγνωσιν τοῦ κάλλους τῆς ἐκκλησίας καὶ εἰς ἔπαινον τῆς δόξης τῆς χάριτος αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος θ'

953 M. Τί ἐκαλλιώθησαν μαστοί σου, ἀδελφή μου νύμφη, (4, 10)
τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου;
καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα.
Κηρίον ἀποστάζουσι χείλη σου, νύμφη, (11)
μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου,
καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου.
Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, (12)
κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη.
Ἀποστολαί σου παράδεισος ῥοῶν μετὰ καρποῦ (13)
κύπρος μετὰ νάρδου, ἀκροδρύων,
Νάρδος καὶ κρόκος, (14)
κάλαμος καὶ κιννάμωμον
μετὰ πάντων ξύλων τοῦ λιβάνου,
σμύρνα, ἀλόη μετὰ πάντων πρωτομύρων,
Πηγὴ κήπων, φρέαρ ὕδατος ζῶντος (15)
καὶ ῥοιζοῦντος ἀπὸ τοῦ λιβάνου.

ER^a ΛYS Σ PVT CN Syr 1 τῶν μυστηρίων ER^{a}v ante εἰς add καὶ ER^{a}v Syr 1-2 τοῦ alt—δόξης om PVCN 2 τῆς pr om SΣ αὐτοῦ: τοῦ θεοῦ PVCN 3 τῷ κυρίῳ ἡμῶν ΛYSΣT Syr: τῷ κυρίῳ P om cett v πρέπει ER^{a}ΛYΣv Syr: om cett ἡ: πᾶσα v 3-4 ᾧ—ἀμήν om P 4 τῶν αἰώνων ΛYC Syr: om cett v post ἀμήν add ἐτελειώθη λόγος ἔνατος Syr 5 ὁμιλία θ S τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος θ Σ λόγος δέκατος Syr om Tit PC(in marg H, fort C^2) 8 μύρων (cf infra 266, 6 sqq) T Syr LXX(cod Sin): ἱματίων cett v LXX τὰ om v 10 ante μέλι add καὶ ΛY 11 ante λιβάνου add τοῦ ΣPVTCN, at cf infra p 271, 9 12 κῆπος—νύμφη om T 13 κῆπος κεκλεισμένος om Σ 14 ἀποστολαῖς N ἀποδρίων R^a (sscr υ R^{a2}) 15 κύπρος et νάρδου correxi (cf infra p 277, 14; 281, 8; 283, 12/3): κύπροι et νάρδων codd v Syr (cf supra p 245, 4) ante κύπροι add καὶ v 16 post κρόκος add καὶ Σ 17 κινάμωμον R^{a}Λ(corr Λ^2)YSPC κινάμωμος N 18 post πάντων add τῶν T 19 post σμύρνα add καὶ C^2(sscr)v Syr ἀλωὴ v ἀλωθ LXX post πάντων add τῶν T πρώτων μύρων v LXX 20 κήπου v ante φρέαρ add καὶ v 21 καὶ om Syr ῥοίζοντος Λ(corr Λ^2)YS τοῦ om P

Εἰ συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. λέγει ταῦτα πρὸς ἡμᾶς ὁ ἐν Παύλῳ λαλῶν· Ἀπεθάνετε γάρ, φησί, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. εἰ τοίνυν νεκροὶ τῇ κάτω φύσει γεγόναμεν εἰς οὐρανὸν ἀπὸ γῆς τὴν ἐλπίδα τῆς ζωῆς μετοικίσαντες καὶ ἡ διὰ σαρκὸς ζωὴ κέκρυπται ἀφ' ἡμῶν κατὰ τὸν παροιμιώδη λόγον ὅς φησιν ὅτι Σοφοὶ κρύψουσιν αἴσθησιν, ἀναμένομεν δὲ τὴν ἀληθινὴν ἐν ἡμῖν φανερωθῆναι ζωήν, ἥτις ἐστὶν ὁ Χριστός, ὥστε καὶ ἡμᾶς ἐν δόξῃ φανερωθῆναι μεταποιηθέντας πρὸς τὸ θειότερον, οὕτω τῶν παρόντων ἀκούσωμεν ὡς ἀποθανόντες τῷ σώματι πρὸς μηδεμίαν σαρκώδη διάνοιαν ἐκ τῶν λεγομένων κατασυρόμενοι· ὁ γὰρ νεκρὸς τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις ἐπὶ τὸ καθαρὸν καὶ ἀκήρατον μετοίσει τὰς τῶν ῥημάτων ἐμφάσεις τὰ ἄνω φρονῶν, Οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος, ἐν ᾧ πάθος οὐκ ἔστι τῶν ταπεινῶν τε καὶ χαμαιζήλων νοημάτων λήθην ποιούμενος. ἀκούσωμεν τοίνυν τῶν θείων ῥημάτων, δι' ὧν ὑπογράφει ὁ λόγος τῆς ἀμιάντου νύμφης τὸ κάλλος, ἀκούσωμεν δὲ ὡς ἔξω γεγονότες ἤδη σαρκός τε καὶ αἵματος, εἰς δὲ τὴν πνευματικὴν μεταστοιχειωθέντες φύσιν.

1-5 Col 3, 1-4 6 et 14-15 cf Col 2, 13; Eph. 2, 1; 5 9 Prov 10, 14 16 Col 3, 1 21-22 cf Phil 3, 21

ER^a ΛYS Σ PVT CN Syr 1 ante μὴ add καὶ ΛY τὰ alt: τὸ N(corr pr man ut vid e τὰ) 2 τῆς om Σ ὑμᾶς Λ(corr Λ^2) ἐν Παύλῳ: ἐνταῦθα N 3 ἡμῶν PVN 4 ante ὅταν add καὶ Syr ἡ ζωὴ: ἐν τῇ ζωῇ S 5 ἡμῶν PVT ἡμεῖς VN σὺν αὐτῷ om ER^{a}Nv 6 νεκροὶ om R^a 7 μετοικήσαντες ΛYΣVC ante ἡ add εἰ S 8 ἀφ': ἐφ' ER^{a}v ὑμῶν P 9 ὅς: ὥς S ante ὅτι add αἴσθησιν R^a(expunx) κρύψωσιν C(corr C^2)N κρύπτουσιν ΣVv ἀναμένον C(ut vid, corr C^2) ἀναμένωμεν Nv 11 ἐν δόξῃ coll post φανερωθῆναι ER^{a}v om C ante φανερωθῆναι add μεταποιηθῆναι N 12 ἀκούσομεν v 13 μηδεμίαν: δὲ μὴ v 14 διασυρόμενοι v πάθεσι T 15 μετοικίσει ΛYS μέτεισι C(corr C^2) N 17 ἐστιν pr om ΣPVCN 18 post καὶ add τῶν S νοημάτων coll post ποιούμενος V om SN 19 ῥητῶν ΛYSΣT 21 et ἤδη et τε om ER^{a}v post εἰς eras 1 litt in fin lin E

Τί ἐκαλλιώθησαν μαστοί σου, ἀδελφή μου νύμφη; τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα; ὅτι μὲν οὖν πᾶς ὁ ποιῶν τὸ θέλημα τοῦ κυρίου ἀδελφὸς αὐτοῦ καὶ ἀδελφὴ καὶ μήτηρ ἐστὶ καὶ ὅτι ἡ ἁρμοσθεῖσα τῷ κυρίῳ παρθένος ἁγνὴ πρὸς μετουσίαν τῆς ἀχράντου παστάδος νύμφη κυρίως κατονομάζεται, παντὶ δῆλον ἂν εἴη τοῦτο τῷ μὴ ἀγνοοῦντι τὰς θεοπνεύστους φωνάς· ἐγὼ δὲ τῶν θείων ῥητῶν τούτων διερευνώμενος τὴν διάνοιαν οὐ ψιλὸν ἔπαινον ἐκ τῆς τοιαύτης κλήσεως ὁρῶ προσαγόμενον παρὰ τοῦ λόγου τῇ νύμφῃ, ἀλλὰ τὰς αἰτίας τῆς εἰς τὸ κάλλος αὐτῆς ἐπιδόσεως διεξιέναι τὸν νυμφίον φημί, ὡς οὐκ ἂν αὐτῆς καλλιωθείσης ἐν ταῖς τῶν ἀγαθῶν διδαγμάτων πηγαῖς, ἃς μαζοὺς διὰ τῆς τροπικῆς
956 M. σημασίας κατονομάζει, εἰ μὴ πρῶτον ἀδελφὴν ἑαυτὴν τοῦ κυρίου διὰ τῶν ἀγαθῶν ἔργων ἐποίησε καὶ εἰς παρθενίαν διὰ τῆς ἄνωθεν γεννήσεως ἀνακαινισθεῖσα μνηστὴ καὶ νύμφη τοῦ ἁρμοσαμένου ἐγένετο. ὁ τοίνυν ἀδελφὴν ἑαυτοῦ καὶ νύμφην αὐτὴν κατονομάσας τὴν αἰτίαν λέγει τῆς πρὸς τὸ κρεῖττόν τε καὶ τελειότερον τῶν μαζῶν αὐτῆς ἀλλοιώσεως, οἳ οὐκέτι γάλα βρύουσι τὴν τῶν νηπίων τροφήν, ἀλλὰ

1-3 Cant 4, 10 3-4 cf Marc 3, 35 5 cf II Cor 11, 2 13 cf Clem Rom ep I cap 20, 10 20 cf I Cor 3, 1/2; I Thess 2, 7

ER^a ΛYS Σ PVT CN Syr 1 τί—νύμφη om C μασθοί N 2 ὑπὲρ οἶνον V μύρων: ἱματίων PVCN 4 κυρίου ΣPVTCN Syr: θεοῦ (scil sec Marc 3, 35) cett v καὶ ἀδελφὴ om V 5 ὅτι om v ante πρὸς add ὡς Syr μετουσίαν E(το et ν ex corr pr m ut vid) 6 κυρίως om T 7 θείας Σ 8 φωνάς: γραφάς ΛYST 7-8 τὰς τῶν θείων γραφῶν φωνάς Syr 8 τούτων ῥητῶν ΛYST 9 ἐκ—κλήσεως om Syr 11 τῆς: τὰς PC (corr C^2)N τοῦ κάλλους (om εἰς) Syr 13 ἀγαθῶν om E (adscr E^2)P πηγαῖς διδαγμάτων v ἃς P(corr ex οὓς): οὓς cett v de Syr non liquet 14 ἀδελφὴ V ἑαυτὴν coll ante ἀδελφὴν N post 15 κυρίου Σ om V 14-15 τῷ κυρίῳ N 15 post διὰ add τὴν N 16 ἀναγεννήσεως Syr 17 post ἐγένετο add νυμφίου PVCN 18 αὐτὴν: αὐτοῦ SC ἑαυτοῦ ΛYN καὶ νύμφην ἑαυτοῦ expunx Y τῆς: τὴν E 19 τελειώτερον Σ τελεώτερον PV ἀναλλοιώσεως P

τὸν ἀκήρατον οἶνον ἐπὶ εὐφροσύνῃ τῶν τελειοτέρων πηγάζουσιν, οὗ τὴν χάριν τὸ τῶν καπήλων ὕδωρ οὐκ ἐλυμήνατο. σῴζεται δέ πως ἐν τοῖς λεγομένοις ὡς ἐν γαμικῇ θυμηδίᾳ ἡ ἀγαπητικὴ φιλοφροσύνη δι' ἀμοιβῆς παρ' ἀμφοτέρων ἀλλήλοις τὴν ἐρωτικὴν ἀντιχαριζομένων διάθεσιν· ταῖς γὰρ ὁμοίαις φωναῖς ἀντιδεξιοῦται ὁ νυμφίος τὴν ἐκκλησίαν, οἵαις ἐκείνη προλαβοῦσα τὸ ἐκείνου κάλλος ἐν τοῖς προοιμίοις ἀνύμνησεν· εὐθὺς γὰρ ἐν ταῖς πρώταις φωναῖς, ὅτε τὸν ἀπὸ τοῦ θείου στόματος λόγον τῷ στόματι ἑαυτῆς ἐγγενέσθαι ἐπόθησε τῷ τοῦ φιλήματος αἰνίγματι τοῦτο διασημάνασα, τὴν αἰτίαν τῆς τοιαύτης ἐπιθυμίας εἶπε τὸ ἀγαθοὺς εἶναι αὐτοῦ τοὺς μαστοὺς νικῶντας τῇ παρ' ἑαυτῶν χορηγίᾳ τὴν τοῦ οἴνου φύσιν καὶ παριόντας πᾶσαν μύρων τε καὶ ἀρωμάτων εὐωδίαν οὕτως εἰποῦσα τῷ λόγῳ Ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. ἐπειδὴ τοίνυν καὶ ἐν τοῖς ἄλλοις πᾶσι τοῦτο παρὰ τῆς θείας φιλοσοφίας τὸ δόγμα μανθάνομεν ὅτι τοιοῦτον ἀεὶ γίνεται τὸ θεῖον ἡμῖν, οἵους ἂν ἑαυτοὺς

1 cf Ps 103, 15 9 sqq cf supra p 32, 8 sqq 14 Cant 1, 2/3
18-p 265, 1 habes interpretationem Christianam dicti illius famosi Protagorae: πάντων χρημάτων μέτρον ἄνθρωπος εἶναι, scil e fonte sceptico hausti (cf ex.gr. Sext Emp: Pyrrh hyp 218/9). eodem argumento usi sunt Platonici colore sceptico detrito, cf ex. gr. Sallust De deis et mundo cap XIV: ἀλλ' ἐκεῖνοι (scil οἱ θεοί) μὲν ἀγαθοί τέ εἰσιν ἀεὶ καὶ ὠφελοῦσι μόνον, βλάπτουσι δὲ οὐδέποτε κατὰ τὰ αὐτὰ ὡσαύτως ἔχοντες, ἡμεῖς δὲ ἀγαθοὶ μὲν ὄντες δι' ὁμοιότητα θεοῖς συναπτόμεθα, κακοὶ δὲ γενόμενοι δι' ἀνομοιότητα χωριζόμεθα καὶ κατ' ἀρετὰς ζῶντες ἐχόμεθα τῶν θεῶν, κακοὶ δὲ γενόμενοι ἐχθροὺς ἡμῖν ποιοῦμεν ἐκείνους.

ER^a ΛYS Σ PVT(inde ab 12 αὐτοῦ inc man alt) CN Syr
1 τελειωτέρων ΣC(corr C^2)N τελεωτέρων P 3 ἐν τοῖς λεγομένοις coll post θυμηδίᾳ Σ 4 δι' ἀμοιβῆς om T παρ' corr in ras ut vid T om Syr 5 χαριζομένων S 6 φωναῖς om P 7 οἵαις: οἷς ER^{a}Tv ante ἐκείνη add καὶ Syr 9 ἑαυτῆς Σ: αὐτῆς cett v 10 διασημήνασα ST διασημαίνουσα V διασημάνας v 11 nescio an τὴν delendum τοιαύτης om v 12 αὐτοῦ: αὐτούς N μαζούς Σ ἑαυτοῦ VC(corr C^2)N 13 παρειῶντας V παρόντας Σ πάντων Syr 15 μύρων: ἱματίων PVCN 16 ἀρώματα om T(sed sscr) καὶ om P 18 ἀεὶ om Syr ἡμῖν γίνεται τὸ θεῖον ἀεὶ N

τῷ θεῷ διὰ τῆς προαιρέσεως δείξωμεν (ἀγαθὸν μὲν γὰρ αὐτὸν εἶναι τοῖς ἀγαθοῖς ὁ Δαβὶδ ἐν τῇ προφητείᾳ μαρτύρεται, τοῖς δὲ θηριωθεῖσι διὰ τοῦ βίου ἕτερός τις τῶν προφητῶν ἄρκον αὐτὸν λέγει καὶ πάρδαλιν δι' αἰνιγμάτων τὰ εὐαγγελικὰ προεκτιθέμενος δόγματα, ἐν οἷς ἄλλος τοῖς δεξιοῖς καὶ ἕτερος τοῖς εὐωνύμοις ὁ τῶν λόγων τοῦ βασιλέως χαρακτὴρ καθορᾶται, τοῖς μὲν ἀγαθός τε καὶ μείλιχος, τοῖς δὲ φοβερὸς καὶ ἀμείλικτος καταλλήλως τῇ προαιρέσει τῶν κρινομένων ἑαυτὸν μεθαρμόζων), τούτου χάριν καὶ νῦν πρόσφορος τῇ νύμφῃ παρὰ τοῦ λόγου ἡ ἀντίδοσις γίνεται· ἐν οἷς ὕμνησε τοῦ δεσπότου τὸ κάλλος, ἐν τοῖς ὁμοίοις αὐτῇ τοῦ κυρίου ἀντιχαρισαμένου τὸν ἔπαινον· ἀποδέχεται γὰρ καὶ αὐτὸς τῶν μαζῶν αὐτῆς τὴν διὰ τῆς ἐνεργείας πρὸς τὸ κρεῖττον γεγενημένην ἀλλοίωσιν, ὅτι τοῦ γαλακτοφορεῖν παυσάμενοι οἶνον καὶ οὐχὶ γάλα προχέουσι, δι' οὗ ταῖς τελειοτέραις

1-2 cf ex. gr. Ps 117, 1-4; 72, 1 et passim 3-4 cf Osee 13, 7/8
5-9 cf Matth 25, 34-46

ER^a ΛYSΘ (inde a 6 χαρακτὴρ) Σ PVT CN Syr 1 τῷ θεῷ coll post προαιρέσεως Σ om V Syr(sed post 2 αὐτὸν add τὸν θεὸν) τῆς om ER^{a}v μὲν om ΛY 4 ἄρκτον R^{a}ΘE^2(ins τ, deinde eras)T(ins τ)C^2(ins τ)v 5 προεκτιθεμένων C(corr C^2)N προτιθέμενος ΛY ἄλλως C Syr 5-6 τοῖς—ἕτερος om CN 6 ἑτέρως Syr χαρακτὴρ: κρατὴρ T 7 post μὲν add γὰρ Σ μείλιχος (claus praestat) ER^{a}ΣTv: μειλίχιος cett post φοβερός add τε ΛYN 9 πρόσφορος ER^{a}Σv Syr: προσφόρως PVTCN praetulit Jaeger πρόσφατος ΛYS προσφάτως Θ 9-10 τῇ νύμφῃ coll post γίνεται Σ 10 ἀνταπόδοσις PVCN 11 ante τοῦ alt add καὶ Syr κυρίου: δεσπότου Σ 11-12 ἐν—ἔπαινον om V 13 μαζῶν ER^{a}Σv: μαστῶν cett (scil sec regulam grammaticorum forma μαστοὶ 'ubera' significari docentium. at cf ex. gr. supra p 263, 13, ubi consensus codd μαζούς. itaque lect diff praetuli. in locis Vet Test laudatis Gregorius formam μαστοὶ semper servavit. nec non pro pectore viri ea usus esse videtur contra regulam nobis a grammaticis traditam, cf ex. gr. supra p 264, 12, ubi omnes codd praeter Σ μαστούς. dubium restat. post ἐνεργείας add αὐτῆς ΛY 14 ante ἀλλοίωσιν eras 4 litt in initio col E γαλακτοτροφεῖν PVNC(ut vid, et add τῆς ante τοῦ et corr γάλακτος ῥοῆς C^2) γαλακτοφεῖν T(sscr pr m ut vid τρο) et iterat ut vid παυσάμενοι et eras alt T παυσαμένου ΛY 15 οὐχὶ: οὐ TN τελειωτέραις P(sscr ε)N

καρδίαις ἡ εὐφροσύνη γίνεται τῶν μηκέτι ὑπὸ νηπιότητος κλυδωνιζομένων, ἀλλ' ἐκ τοῦ κρατῆρος τῆς σοφίας ἐμφορεῖσθαι δυναμένων τῷ στόματι τὰ ἀγαθὰ καὶ ἐφέλκεσθαι.

Ἐπαινέσας τοίνυν τοὺς μαζοὺς διὰ τὴν τοῦ οἴνου φορὰν προστίθησι καὶ τῆς εὐοδμίας τὸν ἔπαινον εἰπὼν ὅτι Καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. νοῆσαι δὲ χρὴ τὸν τοιοῦτον ἔπαινον ἐκ τῆς ἁγίας γραφῆς τῶν ὀνομασθέντων ἀρωμάτων διδαχθέντας τὴν φύσιν. πᾶν τὸ εὔπνουν ἄρωμα τῆς ὀσφραντικῆς αἰσθήσεως ἡδονὴ γίνεται. οὐκοῦν ἐκεῖνα λέγειν ἀρώματα τὸν λόγον νοήσομεν, ὅσα παρὰ τῆς γραφῆς εὐπνοεῖν ἐδιδάχθημεν· οἷον προσάγει Νῶε τῷ θεῷ τὴν
957 M. θυσίαν Καὶ ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας. οὐκοῦν ἀρώματα γίνεται τῷ θεῷ ἡ θυσία. πολλαὶ καὶ μετὰ ταῦτα προσάγονται τῷ θεῷ διὰ τοῦ νόμου ἱλεωτικαὶ θυσίαι, χαριστήριοί τε καὶ σωτήριοι καὶ καθάρσιοι καὶ περὶ ἁμαρτίας· πάντα ταῦτα τίθει ἐν τοῖς ἀρώμασι, καὶ τὰς ὁλοκαρπώσεις καὶ τὰς ὁλοκαυτώσεις καὶ τὰς μερικὰς τῶν ἀφαιρεμάτων ἀφιερώσεις, τὸ στηθύνιον τοῦ ἱερείου, τὸν λοβὸν τοῦ ἥπατος, τὸ ἐπινεφρί-

1-2 cf Eph 4, 14   2-3 cf Prov 9, 2 et 5   5-6 Cant 4, 10
12 Gen 8, 21   13-p 267, 4 cf Lev 6, 7-9, 21

ER^a ΛYSΘ Σ PVT CN Syr 2 κρατῆρος: χαρακτῆρος ΛYSΘ (fort, eras et corr Θ^2, in marg κρατῆρος Θ^1) τῆς σοφίας om T 3 καὶ coll ante τὰ v ante τῷ Syr om ΛYSΘ 4 μαζοὺς ER^{a}Σv: μαστοὺς cett 5 εὐωδίας ΛYΣN καὶ alt om Σ Syr 6 μύρων: ἱματίων PVCNv(τῶν ἱμ.) 7-8 ὀνομασθέντων ἀρωμάτων: ὀνομάτων P 8 διδαχθέντα SΘΣCN λέγει ΛY ante πᾶν add ὅτι P εὐπνοοῦν ΕΣΤ εὐπνοῦν R^a 9 γίνεται ἡδονή P(sed corr numeris β et α sscr) 10 λέγει YΛ(ut vid, corr Λ^2) τὰ τῶν λόγων N(add τὰ) νοήσομεν Θ: νοήσωμεν cett v ante γραφῆς add ἁγίας P Syr 11 post οἷον add λέγω Syr προσάγει: προ E(om σάγει in fine pag) τὴν om Σ 12 ὀσφράντη V post κύριος add εἰς (scil de Exod 29, 18; cf p 267, 12) ΛYTE(ut vid, eras) add ὁ θεὸς LXX ἀρώματα P Syr: ἄρωμα cett v 13 καὶ ἄλλαι πολλαὶ Syr dist post πολλή (sic) CN προσάγονται: γίνονται P om V 15 σωτήριοι καὶ om P πάντα ταῦτα ER^{a}VCNv: ταῦτα πάντα cett Syr, fort recte 16 ἐτίθει ΘP(sed eras ut vid ἐ) καὶ τὰς ὁλοκαρπώσεις om Σ post ὁλοκαρπώσεις add καὶ τὰς θυσίας V 16-17 τὰς pr—ἀφιερώσεις om Syr 17 τὰς om Σ 18 στυθήνιον SVN λωβὸν PVE(ut vid, corr E^2) ὕπατος N

διον στέαρ καὶ ἔτι πρὸς τούτοις τὸν λίβανον, τὴν τῷ ἐλαίῳ διαβεβρεγμένην σεμίδαλιν, τὸ θυμίαμα τῆς συνθέσεως, καὶ τὰ ἄλλα πάντα ὅσα διὰ πυρὸς εἶχε τὴν ἁγιστείαν ἐν τῷ καταλόγῳ τῶν ἀρωμάτων ἔστω. ὅταν οὖν ἀκούσωμεν τὸ τῆς νύμφης μύρον πλείονος ὑπὲρ πάντα τὰ ἀρώματα τῆς ἀποδοχῆς ἀξιούμενον, τοῦτο τῷ λόγῳ μανθάνομεν, ὅτι τὸ τῆς ἀληθείας μυστήριον τὸ διὰ τῆς εὐαγγελικῆς διδασκαλίας ἐπιτελούμενον μόνον εὐῶδές ἐστι τῷ θεῷ, πάντων τῶν νομικῶν ἀρωμάτων προκεκριμένον, ἅτε μηκέτι τύπῳ τινὶ καὶ σκιᾷ καλυπτόμενον ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας εὔπνουν γινόμενον· εἰ γάρ τι καὶ τῶν προλαβόντων ἀρωμάτων ὠσφράνθη κύριος εἰς ὀσμὴν εὐωδίας, κατὰ τὸν ἐμφαινόμενον λόγον τοῖς γινομένοις ἕκαστον αὐτῶν τῆς ἀποδοχῆς ἠξιώθη οὐ κατὰ τὸ πρόχειρόν τε καὶ σωματικὸν εἶδος τῶν γινομένων. καὶ τοῦτο δῆλόν ἐστι ἐκ τῆς μεγάλης τοῦ προφήτου φωνῆς ᾗ φησιν ὅτι Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· οὐ γὰρ φάγομαι κρέα ταύρων οὐδὲ αἷμα τράγων πίομαι. καίτοι πάλαι πολλάκις αἱ ζωοθυσίαι γεγόνασιν. ἀλλὰ κἂν γένηται ταῦτα, ἕτερόν ἐστι τὸ διὰ τούτων ἐν αἰνίγματί σοι νομοθετούμενον τὸ

9-10 cf I Cor 10, 6 et 11; Hebr 10, 1; II Cor 3, 15/16; 4, 2
12 cf Exod 29, 18 (εἰς ὀσμὴν εὐωδίας)   16-17 Ps 49, 9   17-18 cf Ps 49, 13   20 cf I Cor 13, 12; 10, 11

ER^a ΛYSΘ(post 20 ἐστι deff 3 foll) Σ PVT CN Syr 1 στέας ER^a ante τῷ add ἐν VN 2 βεβρεγμένην V μεμιγμένην P 3 πάντα om V ἔχει Θ ἁγιαστείαν(vel -στί-) E(ut vid, corr E^2)Λ(eras α alt)YΘΣT ἀγχιστείαν Nv 4 ἐστίν PVCN 5 et τὰ et τῆς alt om ER^{a}v 6 τούτω E(ut vid, corr per ras)ΣVTCv Syr οὕτω R^a τῷ λόγῳ om Syr 7 διὰ om N 8 μόνον om ΣP τῷ θεῷ ἐστι ΛYSΘ 9 προκεκριμένων C(corr C^2)N post ἅτε add δὴ ER^{a}Tv 11 γενόμενον R^a(sed corr)Σ 12 ante κύριος sscr ὁ T εἰς om (scil sec Gen 8, 21) ΣVN 13 τοῖς γινομένοις om R^{a}v eras E(in ras scr τοῦ προφήτου ὑπόντος E^2) ὑποδοχῆς ΛY 14 τε: δὲ C σωματικῶν Θ εἶδος: ἔργον N 15 post τοῦ per dittogr iterat 14 πρόχειρον—15 τοῦ Y 16 ὅτι om Σ 17 χιμάρρους SΣPC 18 οὐδὲ: ἢ (scil sec Ps 49, 13) ER^{a}Vv τράγων: ταύρων N πάλαι ΣT(in marg) Syr: πολλαὶ cett v 19 αἱ om ER^{a}v γίνητα Θ γένη(sic) S 20 τὸ pr: τῷ N τούτων: τῶν τοιούτων T(corr e τούτων) ἐν om N

δεῖν τὰ πάθη τὰ ἐν σοὶ σφαγιάζεσθαι· Θυσία γάρ, φησί, τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. ὅθεν γίνεται ἡ θυσία τῆς αἰνέσεως ἡμῶν ἡ δοξάζουσα τὸν τὴν τοιαύτην ὀσμὴν ὀσφραινόμενον. ἐπειδὴ τοίνυν τὰ τυπικὰ πάντα τοῦ νόμου ἀρώματα ὑπερβᾶσα ἡ πνευματικῶς εὐπνοοῦσα κατὰ τὸν Παῦλον ψυχή, ὃς Χριστοῦ εὐωδία ἦν, αὕτη διὰ τοῦ βίου ἐγένετο καὶ τὸ μύρον τῆς ἱερωσύνης καὶ τὸ θυμίαμα τῆς συνθέσεως διὰ τῆς ποικίλης τῶν ἀρετῶν συνεισφορᾶς τε καὶ μίξεως καλῶς εὐπνοήσασα, ἧς ὁ βίος ἐφάνη τῇ ὀσφρήσει τοῦ νυμφίου εἰς ὀσμὴν εὐωδίας, διὰ τοῦτο ἡ θεία αἴσθησις, καθὼς ὁ Σολομὼν ὀνομάζει, τῶν σωματικῶν ἀρωμάτων τοῦ νόμου προτίθησι τὴν ἄϋλον ἐκείνην καὶ καθαρὰν τὴν διὰ τῶν ἀρετῶν μυρεψουμένην εὐωδίαν λέγων Καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα.

Ὁ δὲ ἐφεξῆς λόγος πρὸς τὸ ὑψηλότερον προάγει τὸν ἔπαινον τὴν ἐκ μελέτης τε καὶ προσοχῆς γενομένην αὐτῇ τῶν πνευματικῶν χαρισμάτων περιουσίαν μαρτυρῶν τῷ

1-3 Ps 50, 19 7 cf II Cor 2, 15 8 cf Exod 30, 25 8-9 θυμίαμα τῆς συνθέσεως: cf ex. gr. Lev 4, 18; Exod 30, 37 11-12 spectatne ad Prov 22, 12 simil?

ER^a ΛYS Σ PVT CN Syr 1 τὰ alt om ER^aΛYSv σφαγίζεσθαι N 1-2 τῷ θεῷ φησὶ PVCN 2 καρδία P ante καρδίαν add καὶ Syr 4 τὸν om Λ(sscr Λ^2)Y τὴν om R^aSNv 4-5 τῆς τοιαύτης ὀσμῆς P τῇ τοιαύτῃ ὀσμῇ Syr 5 εὐφραινόμενον CN Syr πάντα om N 6 νόμου: κόσμου ΛY 7 ὃς: ὡς C αὕτη: καὶ αὐτὴ $R^a$$E^2$(sscr καὶ et corr ex αὕτη)v ante διὰ add εὐωδία $R^a$$E^2$(eras διὰ ut vid et scr in ras εὐωδία' δϊά, sic) add εὐώδης v βίου: μύρου ΛYS διὰ τοῦ βίου καὶ διὰ τοῦ μύρου fort Syr, sed totum locum male intellexit 9 τῆς om v ποικιλίας P Syr(ut vid) ἀρετῶν: ἀρωμάτων T (in marg γρ ἀρετῶν) 10 καλῆς Syr ἧς ὁ βίος: ἀξία $R^a$$E^2$ (corr in ras 7 fere litt)v 11 εἰς om T(sed sscr) 12 σαλομῶν E(corr E^2) post ὀνομάζει add αὐτὴν Syr 13 προστίθησι E(eras σ pr)Nv 14 λέγω Y 16 λόγος: ἔπαινος ΛY τὸ: τὸν N ὑψηλὸν P προσάγει EΛYS(eras σ EΛS) προλέγει V 17 et τῶν et γενομένων VE(ut vid, corr E^2) τε om ER^av 18 τῶν om P χαρισμάτων: χάριν Y ante περιουσίαν add τὴν VCN

λόγῳ· ἐπειδὴ γὰρ παρὰ τὴν μέλισσαν φοιτᾶν τὸν τῆς σοφίας μαθητὴν ὁ παροιμιακὸς βούλεται λόγος (νοεῖς δὲ πάντως ἐκ τῶν μαθημάτων τὴν διδάσκαλον ἥτις ἐστίν) λέγων τοῖς ἐρασταῖς τῆς σοφίας Πορεύθητι πρὸς τὴν μέλισσαν καὶ μάθε ὡς ἐργάτις ἐστὶ τήν τε ἐργασίαν ὡς σεμνὴν ἐμπο-
960 M. ρεύεται, ἧς τοὺς πόνους βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγεῖαν προσφέρονται (ποθεινὴν δὲ λέγει πᾶσιν εἶναι αὐτὴν καὶ ἐπίδοξον, ἀσθενοῦσαν μὲν κατὰ τὴν ῥώμην, τὴν δὲ σοφίαν τιμήσασαν καὶ διὰ τοῦτο προαχθεῖσαν εἰς ὑπόδειγμα βίου τοῖς ἐναρέτοις· Τὴν γὰρ σοφίαν, φησί, τιμήσασα προήχθη), συμβουλεύει δὴ διὰ τῶν εἰρημένων μηδενὸς ἀπέχεσθαι τῶν ἀγαθῶν μαθημάτων, ἀλλὰ τῷ λειμῶνι τῶν θεοπνεύστων ἐφιπτάμενον λόγων, ἀφ' ἑκάστου τι πρὸς τὴν κτῆσιν τῆς σοφίας ἀπανθιζόμενον κηροπλαστεῖν ἑαυτῷ τὸ κηρίον, οἷον ἐν σίμβλῳ τινὶ τῇ ἑαυτοῦ καρδίᾳ τὴν φιλεργίαν ταύτην ἀποτιθέμενον, ὥσπερ τινὰς ἐν κηρίῳ σύριγγας τῶν πολυειδῶν μαθημάτων ἀσυγχύτους ἐν τῇ μνήμῃ τὰς θήκας δημιουργήσαντα, καὶ οὕτω κατὰ μίμησιν τῆς σοφῆς ἐκείνης μελίσσης, ἧς ἡδὺ μὲν τὸ κηρίον ἄπληκτον δὲ τὸ κέντρον, τὴν σεμνὴν ταύτην τῶν ἀρετῶν ἐργασίαν διὰ παντὸς ἐμπορεύεσθαι. ἐμπορεύεται γὰρ ὡς ἀληθῶς ὁ τὰ ἀγαθὰ τὰ αἰώνια τῶν τῇδε πόνων διαμειβόμενος καὶ τοὺς ἰδίους πόνους εἰς ψυχικὴν ὑγεῖαν βασιλεῦσί τε καὶ ἰδιώταις νέμων, ὥστε ποθεινὴν

4-7 Prov 6, 8 a/b 7-10 cf Prov 6, 8 b/c 10 ibid 6, 8 c

ER^a ΛYS Σ PVT CN Syr 1 παρὰ: περὶ P 2 βούλεται om E(adscr E^2) coll ante 1 τὸν v 3 μαθητῶν $R^a$$E^2$(eras -μά-) TP(fort?, sed corr)v Syr διδασκαλίαν CN λέγουσα P 4 τῆς: τοῖς N 5 ἐργάτης ΣT(sed corr)C τε: δὲ Syr 5-6 ἐκπορεύεται YΛ(ut vid, corr Λ^2) ποιεῖται LXX 6 τε om ER^aSTv LXX, at cf infra 23 ὑγίειαν ΛYT LXX ὑγίαν N ὑγίαν Cv 7 ποθίνη Σ λέγει coll post πᾶσι ER^aTv coll post εἶναι Σ εἶναι om PVCN αὐτὴν coll ante λέγει PVCN coll ante εἶναι v 9 τιμήσασα V καὶ διὰ τοῦτο om P προσαχθεῖσαν V 10 τιμήσασα φησὶ ER^aΣ 11 δὴ correxi: δὲ codd v Syr 13 ἐφαπτόμενον P ἐφιστάμενον N τὴν om V 21 ὁ om ER^av 23 ὑγίειαν ER^aΣv ὑγίαν C

τῷ νυμφίῳ τὴν τοιαύτην γενέσθαι ψυχὴν καὶ τοῖς ἀγγέλοις ἐπίδοξον ἐν ἀσθενείᾳ τελειοῦσαν τὴν δύναμιν διὰ τὴν τῆς σοφίας τιμήν. ἐπειδὴ τοίνυν παιδεύσεώς ἐστι καὶ φιλοπονίας ὑποδείγματα τὰ περὶ τὴν σοφὴν ἐκείνην μέλισσαν διηγήματα καὶ αἱ ποικίλαι τῶν πνευματικῶν χαρισμάτων διαιρέσεις κατὰ τὴν τῆς σπουδῆς ἀναλογίαν τοῖς πεπονηκόσι προγίνονται, διὰ τοῦτό φησι πρὸς τὴν νύμφην ὅτι πλήρης σοι γέγονεν ἡ καρδία τῶν ἐκ τῆς παντοδαπῆς παιδεύσεως κηρίων, ὅθεν προφέρεις ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας τὰς μελιχρὰς τῶν λόγων σταγόνας, ὡς εἶναί σοι μέλι τὸν λόγον συναναμεμιγμένον τῷ γάλακτι· Κηρίον γάρ, φησίν, ἀποστάζει χείλη σου, νύμφη, μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου. παρεσκεύασται γάρ σοι ὁ λόγος οὐ μονοειδῶς τοῖς ἀκούουσι τὴν ὠφέλειαν ἐπιδεικνύμενος ἀλλὰ καταλλήλως πρὸς τὴν τῶν δεχομένων δύναμιν ἁρμοζόμενος, ὡς καὶ τοῖς τελειοτέροις καὶ τοῖς νηπιάζουσιν οἰκείως ἔχειν, τοῖς μὲν τελείοις μέλι, τοῖς δὲ νηπίοις γάλα γινόμενος. οἷος ὁ Παῦλος ἦν, τοῖς μὲν ἁπαλωτέροις τῶν λόγων τοὺς ἀρτιγενεῖς τιθηνούμενος, σοφίαν δὲ λαλῶν ἐν τοῖς τελείοις ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην ἀπὸ τῶν αἰώνων, ἣν οὐ χωρεῖ ὁ αἰὼν οὗτος οὐδὲ οἱ ἄρχοντες τοῦ αἰῶνος τούτου. τὴν οὖν τοιαύτην παρα-

5 cf I Cor 12,4 6 cf Rom 12,6 9 cf Luc 6,45 11-12 Cant 4, 11 18 cf I Cor 3, 1/2; I Thess 2, 7 19-21 cf I Cor 2, 6-8

ER^{a} ΛYS Σ PVT CN Syr 1 γίνεσθαι ΛYS ante ἀγγέλοις add ἁγίοις Σ τοῖς τῶν ἀγγέλων ὀφθαλμοῖς Syr 2 τελειοῦται N τὴν alt om N 3 φιλοπονίας: φιλοσοφίας ΛY 4 ὑπόδειγμα ER^{a}SNv μέλιτταν ER^{a}v διηγήματα: ὑποδείγματα P 6 post τοῖς add τε v πεποιηκόσι V 6-7 προσγίνεται N 7 πλήρη R^{a} σου ΛYN 8 κυρίων N κηρῶν ER^{a}v 9 προσφέρεις N τὰς om Σ 11 συναμεμιγμένων N χάλακτι N ἀποστάζει φησὶ Σ ἀποστάζουσι ΛYS LXX 12 ante χείλη add τὰ PVCN 13 παρασκεύασται C γάρ om ΛYS μονοειδῶς PΛ^{2}(ut vid, ex -δῆ) Syr: μονοειδὴς YC (eras -ς C^{2})N μονοειδῆ cett v 13-14 τὴν ὠφέλειαν τοῖς ἀκούουσιν ER^{a}v 15 λεγομένων S τελειωτέροις Σ τελεωτέροις N 16 τοῖς pr om v οἰκείων R^{a} 17 νηπιάζουσι PVCN οἷος: οἷς P 19 τοῖς om R^{a} 20 οὐδὲ: οὔτε ΣPVCN 21 τοῦ αἰῶνος om v

σκευὴν τοῦ μέλιτός τε καὶ τοῦ γάλακτος ὑποκεῖσθαι λέγει τῇ γλώσσῃ τὴν τεταμιευμένην τε καὶ εὔκαιρον τῶν λόγων χρῆσιν διὰ τῆς τοιαύτης φωνῆς ἐνδεικνύμενος· ὁ γὰρ εἰδώς, πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι, ἔχων ὑπὸ τὴν γλῶσσαν τὴν ποικίλην ταύτην τοῦ λόγου δύναμιν ἁρμοδίως ἑκάστῳ τῶν ἀκουόντων τὸ πρὸς τὴν χρείαν ἐπὶ καιροῦ προχειρίζεται.

Τοιοῦτον δὲ προσαγαγὼν τῷ στόματί τε καὶ τῇ γλώσσῃ τῆς νύμφης τὸν ἔπαινον πάλιν πρὸς τὰ μείζω τῶν ἐγκωμίων μετέρχεται λέγων ὅτι Ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. ὁ δὲ λόγος οὗτος φιλοσοφία τίς ἐστιν εἰς ὅ τι βλέπει τοῖς ἀνθρώποις ὁ κατ' ἀρετὴν βίος ὑποδεικνύων· πέρας γὰρ τῆς ἐναρέτου
961 M. ζωῆς ἡ πρὸς τὸ θεῖόν ἐστιν ὁμοίωσις· καὶ τούτου χάριν ἥ τε τῆς ψυχῆς καθαρότης καὶ τὸ πάσης ἐμπαθοῦς διαθέσεως ἀνεπίμικτον δι' ἐπιμελείας κατορθοῦται τοῖς ἐναρέτοις, ὥστε τινὰ χαρακτῆρα τῆς ὑπερκειμένης φύσεως διὰ τῆς ἀστειοτέρας ζωῆς καὶ ἐν αὐτοῖς γενέσθαι. ἐπειδὴ τοίνυν οὐ μονοειδής τίς ἐστιν οὐδὲ μονότροπος ἡ κατ' ἀρετὴν πολιτεία, ἀλλ' ὥσπερ ἐπὶ τῆς τῶν ὑφασμάτων κατασκευῆς διὰ πολλῶν νημάτων, τῶν μὲν ἐπ' εὐθείας ἀνατεταμένων τῶν δὲ κατὰ τὸ πλάγιον διῃρμένων, ἡ ὑφαντικὴ τέχνη τὴν ἐσθῆτα ποιεῖ, οὕτω καὶ ἐπὶ τῆς ἐναρέτου ζωῆς πολλὰ χρὴ συνδραμεῖν, δι' ὧν ὁ ἀστεῖος ἐξυφαίνεται βίος, καθὼς ἀπαριθμεῖται τὰ τοιαῦτα νήματα ὁ θεῖος ἀπόστολος, δι' ὧν

9 Cant 4, 11 11-12 cf Plat Theaet 176 a/b

ER^{a} ΛYS Σ PVT CN Syr 1 τοῦ pr: τὴν v τὴν ἐκ τοῦ Syr τοῦ alt om PVCN 2 γλώττη P ·.αμιευμένην C(sscr τε C^{2}) ἄκαιρον Λ(corr Λ^{2})Y 3 ante χρῆσιν eras τὴν ut vid S διὰ— φωνῆς om Syr 4 ἑνὶ ER^{a}Σv: om cett Syr γλῶτταν P 5 τῶν λόγων ΛYS 6 et om τὸ et add καὶ ante ἐπὶ Syr προχειρίζεσθαι N 7 δὲ: δὴ Syr τε om ER^{a}v τῆς γλώττης N 9 ὅτι om VT ὀσμὴ alt: μὴ Y ante λιβάνου add τοῦ Σ 10 εἰς: ὡς N 12 ἐστιν om P 14 κατορθοῦνται Syr 15 ὥστε: ὡς VCN 17 τίς om N 18 τῆς om C(sscr C^{2}) 19 νοημάτων YV(eras ο) 20 διῃρμένων (cf Hippocr περὶ ἄρθρ 70) aut si mavis διειρμένων (cf Pap Holm 3. 14) scripsi sec Syr: διειρημένων Σ διαιρουμένων VTCNP(sscr bis η) διηρημένων cett v 23 ἀπαριθμεῖ N τὰ νήματα τὰ τοιαῦτα P τὰ νήματα τοιαῦτα NC (post νήματα eras 1 litt, fort ς, post νήματα sscr τὰ C^{2}) νοήματα YΛ(eras ο)V(eras ο) θεῖος ἀπόστολος: μακάριος Παῦλος Syr

ἡ τῶν καθαρῶν ἔργων ἱστουργία συνίσταται, ἀγάπην λέγων καὶ χαρὰν καὶ εἰρήνην, μακροθυμίαν τε καὶ χρηστότητα καὶ πάντα τὰ τοιαῦτα, οἷς κατακοσμεῖται ὁ ἐκ τοῦ φθαρτοῦ τε καὶ γηΐνου βίου τὴν οὐράνιον ἀφθαρσίαν μετενδυόμενος, τούτου χάριν ἀποδέχεται τὸν ἐν τῇ ἐσθῆτι κόσμον τῆς νύμφης ὡς τῷ λιβάνῳ κατὰ τὴν ὀσμὴν ὁμοιούμενον. καίτοι γε πρὸ τούτου πάντων εἶπε τῶν ἀρωμάτων προέχειν τὴν τοῦ μύρου τῆς νύμφης εὐωδίαν, ὡς δοκεῖν ἐν τούτῳ καθαίρεσιν εἶναι τῶν ἐγκωμίων, εἴπερ ἡ παντὸς ἀρώματος ὑπερτεθεῖσα νῦν πρὸς ἓν τῶν ἀρωμάτων ὁμοιοῦται διὰ συγκρίσεως, οὕτως εἰπόντος τοῦ λόγου ὅτι κατὰ τὴν ὀσμὴν τοῦ λιβάνου ἡ τῶν ἱματίων σού ἐστιν εὐωδία. ἀλλ' ἐπειδὴ ἰδιαζόντως κατά τινα λόγον εἰς τὴν τοῦ θείου τιμὴν ἀποτεταγμένον ἦν τὸ τοῦ λιβάνου θυμίαμα, τούτου χάριν ἡ ὑπὲρ πάντα τὰ ἀρώματα εἶναι κριθεῖσα ἀξιοῦται τῆς πρὸς τὸ ἓν ἄρωμα ὁμοιώσεως τὸ τῷ θεῷ ἀνακείμενον, ὡς τὸ νόημα τοῦ αἰνίγματος τοιοῦτον εἶναι ὅτι· σοί, ὦ νύμφη, τῶν ἀρετῶν ἡ περιβολὴ τὴν θείαν μιμεῖται μακαριότητα διὰ καθαρότητός τε καὶ ἀπαθείας τῇ ἀπροσίτῳ φύσει ὁμοιουμένη· τοιαύτη γάρ, φησίν, ἡ τῶν σῶν ἱματίων ὀσμή, ὡς πρὸς τὸν λίβανον ἐμφερῶς ἔχειν τὸν ἀνακείμενον εἰς τὴν τοῦ θείου τιμήν.

Πάλιν μανθάνομεν διὰ τῶν ἐφεξῆς ἐπαίνων, πῶς ἄν

1-2 cf Gal 5, 22 3-4 cf I Cor 15, 53 7-8 cf Cant 4, 10; cf supra p 268, 5-15 13-14 cf supra p 189, 3/4

ER^a ΛYS Σ PVT CN Syr 1 ante λέγων add in ras δὲ E^2 eras (λέγω)ν C 2 χάριν ΛY 3 τοῦ om ER^aΣv 4 βίου om Σ 5 ἐσ(θῆ)τι corr in ras E^2 6 κατὰ om ΣN 6-7 καίτοι γε: καὶ τό τε CN 7 πρὸ: πρὸς Y πρότερον N τούτων T Syr εἰπὼν S 8 τοῦ μύρου om T τῆς νύμφης: αὐτῆς Syr δοκεῖ N τούτοις P 9 ἡ παντὸς: εἰ πάντως N 12 ἡ coll post ἐστιν ER^aΛYv σού om P 13 θεοῦ E (ut vid, corr E^2) ἀποτεταγμένου N 15 ante ἀξιοῦται add νῦν Syr 16 τῷ om P ὡς τὸ: ὥστε CN ὥστε τὸ T νόημα V (eras o) 17 σοί ER^a Σv: σὺ PVC (corr C^2) N σοῦ ΛYST Syr (coll post 18 περιβολὴ) 20 φησίν om v σῶν: θείων v om Y ὡς: ἡ Y 21 εὐχερῶς V (χερ fort in ras) τὸν: τὸ Y θείου (claus praestat et cf supra 13) SPVCN: θεοῦ cett v Syr 22 post πάλιν add δὲ Syr

τις γένοιτο τοῦ κυρίου ἀδελφὴ καὶ ὁμόζυγος, δι' ὧν φησιν ὅτι Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη. οὐκοῦν εἴ τις μεταποιεῖται νύμφη μὲν διὰ τοῦ προσκολληθῆναι τῷ κυρίῳ γενέσθαι, ἀδελφὴ δὲ διὰ τοῦ τὸ θέλημα αὐτοῦ κατεργάζεσθαι, καθὼς λέγει τὸ εὐαγγέλιον, κῆπος εὐθαλὴς γενέσθω πάντων ἔχων ἐν ἑαυτῷ τῶν φυτῶν τὴν ὥραν, τήν τε γλυκεῖαν συκῆν καὶ τὴν κατάκαρπον ἐλαίαν καὶ τὸν ὑψίκομον φοίνικα καὶ τὴν εὐθηνοῦσαν ἄμπελον, μὴ θάμνον ἀκανθώδη τινὰ μηδὲ κόνυζαν, ἀλλὰ κυπάρισσον ἀντ' αὐτῶν καὶ μυρσίνην. οὕτω γὰρ τὸν τοιοῦτον κῆπον οἶδεν ὡραΐζειν ὁ μέγας τε Δαβὶδ καὶ ὁ ὑψηλὸς Ἠσαΐας, ὁ μὲν λέγων Δίκαιος ὡς φοῖνιξ ἀνθήσει· καὶ Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος· καὶ Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα· ὁ δὲ Ἠσαΐας ἀντὶ θάμνου μὲν τὴν κυπάρισσον, ἀντὶ δὲ κονύζης τὴν μυρσίνην φησὶν ἀναβήσεσθαι· καὶ παρ' ἑτέρῳ τινὶ προφήτῃ μακαρίζεται ὁ ὑποκάτω τῆς συκῆς τῆς ἰδίας ἀναπαυόμενος.
964 M. τὰ δὲ καθ' ἕκαστον περὶ τῶν δένδρων τούτων αἰνίγματα τῶν

2 Cant 4, 12 3-4 cf Eph 5, 31/2 4-5 cf Marc 3, 35 11-12 Ps 91, 13 12 Ps 51, 10 13 Ps 127, 3 14-15 cf Isai 55, 13 15-16 cf Mich 4, 4

ER^aΛY S Σ PVT CN Syr 1 τις om P χριστοῦ T 2 εἴ: ἤ Σ 3 et νύμφην et 4 ἀδελφὴν E (eras bis ν) τοῦ: τὸ ΛY 4 τοῦ τὸ: τοῦτο τὸ Y αὐτοῦ om P 5 ἐν τῷ εὐαγγελίῳ Syr εὐθαλὴς (cf infra p 274, 20) SΣPVCN: εὐανθὴς ER^aΛYTv 'decorus et abundans' Syr (εὐανθὴς καὶ εὐθαλὴς ut opinor) γινέσθω ΛYS 6 αὐτῷ SN φυτῶν om N 8 εὐθυνοῦσαν R^aP (sscr η) N τινὰ om E (in marg add E^2) ΛY 9 κονύξαν Y κόνιζαν P κόρυζαν N 10 τε SPTCN: om cett v 11 ὁ pr om N post λέγων add ὅτι S 12 ὡσεὶ: ὡς ER^av post κατάκαρπος add (sec Ps 51, 10) ἐν τῷ οἴκῳ τοῦ θεοῦ V Syr 13 σου om P εὐθυνοῦσα PN 13-15 ὁ δὲ Ἠσαΐας—ἀναβήσεσθαι hoc loco Syr: coll post 16 ἀναπαυόμενος codd v id est: in archetypo codd erant ad calcem fere columnae om 3 lin (ὁ δὲ—ἀναβήσεσθαι = 75 litt), quae in marg infer adscriptae a scribis ordine falso non mutato, id est post ἀναπαυόμενος, textui inserebantur 13 ὁ δὲ: καὶ ὁ V 14 τὴν pr: τὸν Y κόνζης R^a κονίζης P 15 μυρτίνην v ἀνθήσεσθαι PVC (corr C^2) N παρ': γὰρ CN ante τινὶ add δὲ V προφητῶν CN τῶν προφητῶν ΣPV 17 τούτων om P in marg nunc deleto scr aliquam vocem P (restant litt μάτων) τῶν alt: ὧν CN

ὑπὸ τῆς προφητείας ἡμῖν ὑποδειχθέντων παρέλκον ἂν εἴη δι' ἀκριβείας ἐκτίθεσθαι, προδήλου πᾶσιν ὄντος, τίς μὲν ὁ γλυκὺς τῆς συκῆς ἐστι καρπὸς ὁ ἐκ τοῦ δριμυτάτου ὀποῦ πεπαινόμενος, ὁ κατ' ἀρχὰς μὲν πικρός τε καὶ ἄβρωτος, ὕστερον δὲ καρπὸς εἰρηνικὸς γινόμενος καὶ καταγλυκαίνων τὰ τῆς ψυχῆς αἰσθητήρια, τί δὲ ἡμῖν ἡ τῆς ἐλαίας καρπογονία χαρίζεται διὰ τοῦ δριμυτάτου τε καὶ πικροτάτου χυμοῦ τοῦ κατ' ἀρχὰς ἐντρεφομένου τῇ ὀπώρᾳ μετὰ ταῦτα διὰ τῆς καταλλήλου πεπάνσεώς τε καὶ γεωργίας εἰς ἐλαίου μεταβάλλουσα φύσιν ὃ τοῦ φωτὸς γίνεται ὕλη καὶ καμάτων λυτήριον καὶ πόνων ἄνεσις καὶ κεφαλῆς φαιδρότης καὶ πρὸς τοὺς ἀγῶνας τοῖς νομίμως ἀθλοῦσι συνέργεια, πῶς δὲ δυσεπιχείρητον ποιεῖ τὸν ἑαυτοῦ καρπὸν τοῖς κλέπταις ὁ φοῖνιξ ἄνω θησαυρίζων καὶ οὐχὶ πρόσγειον αὐτὸν ἐκφέρων· ἥ τε τῆς ἀμπέλου χάρις καὶ ἡ εὐώδης κυπάρισσος καὶ τὸ ἡδὺ τῆς μυρσίνης· ταῦτα πάντα διὰ τροπικῆς θεωρίας πρὸς τὸν κατ' ἀρετὴν μεταληφθέντα λόγον πρόδηλα πᾶσίν ἐστι τοῖς νουνεχῶς ἐπαΐουσι πρὸς ὅ τι βλέπει. οὐκοῦν ὁ τῶν τοιούτων δένδρων κῆπος γεγονὼς εὐθαλὴς καὶ κατάφυτος καὶ τῷ τῶν ἐντολῶν ἑρκίῳ πανταχόθεν ἠσφαλισμένος, ὡς

3 cf Method Conv X 2 (p 123, 19-20) 9-11 cf ibid 11-15 13-14 cf Matth 6, 20

ER^aΛΥ S Σ PVT CN Syr Θ(inde a 15 εὐώδης) 1 παρέλκων R^a(ut vid)Λ(corr $Λ^2$)YN 3 ὁ alt om Σ 5 καρπὸς coll ante καὶ Σ γενόμενος ΣPCN καὶ om N 6 ἡμῖν: ἦν C(corr C^2) ante ἡ add καὶ ER^aΛYTv 7 τε om R^aΛYΣ 8 τῇ ὀπώρᾳ: αὐτῇ Syr post ταῦτα add δὲ SV 9 κατ' ἄλλου Σ πεπανώσεως P 10 μεταβαλοῦσα S μεταβαλλούσης ΛYE(ut vid, corr E^2) ὃ τοῦ ER^aΣv: ὅ τι (vel ὅτι) cett 12 συνέργεια scripsi proptei claus: συνεργεία CN συνεργία ce't v ὅπως T post δὲ add καὶ P 13 τὸν ἑαυτοῦ καρπὸν om Λ(in marg ante ποιεῖ add τὸν καρπὸν $Λ^2$)Y et om τὸν et coll ἑαυτοῦ καρπὸν ante ποιεῖ ER^av 14 ante ἄνω add ὁ PVCN ἄνωθεν v 15 τῆς: τοῦ v εὐειδὴς T 16 μυρσίνης: σμύρνης T(super ρ scr σἰ) πάντα ταῦτα ΣT Syr 17 καταληφθέντα ER^aΛYv ante 16 διὰ add καταληφθέντα καὶ Syr (scil in marg exempl sui invenit var lect καταληφθέντα) 18 πρὸς ὅ τι βλέπει om R^a τῶν om v 19 post τοιούτων add ὄντων ΛY γεγενῶς Y 20 ἠσφαλισμένος: πεφυλαγμένος N πεφυλαγμ. καὶ ἠσφαλισμ. Syr

μηδεμίαν καθ' ἑαυτοῦ παρασχεῖν τῷ κλέπτῃ καὶ τοῖς θηρίοις τὴν πάροδον (ὁ γὰρ ἐν κύκλῳ τῷ φραγμῷ τῶν ἐντολῶν διειλημμένος ἀνεπίβατός ἐστι τῷ μονιῷ τῷ ἀγρίῳ καὶ ὁ ἐκ τοῦ δρυμοῦ αὐτὸν ὗς οὐ λυμαίνεται), εἴ τις τοίνυν καὶ κῆπός ἐστι καὶ ἠσφαλισμένος, οὗτος ἀδελφὴ καὶ νύμφη γίνεται· τοῦ πρὸς τὴν τοιαύτην εἰπόντος ψυχὴν ὅτι Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη.

Ἀλλὰ τῷ κήπῳ τούτῳ καὶ πηγῆς ἐστι χρεία, ὡς ἂν εὐθαλὲς διαμένοι τὸ ἄλσος τῷ ὕδατι πρὸς τὸ διηνεκὲς πιαινόμενον. διὰ τοῦτο συνέζευξεν ἐν τοῖς ἐπαίνοις τὴν πηγὴν τῷ κήπῳ εἰπὼν ὅτι Κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. τὸν δὲ περὶ τῆς πηγῆς λόγον ἡ Παροιμία διδάσκει ἡμᾶς δι' αἰνίγματος ἐν οἷς φησιν ὅτι Ἡ πηγὴ τοῦ ὕδατός σου ἔστω σοι ἰδία· καὶ Ἔστω σοι μόνῳ καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι. ὡς γὰρ ἐκεῖ κωλύει τοῖς ἀλλοτρίοις ἐνδαπανᾶσθαι τῆς πηγῆς τὸ ὕδωρ, οὕτως ἐνταῦθα τὸ μηδαμοῦ διαχεῖσθαι πρὸς ἀλλοτρίους τὴν πηγὴν μαρτυρεῖ διὰ τοῦ εἰπεῖν ὅτι Ἐσφραγισμένη, ὅπερ ἴσον ἐστὶ τῷ εἰπεῖν ὅτι πεφυλαγμένη. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι· πηγὴ κυρίως κατονομάζεται κατά γε τὸν ἐμὸν λόγον ἡ διανοητικὴ τῆς ψυχῆς ἡμῶν δύναμις ἡ παντοίους λογισμοὺς ἐν ἡμῖν βρύουσά τε καὶ πηγάζουσα. ἀλλὰ τότε ἡμέτερον γίνεται τῆς διανοίας τὸ κίνημα, ὅταν πρὸς τὰ συμφέροντα ἡμῖν

1-2 cf Ambros De Isaac (scil de Origen Comm) p 672, 15: '... hortus clusus ne incursetur a bestiis' 3-4 cf Ps 79, 14 12-13 Cant 4, 12 13-14 Prov 5, 18 14-15 Prov 5, 17

ER^aΛΥ SΘ Σ PVT CN Syr 3 ἐντολῶν: ἀρετῶν SΘ διειλειμένος NC(corr C^2) 4 αὐτῶν C(corr C^2) ὗς αὐτὸν ΛY καὶ SΘPVCN Syr: om cett v 5 καὶ pr om Σ ante ἀδελφὴ add καὶ Syr 6 τὴν om P 9 διαμένῃ TN 10 ἐν om ER^aΛYv 13 δι': διὰ τοῦ Θ ὅτι om ER^aΛYv 14 σου PC Syr: coll ante τοῦ Σ LXX om cett v σοι pr om N ἰδία: ἡδεῖα NT(eras et corr)v καὶ pr—μόνῳ om ΘΣ σὺ μόνος N 15 μηθεὶς S μετεχέτω SΘ σου PCN 16 post οὕτως add καὶ Syr 17 post πρὸς add τοὺς SΘ 18 διὰ τοῦ εἰπεῖν om Θ ὅτι om C ὅτι ἐσφραγισμένη om E(adscr E^2) ὥσπερ V τῷ: τὸ VCN om T 19 ὅτι om Σ 20 γε om T 21 ἐν ἡμῖν λογισμοὺς ΣN 22 τότε: τὸ R^a ἥμερον V

κινῆται πᾶσαν ἡμῖν συνεργίαν πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν παρεχόμενον. ὅταν δέ τις τρέψῃ τῶν λογισμῶν τὴν ἐνέργειαν πρὸς κακίας ἐπίνοιαν, τότε τοῖς ἀλλοτρίοις ἐνδαπανᾶται τὸ ῥεῖθρον, ὡς εὐτροφεῖν μὲν τὸν ἀκανθώδη βίον τῇ συμμαχίᾳ τῶν λογισμῶν καταρδόμενον, ἀποξηραίνεσθαι δὲ καὶ μαραί- 965 M. νεσθαι τὴν κρείττω φύσιν μηδεμιᾶς τῆς ἐκ λογισμῶν ἰκμάδος ὑποτρεφούσης τὴν ῥίζαν. ἐπειδὴ τοίνυν ἡ σφραγὶς τὸ ἄσυλον τῷ δι' αὐτῆς φυλασσομένῳ χαρίζεται φοβοῦσα τῷ σημάντρῳ τὸν κλέπτην, πᾶν δὲ τὸ μὴ κλεπτόμενον τῷ δεσπότῃ μένει ἀκέραιον, τὴν ἀκροτάτην ἔοικεν ἀρετὴν μαρτυρεῖν τῇ νύμφῃ ἐνταῦθα ὁ ἔπαινος, ὅτι ἀνέπαφος αὐτῆς μένει τοῖς ἐχθροῖς ἡ διάνοια ἐν καθαρότητι καὶ ἀπαθείᾳ φυλασσομένη τῷ ἰδίῳ δεσπότῃ· σφραγίζεται γὰρ τὴν πηγὴν ταύτην ἡ καθαρότης μηδεμιᾷ νοημάτων ἰλύϊ τὸ διαυγές τε καὶ ἀερῶδες τῆς καρδίας ἐπιθολώσασα. ὡς δ' ἄν τις ἐπὶ τὸ σαφέστερον προαγάγοι τὸ νόημα, τοιοῦτόν ἐστιν· ἐπειδὴ τῶν ἐν ἡμῖν τὰ μὲν ὡς ἀληθῶς ἐστιν ἡμέτερα, ὅσα τῆς ψυχῆς ἐστιν ἴδια, τὰ δὲ οἰκειούμεθα ὡς ἡμέτερα, τὰ περὶ τὸ σῶμά τε καὶ τὰ

7-13 cf Method Conv VII, 1 (scil in explicatione Cant 4, 9-12) p 72, 12: . . . παράδεισον ὥσπερ ἐσφραγισμένην, ἐν ᾧ πάντα τῆς εὐωδίας τῶν οὐρανῶν φύει τὰ ἀρώματα, ἵνα μόνος ἐλθὼν αὐτὰ δρέψηται Χριστὸς ἀσωμάτοις βλαστήσαντα σποραῖς. (fort e Comm Origenis) 16 sqq locus communis omnium fere philosophorum inprimis Platonicorum (vide p 277, 2-3)

ER^aΛΥ SΘ Σ PVT CN Syr 1 ante ἡμῖν add ἐν P συνεργείαν C ἐνέργειαν P(sscr συν) συνεργίαν ἡμῖν Σ 2 παρεχομένη ΛΥΕ (ut vid, corr E^2)T(ut vid, sed corr) στρέψῃ ΛΥΣVCN 4 εὔστροφον P(corr εὐστροφεῖν) εὔτροφον μὲν εἶναι SΘ 5 λογισμῶν SΘPVCN Syr: πονηρῶν λογισμῶν cett v 6 ἐκ SΘVTCN Syr: ἐκ τῶν P ἐξ ἀγαθῶν ER^aΛΥΣv λογισμῶν om ΛΥ post λογισμῶν add ἀγαθῶν T 7 ὑποστρεφούσης P (super στ scr τ) τό: τὸν C(eras ν) 9 δὲ: γὰρ P(sscr δὲ) 9-10 τῷ—ἀκέραιον om Σ 10 ἀκροτάτην: ἄσυλον P ἀκρότητα v 11 αὐτοῖς Λ(corr $Λ^2$)V αὐτὴ N 12 ἐν om SΘ 13 γάρ: δὲ SVN om v 14 et μηδεμιᾶς et ἰλύος et 15 ἐπιθολωσάσης Syr (interpr ut vid) 15 ἐπιθοιλώσασα Θ 16 προαγάγῃ PV ἐν ex corr T 17 ὡς om N ἐστιν ὡς ἀληθῶς ER^aΛΥΣv 17-18 ὅσα—ἡμέτερα om V 18 ante ὡς add μὴ P τὸ om V τε om ER^aΣv τὰ tert om PT

ἔξωθεν λέγω, διά τινος ἡμαρτημένης ὑπολήψεως ἴδια νομίζοντες τὰ ἀλλότρια (τί γὰρ κοινὸν τῇ ἀΰλῳ τῆς ψυχῆς φύσει πρὸς τὴν ὑλικὴν παχυμέρειαν;), τούτου χάριν ὅ γε παροιμιώδης συμβουλεύει λόγος μὴ τοῖς ἀλλοτρίοις ἡμῶν, τοῖς περὶ τὸ σῶμά φημι καὶ τὰ ἔξωθεν, τὴν πηγὴν τῆς διανοίας ἐναναλίσκεσθαι, ἀλλὰ περὶ τὸν ἴδιον ἀναστρέφεσθαι κῆπον τὴν τοῦ θεοῦ φυτείαν πιαίνουσαν. ἀρετὰς δὲ εἶναι τὴν φυτείαν τοῦ θεοῦ μεμαθήκαμεν, περὶ ἃς ἡ διανοητικὴ τῆς ψυχῆς ἡμῶν δύναμις ἀσχολουμένη καὶ πρὸς οὐδὲν τῶν ἔξωθεν ἀπορρέουσα τῷ χαρακτῆρι τῆς ἀληθείας σφραγίζεται, τῇ πρὸς τὸ ἀγαθὸν σχέσει ἐμμορφουμένη.

Ἴδωμεν δὲ καὶ τῶν ἐφεξῆς ἐπαίνων τὴν δύναμιν· Ἀποστολαί σου, φησί, παράδεισος ῥοῶν μετὰ καρποῦ ἀκροδρύων, κύπρος μετὰ νάρδου, νάρδος καὶ κρόκος, κάλαμος καὶ κιννάμωμον μετὰ πάντων ξύλων τοῦ λιβάνου, σμύρνα, ἀλόη μετὰ πάντων πρωτομύρων, πηγὴ κήπων, φρέαρ ὕδατος ζῶντος καὶ ῥοιζοῦντος ἀπὸ τοῦ λιβάνου. ὅτι μὲν οὖν παμμέγεθές τι καὶ ἐξαίσιον τοῖς εἰρημένοις ἔγκειται

10-11 cf Ambros De Isaac (id est Origen Comm) p 673, 5: 'quae merito fons signatus dicitur, eo quod imago in ea dei invisibilis exprimatur'. 12-17 Cant 4, 13-15

ER^aΛΥ SΘ Σ PVT CN Syr 1 λέγω coll ante 276,18 καὶ v 2 (τ)ί E^2 ex corr τισὰρ R^a(sed corr) ἀΰλη N post ψυχῆς add ἡμῶν N 3 τό(υτου) sic E^2(corr in ras) γε correxi: τε ΛΥSΘΣPCN eras E om R^aVTv τε omnino excludi non potest, cf Radermacher 'Nt. Gramm.'[2] p 5 et Bonitz, Index Aristot p 749 b 53 sqq 5 φημι om N 6 post διανοίας add ἡμῶν ER^aΛΥv Syr ἐπαναλίσκεσθαι V ἀναλίσκεσθαι R^a ἐναλίσκεσθαι ΥΛ(fort?, sed eras ἐν)Θv ἐναναστρέφεσθαι ER^aΣv 7 πιαίνουσα N 7-8 πιαίνουσαν—φυτείαν om Θ 8 τὴν τοῦ θεοῦ φυτείαν ER^aΛΥv 11 τῇ: τῆς C 12 ἑξῆς P (sed corr) ἐπαίνων ἐφεξῆς SΘ 13 φησί om Σ 13-15 μετὰ—κιννάμωμον om ER^aΛ(add in marg $Λ^2$)Υ 14 κύπρος (cf infra 281, 8) Θ Syr: κύπροι cett v LXX νάρδου Syr: νάρδων codd v LXX post κρόκος add καὶ Σ 15 κινάμωμον SPCN$Λ^2$ (in marg) σμύρνη Σ post σμύρνα add καὶ C^2v Syr 16 post πάντων add τῶν ER^aTv πρώτων μύρων v LXX 17 καὶ om Syr ῥοίζοντος SΘ ἀπὸ om P τοῦ om Λ(add $Λ^2$)Υ 18 τι: τε ΥSΘ ἐξαίρετον Θ

νόημα, δι' οὗ τῆς κατὰ θεὸν ὑψωθείσης τὸ κάλλος ἐν θαύματι γίνεται ταῖς πολυτρόποις τῶν ἐπαίνων ὑπερβολαῖς εὐφημουμένης, δῆλον καὶ ἐκ τῆς προχείρου λέξεως τῶν εἰρημένων ἐστίν. τίς δὲ ἡ ἀληθὴς ἐστι διάνοια, ἣν διασημαίνει ταῦτα τὰ ῥήματα μόνου ἂν εἴη σαφῶς εἰδέναι τοῦ κατὰ τὸν ἅγιον Παῦλον ἐπισταμένου πνεύματι λαλεῖν τὰ θεῖα μυστήρια· πῶς γὰρ τὸ ἀποστελλόμενον παρὰ τῆς νύμφης ῥοῶν ἐστι παράδεισος; πῶς δὲ ἐκ τῶν ῥοῶν ὁ καρπὸς τῶν ἀκροδρύων προφέρεται; πῶς δὲ τὰ ἀκρόδρυα μύρων γίνεται καὶ ἀρωμάτων κατάλογος; ἐν γὰρ τοῖς τῶν ἀκροδρύων καρποῖς κύπρος καὶ νάρδος καὶ κρόκος ἐστί, κάλαμός τε καὶ κιννάμωμον καὶ πᾶν τοῦ λιβάνου ξύλον ὡς οὐδεμιᾶς τῆς κατὰ τὸ ἄρωμα τοῦ λιβάνου διαφορᾶς ἐν τοῖς ἀπηριθμημένοις λειπούσης. οἷς προστίθεται σμύρνα τε καὶ ἀλόη καὶ τὰ πρωτόμυρα πάντα· καὶ ἡ πρότερον κῆπος [ἐν τοῖς ἄνω] παρὰ τοῦ ἐπαινοῦντος ὀνομασθεῖσα νῦν πηγὴ λέγεται κήπων καὶ φρέαρ ὕδατος ζῶντος καὶ ῥοιζοῦντος ἀπὸ τοῦ λιβάνου. ἀλλὰ τὸν μὲν ἀληθῆ περὶ τούτων λόγον εἰδεῖεν ἄν, καθὼς προεῖπον, οἱ τὸ βάθος τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ θεοῦ διερευνᾶσθαι δυνάμενοι, ἡμεῖς δέ, ὡς ἂν μὴ παντελῶς

6 cf I Cor 14, 2; 2. 7   19-20 cf Rom 11, 33; I Cor 2, 10

ER^{a}ΛY SΘ Σ PVT CN Syr 1 post ὑψωθείσης add ψυχῆς Σ Syr 2 γίνεται om P 2-3 εὐφημούμένον T(corr ex -ης ut vid) 4 ἡ om v ἐστινη (sic)N 5 τὰ om R^a μόνον PVv 7 πῶ(ς)E^2 in ras γάρ: δὲ P post ἐστι add καὶ NC(eras) 8 πῶ(ς)E^2(in ras) ὅπως Σ 9 προσφέρεται N φέρεται v μῦρον Σ 10 ante κύπρος add ὁ SΘ 11 κινάμωμον R^{a}ΛYSPCN 12 post πᾶν add τὸ SΘ τῆς om R^a τὰ ἀρώματα PV ἀρώματα (om τὰ) CN 13 ἀπαριθμημένοις PN ληγούσης CN 14 προτίθεται E(corr E^2)ΛY τε om ER^{a}CNv ἀλώη P πρῶτα μῦρα ER^{a}v 15 κῆπρος Y ἐν τοῖς ἄνω om Syr, delevi 15-16 παρὰ—ὀνο(μασθεῖσα) om T(add in marg), scil 21 litt= 1 lin cod columnis exarati 16 γίνεται Σ 17 καὶ om Syr ῥοιζῶντος Λ(corr Λ^2) ῥοιζόντος Y ῥοίζοντος SΘ τοῦ om Λ(sscr Λ^2)Y 18 τούτων: τοῦ πάντων C λόγον coll ante περὶ ER^{a}ΛYv εἰδεῖεν ἂν SΣV: εἰδοῖεν (vel εἴδοιεν)ἂν PTC(corr C^2) NΘ(corr ex ἴδ-) ἴδοιεν ἂν ER^{a}v ἴδοι ἐὰν YΛ(ut vid, corr Λ^2) 19 τῆς alt om T 20 ἐρευνᾶσθαι P

ἄγευστοι τῶν ἐν τῷ τόπῳ τούτῳ προκειμένων ἀγαθῶν
968 M. καὶ ἀναπόλαυστοι καταλειφθείημεν, δι' ὀλίγων τῷ λόγῳ προσάξομεν αὐτὸν τὸν θεὸν λόγον καθηγεμόνα τῆς σπουδῆς ποιησάμενοι. ἔοικεν ἅπας ὁ τῶν ἐπαίνων κατάλογος, ὅ τε πρὸ τούτων εἰρημένος καὶ ὅσα νῦν περὶ αὐτῆς ἡμῖν ὁ λόγος παρέθετο, μὴ πρὸς εὐφημίαν τινὰ ψιλὴν κατὰ τὸ προηγούμενον βλέπειν, ἀλλὰ δύναμιν ἐντιθέναι διὰ τῶν λεγομένων πρὸς τὴν ἐπὶ τὰ μείζω τε καὶ ὑψηλότερα τῆς καρδίας ἀνάβασιν· οἷον ἀδελφὴ καὶ νύμφη τοῦ λόγου κατονομάζεται, ἀλλὰ συνάπτει τῶν ὀνομάτων τούτων ἑκάτερον τὴν ψυχὴν τῷ νυμφίῳ τῆς μὲν κατὰ τὴν νύμφην σημασίας σύσσωμον αὐτήν, καθὼς ὀνομάζει ὁ Παῦλος, ποιούσης τῷ ἀφθάρτῳ νυμφίῳ, τῆς δὲ περὶ τὰ θελήματα σπουδῆς εἰς ἀδελφικὴν ἀγχιστείαν προσαγούσης κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν· εἶτα ἐπαινεῖται φύσις μαζῶν ἡ ἀντὶ γάλακτος οἶνον προχέουσα καὶ δῆλον ὅτι ἔργον ὁ ἔπαινος γίνεται (οὐ γὰρ ἐγκωμιάζεται τὸ ἀνύπαρκτον)· πρὸς τούτοις τὸ μύρον αὐτῆς πάντων τῶν ἀρωμάτων ὑπέρτερον κρίνεται, ὅπερ οὐκ ἂν οὕτως ἔχειν ἐκρίθη μὴ κατ' ἀλήθειαν πρὸς ἐκεῖνο τὸ ὕψος αὐτῆς διὰ τῆς ἐν τῷ κρείττονι προκοπῆς ἀναδραμούσης· θαυμάζεται μετὰ τοῦτο τὰ κηρία τοῦ λόγου τὰ τοῦ στόματος αὐτῆς

11-13 cf Eph 3, 6; 5, 30/1   13-14 cf Marc 3, 35

ER^{a}ΛY SΘ Σ PVT CN Syr 1 προκειμένω N 2 καὶ om P καταληφθείημεν ΣCN post ὀλίγων add λόγων ER^{a}ΛYv 3 προσάξομεν ΘPv: προσέξομεν Σ προσέξωμεν T προσάξωμεν cett 4 ἅπας: τοίνυν Syr ἅπας ὁ: ὁ πολὺς SΘ τε: γε PVCN 5 αὐτῆς: τῆς νύμφης V ἡμῖν coll ante περὶ T post λόγος V 6 μή: καὶ YΛ(fort?, eras et corr οὐ Λ^2) τό: τὸν Θ(eras ν) 6-7 κατὰ τὸ προηγούμενον om Syr 7 post ἐντιθέναι add τῇ νύμφῃ Syr διά: παρὰ V 8 τά: τὴν P ὑψηλοτέραν ΛYPC(eras ν)N ὑψηλοτέρας V τῆς καρδίας om Syr διάβασιν CN 9 post οἷον add λέγω Syr(interpr ut vid) κατονομάζεσθαι N 10 τούτων coll ante τῶν CN 11-13 τῆς—νυμφίῳ om P 11 τήν: τῆς ER^a(sed corr)V νύμφης V 12 ὀνομάζει om v ὁ om SΘ (ἀφ)θάρτ(ω)corr in ras E^2 ἀφθάρτῳ corr in ras Y 12-13 τῷ—νυμφίῳ: αὐτῷ Syr 14 προαγούσης ER^{a}v 15 μαζῶν scripsi (cf supra p 265, 13 et adnot): μαστῶν codd v post μαζῶν add αὐτῆς Syr ἡ om Σ 16 ὁ om Σ ὁ ἔπαινος ἔργον ΛY 18 κρίνεται om V 21 τοῦτο: τοῦ Θ τὰ alt: κατὰ ΛY

ἀποστάζοντα καὶ ἡ σύγκρατος τῆς σοφίας παρασκευὴ ἡ ὑποκειμένη τῇ γλώσσῃ γάλακτος πρὸς μέλι συγκεκραμένου· καὶ ταῦτα δύναμίς ἐστιν οὐ ῥήματα· πρὸς γὰρ τὴν τῶν ὑψηλοτέρων ἄνοδον χειραγωγουμένη ὑπὸ τοῦ λόγου τοσοῦτον ηὐξήθη, ὥστε μέλιτος ποιῆσαι πηγὴν τὸ στόμα καὶ ταμιεῖον τῆς συμμίκτου σοφίας τὴν γλῶσσαν, ᾗ ἐνθεωρεῖται ἡ γῆ τῆς ἐπαγγελίας ἡ ῥέουσα γάλα καὶ μέλι· τοσοῦτον δὲ αὐτὴν διὰ τῶν ἀναβάσεων ὑψώσας ὁ λόγος ἔτι πρὸς τὸ ὑψηλότερον ἄγει τὴν ἐσθῆτα αὐτῆς εὐπνοεῖν λέγων κατὰ τὴν τοῦ λιβάνου ὀσμήν, δι' οὗ τὸ ἐνδεδῦσθαι αὐτὴν τὸν Χριστὸν μαρτυρεῖ ὁ λόγος· παντὸς γὰρ ἐναρέτου βίου τέλος ἡ τοῦ θεοῦ μετουσία γίνεται (διὰ γὰρ τοῦ λιβάνου τὸ θεῖον ἐνδείκνυται)· καὶ οὐδὲ ἐν τούτοις ἔστη ἡ πρὸς τὸ ὑψηλότερον ἀεὶ χειραγωγουμένη ὑπὸ τοῦ λόγου ψυχή, ἀλλὰ μετὰ τὸ ὁμοιωθῆναι τῷ λιβάνῳ τὴν εὐοδμίαν κῆπος γίνεται καθ' ὁμοιότητα τοῦ παραδείσου, κῆπος οὐχ ὡς ἐν τοῖς πρώτοις ἀνθρώποις ἦν ἀνετός τε καὶ ἀφύλακτος, ἀλλὰ τῇ μνήμῃ τῆς ἐντολῆς πανταχόθεν τετειχισμένος.

Ὁρᾷς ὅσην προσέλαβεν εἰς τὸ ἄνω τὴν δύναμιν. πάλιν ὅρα μοι τὴν ὑπὲρ τοῦτο ἀνάβασιν· οὐ γὰρ μόνον κῆπος κεκλεισμένος ἐγένετο τὴν ἰδίαν καρποφοροῦσα τροφήν, ἀλλὰ καὶ πότιμος γίνεται τοῖς διψῶσιν εἰς πηγῆς φύσιν μετατεθεῖσα καὶ ταύτης ἐσφραγισμένης. καὶ οὐδὲ ἐν τούτοις

7 cf Exod 3, 8 et 17; Deut 6, 3; 31, 20 et alibi 10 cf Gal 3, 27; Rom 13, 14 11-12 cf supra p 272, 12-19

ERªΛY SΘ Σ PVT CN Syr 1 ἡ alt SΘΣ: om cett v 3-4 ὑψηλῶν P 5 ηὐξήνθη N ἠξιώθη V πηγὴν ποιῆσαι N ταμεῖον ΛΥPN 6 γλῶτταν ΛΥ θεωρεῖται ΛΥ 7 μέλι καὶ γάλα ERªΛYVv δὲ eras E om Rªv 8 τὸ om V 10 ὀσμὴν coll ante 9 τοῦ P τὸ om SΘ ἐνδύεσθαι P (αὐτὴ)ν corr in ras E^2 αὐτῇ Syr, fort recte 11 θεοῦ: χριστοῦ T 13 ἐστὶν Σ(corr $Σ^2$)V ἀεὶ om SΘ 13-14 ὑπὸ τοῦ λόγου coll ante χειραγωγουμένη ERªΛYv post ψυχὴ Σ 14-15 τοῦ λιβάνου ERªΛYv τὴν coll ante τοῦ λιβάνου ΛΥ 15 corr et τῇ et εὐοδμίᾳ $Λ^2$ εὐωδίαν VT 16 κῆπος: παράδεισος Syr 19 προσέλαβον ΛΥ τὴν om E (in marg adscr E^2) ante πάλιν add καὶ SΘ 20 post μοι add καὶ Syr τούτου P 21 ἐγίνετο ΛΥP τὴν—τροφήν om SΘ ἰδίαν ΣPVTCN Syr: ἰδείαν Rª ἠδεῖαν ΕΛΥv

ἔστη, ἀλλ' εἰς τοσοῦτον ἔφθασε τῆς ἐπὶ τὸ μεῖζον αὐξήσεως, ὡς ἐκ τοῦ στόματος αὐτῆς βλαστάνειν παράδεισον (ὁ γὰρ ἀκριβέστερον προσσχὼν τῇ τῆς Ἑβραϊκῆς λέξεως ἐμφάσει ἀντὶ τοῦ εἰπεῖν· Ἀποστολαί σου ἐκ στόματός σου, φησί· Παράδεισος ῥοῶν, ὅπερ τοιοῦτόν ἐστιν ὅτι ὁ λόγος σου, ὁ διὰ τοῦ στόματός σου ἀποστελλόμενος, παράδεισός ἐστι ῥοῶν. αἱ δὲ ῥόαι παγκαρπίαν τινὰ τῶν ἀκροδρύων ἐκφύουσι,
969 M. τὰ δὲ ἀκρόδρυα κύπρος μετὰ νάρδου, νάρδος καὶ κρόκος, κάλαμός τε καὶ κιννάμωμον καὶ πᾶν εἶδος τοῦ λιβάνου καὶ σμύρνα καὶ ἀλόη καὶ τὰ πρωτόμυρα). ἐπειδὴ τοίνυν κατὰ τὸν ἐν τῇ ψαλμῳδίᾳ μακαρισμὸν τῆς ἀντιλήψεως αὐτῇ παρὰ τοῦ θεοῦ γινομένης τὰς καλὰς ταύτας ἀναβάσεις ἐν τῇ καρδίᾳ διέθετο πάντοτε ἐκ δυνάμεως πορευομένη εἰς δύναμιν, καλῶς ἐπὶ τῆς τελειοτέρας καταστάσεως ῥοῶν παράδεισος αἱ τοῦ στόματος αὐτῆς ἀποστολαὶ ὀνομάζονται. προσφυῶς δὲ τῷ ὑποκειμένῳ νοήματι ἡ λέξις τῆς ἀποστολῆς ἐφηρμόσθη· τὸ γὰρ ἀποστελλόμενον ἀπὸ τοῦ πέμποντος εἰς τὸν ὑποδεχόμενον μεταβαίνει. καὶ τοῦτο ἐκ τῆς συνήθους τοῦ ῥήματος

11-13 cf Ps 83, 6 et 8

ERªΛY SΘ(post 18 μεταβαίνει deff foll 4) Σ PVT CN Syr 1 τοσοῦτον: τοῦτο SΘPVCN ἔφθασε: ἔστη N 2 τοῦ om P αὐτὴν N 3 προσσχὼν CNT(sscr σ pr): προσχὼν SΘΣPV προσέχων ERªΛYv προσχὼν coll post λέξεως SΘ διαλέξεως ERªΛY om v τῇ—ἐμφάσει: τῇ Ἑβραϊκῇ λέξει Syr 4 εἰπεῖν om Syr ante ἀποστολαί add αἱ v post σου pr add παράδεισος ῥοῶν Syr post ἐκ add τοῦ ERªΛYv σου alt om Θ φησί codd v: εὑρήσει Syr (et add ante ἀντὶ interpretamentum: ὥσπερ εὕρομεν ἐν ταῖς βίβλοις) scil ante 5 Παράδεισος subaudiendum: Ἀποστολαί σου 5 ὅτι om V σου om ERªΛYv σου ὁ: οὐ Σ 6 διά: ἀπὸ v τοῦ om ΣV post σου iterat verba inde a 4 φησί usque ad 6 σου Rª 8 κύπρος: κῆπος P(sed corr)VT(in marg γρ κύπρος)CN νάρδος (cf infra p 283, 19) Syr: om codd v post κρόκου (sic) add καὶ Σ 9 τε om ERªΛYΣv κινάμωμον RªΛYSPCN post πᾶν add ἄλλο N καὶ tert om Syr 10 πρῶτα μῦρα ERªΛYv 11 τῷ ψαλμῷ διαμακαρισμὸν v ἀνταμείψεως ΛΥ αὐτῆς C 12 γενομένης S 13 πορευόμενος Rª 14 τελειωτέρας Σ 16 προκειμένῳ Σ ἐφηρμόσθη: ὀνομάζεται Σ 17 ἀπὸ: ὑπὸ PC(corr C^2)N 18 τῆς: τοῦ Y

καταχρήσεως ἔστι μαθεῖν, ὡς καὶ τὸ εὐαγγέλιον λέγει, ὅτι τοὺς μαθητὰς τοὺς πρὸς τὸ κήρυγμα τῆς ἀληθείας ἐκπεμπομένους ἀποστόλους ὁ λόγος ὠνόμασεν. τί οὖν ἐστιν ὃ ἀποστέλλει τὸ στόμα τῆς νύμφης; δῆλον ὅτι τὸν λόγον τῆς πίστεως, ὃς ἐν τοῖς ὑποδεχομένοις γενόμενος παράδεισος γίνεται διὰ τῆς ἀκοῆς ταῖς καρδίαις ἐμφυτευόμενος. τὸ δὲ κατάφυτον καὶ συνηρεφὲς τοῖς δένδροις ἄλσος παράδεισον εἴωθε καλεῖν ἡ συνήθεια. ὡς ἂν οὖν καὶ τὸ γένος μάθοιμεν τῶν φυτῶν, ὅπερ διὰ τοῦ λόγου ταῖς ψυχαῖς τῶν πεπιστευκότων κηπεύεται, ῥόας ὀνομάζει τὰ δένδρα, ἃς φυτηκομεῖ ὁ λόγος ὁ παρὰ τοῦ στόματος τῆς νύμφης ἀποστελλόμενος. ἡ δὲ ῥόα δυσεπιχείρητός ἐστι τῷ κλέπτῃ ἀκανθώδεις προβαλλομένη τοὺς ὄρπηκας καὶ τὸν καρπὸν αὐστηρῷ τινι καὶ πικραίνοντι κατὰ τὴν γεῦσιν τῷ προκαλύμματι περιέχουσά τε καὶ ὑποτρέφουσα, ὃς κατὰ τὸν ἴδιον καιρὸν μετὰ τὸ πεπανθῆναι τοῦ ἐλύτρου περιρραγέντος ἔνδοθεν διαφαίνεται, ἡδὺς μὲν τὴν ὄψιν καὶ εὐδιάθετος, μελιηδὴς δὲ τὴν γεῦσιν καὶ ἄλυπος, ὁ καταγλυκαίνων τῷ οἰνώδει χυμῷ τὰ γευστικὰ αἰσθητήρια. διὰ τοῦτό μοι δοκεῖ ῥοῶν παραδείσους ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς ὁ ἀποστελλόμενος ἐκ τοῦ στόματος τῆς νύμφης λόγος ἐργάζεσθαι, ἵνα διδαχθῶμεν διὰ τῶν λεγομένων μὴ διά τινος ἐκλύσεως

2 cf Marc 3, 14   3 cf Luc 6, 13

ER^{a}ΛY S Σ PVT CN Syr 1 (κατα)χρή(σεως)corr E^2 in ras 2 ὅτι: ὅτε PCN(ut vid) μαθητὰς τοὺς iterat N τῆς ἀληθείας om (sec Marc 3, 14) P(adscr in marg) 5 γινόμενος VN 6 τῇ καρδίᾳ P τῆς καρδίας C(eras bis ς)N 7 καὶ om R^a 9 φυτῶν om Σ(inter col add Σ^2) ἅπερ Syr 11 ἃς: ἃ S φυτοκομεῖ ΣPVT 14-15 καλύμματι ER^{a}ΛYv προγλυκύματί N 15 τε περιέχουσα N ὑποστρέφουσα ΛYPC (del σ pr) 16 ἀπεπανθῆναι NC(eras ἀ) 17 καὶ εὐδιάθετος om P ἀδιάθετος V 18 μελιηδὴς ER^{a}SNC^2: μελιειδὴς cett v ὁ CN: om PV καὶ cett v 19 οἰνώδει ΣΣV: οἰνωδῶ PC(ut vid, corr -πῶ C^2)N(οἰνοδο) οἰνοειδεῖ ER^{a}ΛYTv 20 παραδείσους EΛYSΣT: παράδεισον V παράδεισος R^{a}PCNv Syr sed 21 ἐργάζεσθαι sensu act!, ad plur cf infra 286, 20 21 τοῦ νυμφίου V ante λόγος add ὁ Y

καὶ τρυφῆς κατὰ τὴν παροῦσαν ζωὴν μαλακίζεσθαι, ἀλλὰ τὸν κατεσκληκότα διὰ τῆς ἐγκρατείας αἱρεῖσθαι βίον· οὕτω γὰρ ἂν ἀπρόσιτος γένοιτο τοῖς κλέπταις ὁ τῆς ἀρετῆς καρπὸς τῇ στυφῇ τῆς ἐγκρατείας περιβολῇ πεφραγμένος καὶ διὰ τῆς σεμνῆς τε καὶ ἀμειδοῦς καταστάσεως οἷόν τισιν ἀκανθῶν ἀκμαῖς ἀμύσσων τοὺς ἐπὶ κακῷ προσεγγίζοντας. ἀλλ' ὅταν ὁ καιρὸς παράσχῃ τῆς ἀπολαύσεως τῶν καρπῶν τὸ ἐνδόσιμον, παγκαρπία τῆς τρυφῆς ἐκ παντὸς γένους τῶν ἀκροδρύων ἡ ῥόα γίνεται οὐκ ἐν βραβύλοις ἢ βαλάνοις ἤ τισι τοιούτοις τῆς τῶν καρπῶν ἀπολαύσεως γινομένης, ἀλλὰ ποικίλη τις καὶ πολυειδὴς ἀρωμάτων φύσις ἐν τοῖς ἀκροδρύοις εὑρίσκεται· κύπρος γάρ ἐστι μετὰ νάρδου ἡ καλὴ συζυγία, τὸ μὲν θερμὸν τὸ δὲ εὐῶδες· οὐ γὰρ ἐπαινετὸν ἐφ' ἑαυτοῦ τὸ θερμόν, ὅταν δυσώδης πύρωσις ἡ θερμότης ᾖ, ἀλλὰ συμμαρτυρεῖσθαι χρὴ τῷ θερμῷ διὰ τῆς εὐπνοίας τὴν καθαρότητα, ἵνα γένηται τῷ ἁγίῳ πνεύματι ζέων ὁ τῆς ἀηδοῦς θερμότητος κεκαθαρμένος. ἐν τούτοις ἔστιν εὑρεῖν τοῖς ἀκροδρύοις καὶ ἄλλα ἀρώματα· νάρδον φησὶ καὶ κρόκον. ἀλλὰ τῆς μὲν νάρδου τὴν εὔπνοιαν ἐν τοῖς ἄνω μεμαθήκαμεν λόγοις, ὑπόλοιπον δ' ἂν εἴη τοῦ
972 M. κρόκου τὸ αἴνιγμα παραστῆσαι τῷ λόγῳ. φασὶ μὲν οὖν οἱ

17 cf Rom 12, 11   21 sqq ex Origen Comm hausta esse videntur, qui auctores suos hoc modo laudare solet. fontem doctrinae neque hic neque infra p 285, 4-10 inveni.

ER^{a}ΛY S Σ PVT CN Syr 1 post καὶ add τῆς PVC(eras)N et coll τρυφῆς post παροῦσαν et om ζωὴν V 3 ἂν om ER^{a}Λ (add Λ^2)YTv τοῖς: τῆς V τῆς: τοῖς N 4 ante τῆς add καὶ τῇ ER^{a}ΛYv 5 διὰ: δὴ Y 6 ἀκανθαῖς N post ἐπὶ add τῷ V 6-7 προσϊτίζοντας P 7 παράσχοι T 8 ἀιδέσιμον T τῆς: τίς V(in ras)N 9 ἡ om ER^{a}ΛYTv ἡ ῥόα om Syr 10 post τισι add τοῖς v 12 ἐκ τῶν ἀκροδρύων ER^{a}ΛYTv 13 νάρδου (cf supra p 281, 8) Syr: νάρδον V νάρδων cett v ante θερμὸν add εὐῶδες καὶ T 14 ἑαυτῶν P(corr P^2) 15-16 ἀλλὰ—καθαρότητα om P 17 ἁγίῳ om ER^{a}Tv post ὁ add διὰ Σ ἀληθοῦς Σ θεότητος R^a(sed corr) 18 post τούτοις add δὲ Syr ante ἄλλα add τὰ ER^{a}ΛYv βρώματα P 19 ante φησι add γάρ Syr τῆς: τοῖς R^{a}T (sed corr) 20 λοιπὸν ER^{a}Tv 21 παραστῆναι N οὖν om P

τὴν δύναμιν τοῦ ἄνθους τούτου κατανοήσαντες μέσως ἔχειν ψύξεώς τε καὶ θερμότητος καὶ τῷ φεύγειν τὴν ἐφ' ἑκάτερον ἀμετρίαν παρηγορικὴν τῶν ὀδυνῶν ἔχειν τὴν δύναμιν, ὡς διὰ τούτου τάχα τὸν περὶ τῆς ἀρετῆς ἡμῖν λόγον φιλοσοφεῖν τῷ αἰνίγματι, διότι πᾶσα ἀρετὴ δύο κακιῶν ἐστι μέση, τῆς τε ἐλλείψεως τοῦ καλοῦ καὶ τῆς ὑπερπτώσεως. οἷον τὴν ἀνδρείαν ἢ τὴν ἐλευθερίαν φασί, τὴν μὲν δειλίας τε καὶ θρασύτητος, τὴν δὲ μικρολογίας τε καὶ ἀσωτίας ἐν μέσῳ θεωρεῖσθαι· καὶ τὴν μὲν δειλίαν τε καὶ μικρολογίαν κατ' ἔλλειψιν τοῦ καθήκοντος ἐν κακίᾳ λέγουσι γίνεσθαι, τὴν δὲ ἀσωτίαν καὶ τὴν θρασύτητα κατὰ πλεονασμὸν καὶ ὑπέρπτωσιν, τῆς δὲ καθ' ἑκάτερον ἀμετρίας τὸ μέσον ἀρετὴν ὀνομάζουσιν. οὐκοῦν ἔχοι ἄν τι πρὸς τὴν ἀρετὴν ὁ περὶ τοῦ κρόκου λόγος ἀκόλουθον τῇ τῆς δυνάμεως μεσότητι τὸ ἀνελλιπές τε καὶ τὸ ἀπέριττον τῆς ἐναρέτου καταστάσεως ἑρμηνεύων, ἐγὼ δέ φημι, κἂν ἰδιωτικώτερον ᾖ τὸ λεγόμενον, τάχα μᾶλλον πρὸς τὸν τῆς πίστεως λόγον οἰκειότερον τὸ αἴνιγμα τοῦ κρόκου παραλαμβάνεσθαι· τριπλῷ μὲν

5-15 cf De virg p 282, 25-283, 25 (Vol VIII, 1 Jaeger); Vita Moys 420 A/B; In Eccl 697 C/D; In Psal 529 B (Migne); cf Aristot ex. gr. Eth Nic B 6, p 1107 a 2; ἀνδρεία: cf ibid p 1116 a 4-9; ἐλευθερία: cf [Aristot] Magn Mor A 24 (μικρολόγος p 1192 a 10). apud ipsum Arist voces neque ἐλευθερία (= ἐλευθεριότης) neque μικρολογία neque ὑπέρπτωσις inveniuntur. Gregorii fontem Peripateticum nescimus. fortasse totum 'sermonem de virtute' (cf 4-5) ex Origen Comm transtulit, quem sermone suo de fide (17) superaret.

ER^{a}ΛY S Σ PVT CN Syr 2 τῷ: τὸ E(corr E^2)R^{a}C(corr C^2)v ἐφ': ἀφ' ΛY 3 παρηγοριτικὴν Σ 3-4 παρηγορικὴν—δύναμιν om v 3 ὀδυνωμένων PVCNT(in marg cum nota γρ) ἔχειν coll ante τῶν T ἔχει V 4 τούτο(sic) R^a τῆς om T 5 δύο om ER^{a}ΛYT(add in marg)v κακῶν v 7 ἢ: καὶ ER^{a}ΛYv Syr 8 θαρσύτητος N μικρολο^{υ} Λ μικρολόγως Y τε: δὲ Y om SVCN 9 τε om S post καὶ alt add τὴν PVCN μικρολο^{υ} Λ σμικρολογίαν T μακρολογίαν N 10 λέγουσι coll post γίνεσθαι SPCN om T γίνεσθαι: ἀριθμεῖσθαι Syr 11 τὴν alt om PVCN 12 ἕτερον ΛY ετέρων N 13 ἔχοιεν S(ut vid, ιεν obl) ἔχει P πρός: περὶ Nv τὴν: τινα ER^{a}Y om P 15 ἀνελλειπές E(corr E^2)VCNv τὸ om ER^{a}ΛYv περιττὸν Σ ἐπαρέτου ER^a 16 ἑρμηνεῦον Sv 18 τριπλῶς Syr

γὰρ ὑποτρέφεται τὸ ἄνθος τῷ κάλυκι καὶ αὐτὸς δὲ ὁ κάλυξ ἐν ἀεροειδεῖ τῇ χρόᾳ ἄνθος ἐστίν, ἐκδυθείσης δὲ τῆς τῶν καλύκων περιβολῆς τρία εὑρίσκεται πάντως τὰ εὐπνοοῦντα καὶ χρησιμεύοντα πρὸς τὰς ἰάσεις ἄνθη τὰ ὑποκεκρυμμένα τοῖς κάλυξι, μεγέθει καὶ κάλλει καὶ εὐπνοίᾳ καὶ τῇ τῆς δυνάμεως ἰδιότητι ὡσαύτως πρὸς ἄλληλα ἔχοντα καὶ ἓν τὰ τρία διὰ πάντων δεικνύμενα εὐχροίᾳ τε, καθὼς εἴρηται, καὶ εὐπνοίᾳ καὶ τῷ ποιῷ τῆς δυνάμεως. οἷς συμπαραπέφυκεν ἕτερα τρία, ξανθὰ μὲν ἰδεῖν ἄποια δὲ πρὸς πᾶσαν ὑγιεινὴν εὐχρηστίαν. περὶ ἃ γίνεται τοῖς ἀπείροις ἡ πλάνη τοῖς διὰ τὴν εὔχροιαν τὸ νόθον δρεπομένοις ἀντὶ τοῦ κρείττονος. ὅπερ καὶ νῦν ποιοῦσιν οἱ περὶ τὴν πίστιν ἐξαμαρτάνοντες τὰς σεσοφισμένας ἀπάτας πρὸ τῶν ὑγιεινῶν δογμάτων αἱρούμενοι. ἑλέσθω δὲ ἐξ ἑκατέρων ἡ τοῦ ἀκροατοῦ κρίσις ὃ βούλεται, εἴτε τὸ ἕτερον ἐξ αὐτῶν εἴτε ἀμφότερα· ἓν γὰρ τρόπον τινά ἐστιν ἀμφότερα ἥ τε τῆς τελείας ἀρετῆς καὶ ἡ τῆς θεότητος κτῆσις· οὐ γὰρ ἔξω ἡ ἀρετὴ τῆς θεότητος.

Ἡμεῖς δὲ ἐπὶ τὴν τῶν λοιπῶν ἀρωμάτων θεωρίαν μετέλθωμεν τῶν δι' ἀκολούθου μνημονευθέντων ὑπὸ τοῦ λόγου. κάλαμος, φησί, καὶ κιννάμωμόν ἐστι τὰ ἀκρόδρυα τὰ ἐκ τῶν ῥοῶν τοῦ παραδείσου τῆς νύμφης καρποφορούμενα. ἀλλὰ τὸν μὲν κάλαμον εὐπνοίᾳ προέχειν ὑπὲρ τὰ ἄλλα

ER^{a}ΛY S Σ PVT CN Syr 1 ὑποστρέφεται N ἐκτρέφεται P 2 ἀερώδει(vel -δῃ) SPVTC(in marg adnot ὑακινθίζει γάρ C^2)N χροιᾶ ER^{a}ΛYΣv ἐκδυθείσης PVCN: ἐκλυθείσης cett v Syr 3 εὐπνοῦντα R^{a}C(corr C^2) εὐπροοῦντα P(sed corr) 3-4 καὶ χρησιμεύοντα om P 4 τὰς om Σ ὑποκειμένα(sic)P 6 ἔχοντα coll ante πρὸς P 7 καθὼς εἴρηται om CN 8 οἷς: ἃς C (ut vid, corr ὧ C^2 ut vid) 10 περὶ: πρὸς ΛY 11 τῆς εὐχροίας SΣPVCN 12 ἐξαμαρτεύοντες v 13 ante τὰς add καὶ ΛY ἀπάσας N πρὸς N 14 ἐρούμενοι EC(corr E^{2}C^2) εὑρούμενοι Σ εὑράμενοι N δὲ ER^{a}ΛYTv: δὴ Syr om cett ἑκατέρου ER^{a}ΛYT(sed corr)v ἀκροατοῦ ER^{a}ΛYΣPv Syr: ἀκράτου V ἀκροτάτου STCN κρίσις: φύσις P(sscr γρ κρίσις) 16 ἓν—ἀμφότερα om NT(add in marg T^2) ἀρετῇ R^a 17 ἡ alt om ER^{a}v 20 κινάμωμον YSPCN κινάμωμος Λ ante ἔστι(sic) add καὶ ἀκρόδρυα v τὰ pr: καὶ CN τὰ alt: τῶν V 22 εὐπνοία iterat N προσέχειν NV(eras σ)

φασίν, ὡς καὶ πρὸς τὸ ἱερατικὸν θυμίαμα ὑπὸ τοῦ νόμου παραλαμβάνεσθαι, τὸ δὲ κιννάμωμον πολυειδῆ τινα καὶ ποικίλην ἐνέργειαν διά τινος φυσικῆς δυνάμεως ἐπαγγέλλεσθαι, ὧν τὰ πολλὰ καὶ ὑπὲρ πίστιν εἶναι δοκεῖ· καὶ γὰρ ζέοντός φασι τοῦ ἐν τῷ λέβητι ὕδατος εἴπερ θίγοι μόνον τοῦτο τὸ ἄρωμα, εὐθὺς καταψύχειν τὸ ὕδωρ καὶ λουτρῷ ἐπεισενεχθὲν διαπύρῳ μεταποιεῖν τὸν ἐν τῷ ἀέρι φλογμὸν εἰς ψυχρότητα καὶ ἀφανιστικὴν τῶν ἐκ φθορᾶς τινος ζωο- 973 M. γονουμένων τὴν φύσιν ἔχειν. καὶ ἄλλα τοιαῦτα περὶ αὐτοῦ διεξέρχονται, ἃ ὑπὲρ τὴν πίστιν τῶν ἀκουόντων εἶναι δοκεῖ· λέγουσι γάρ, εἰ ἐντεθείη τῷ στόματι τοῦ καθεύδοντος, μηδὲν ἐμποδίζεσθαι πρὸς τὴν τῶν πυνθανομένων ἀπόκρισιν τὸν καθεύδοντα, ἀλλὰ καὶ ἐν τῷ ὕπνῳ μένειν αὐτὸν καὶ νηφαλίους καὶ διηρθρωμένας ποιεῖσθαι πρὸς ἔπος τὰς ἀποκρίσεις. περὶ ὧν διαβεβαιώσασθαι μὲν οὕτως ἔχειν τὸν μὴ διὰ τῆς πείρας μαθόντα τῶν ἱστορουμένων περὶ αὐτοῦ τὴν ἀλήθειαν προπετὲς ἂν εἴη καὶ ἀνεπίσκεπτον· πλὴν ἀλλ' ἐπειδὴ κατά τινα μυστικὸν λόγον ἐνηριθμήθη τῷ καταλόγῳ τῶν ἀκροδρύων καὶ τοῦτο τὸ ἄρωμα οὐκ ἀληθῶς ῥοῶν ἐκφυόμενον (οὐδὲ γὰρ ὄντως αἰσθητοὺς παραδείσους τὸ στόμα τῆς νύμφης προΐεται, ἀλλ' ὥστε σύμβολον γενέσθαι

1 cf Exod 30, 23 12 sqq cf etiam infra p 311, 11 sqq

ER^{a}ΛY S Σ PVT CN Syr 1 φασὶν coll ante 285, 22 ὑπὲρ PVCN φησίν (add ὁ λόγος) Syr ἱερὸν ER^{a}ΛYTv 2 κινάμωμον R^{a}ΛYSPCN 3 φυσικῆς iterat T(eras alt) 3-4 ἐπαγάλλεσθαι N 4 ὧν: οὗ ut vid Λ^2(ex corr) ὡς T(sed corr) 5 φασι SΛ^2(ex φησὶ)Syr: φησι cett v 7 φριγμὸν v 10 post ἃ add δὲ P add ὥσπερ ἔλεγον Syr εἶναι om SVCN 14 νηφαλαίους YΛ(corr -έους Λ^2)E(ut vid, corr E^2)C(corr C^2)νηφαλέους v διηρθρωμένους Λ(fort?, corr Λ^2) ante πρὸς add καὶ ΛY 15 διαβεβαιοῦσθαι T(-οῦ- ex corr) post ἔχειν add οὐκ ἀναγκαῖον VCN 16 μὴ om CN 17 ante ἂν add γὰρ V 18-19 ⁚σηρίθμειτ··· καταλόγω N(sciss) 19 ἀκροδρύων: ἀρωμάτων Syr τὸ ἄρωμα om Syr 20 ἐκφυομένων PVCNv γὰρ om P ὄντως: οὕτως v ὄντας καὶ Syr 21 τῷ στόματι N σύμβουον(sic) R^a(sed corr) σύμβουλον Λ(corr Λ^2)YPC(corr C^2)N

νοήματός τινος τῶν εἰς ἔπαινον συντελούντων τῇ νύμφῃ), οὐκ οἶμαι καλῶς ἔχειν ἀποβαλεῖν τὰ περὶ τοῦ κινναμώμου μυθολογούμενα, ταῦτά τε ἃ νῦν περὶ αὐτοῦ διεξῆλθεν ὁ λόγος καὶ εἴ τι μετὰ τούτων ἄλλο τοῖς τὰ περὶ αὐτοῦ διηγουμένους διεξιέναι δοκεῖ· γένοιτο γὰρ ἄν τις πρὸς τὸν κατ' ἀρετὴν ἔπαινον ἐκ τῶν λεγομένων συνεισφορὰ ἑκάστου τῶν ἱστορηθέντων εὐσήμως μεταλαμβανομένου πρὸς ἔνδειξιν τῆς τοῦ βίου τοῦ κατ' ἀρετὴν τελειότητος· ἔστι γὰρ ἐν τοῖς πεπαιδευμένοις τε καὶ λελογισμένοις τοῦτο εὑρεῖν ἐν τῇ ψυχῇ τὸ κιννάμωμον· ὅταν τις ἤτοι δι' ἐπιθυμίας ζέων ἢ τῷ θυμῷ πυρακτούμενος τῷ λογισμῷ κατασβέσῃ τὰ πάθη ἢ ἐν τῷ ὕπνῳ τοῦ βίου διὰ στόματος ἔχων τὸ νηφάλιον τοῦτο τοῦ λογισμοῦ κιννάμωμον παραπλησίως τοῖς ἀΰπνοις τε καὶ ἐγρηγορόσιν ἀγγέλοις ἀπλανῆ καὶ ἀσύγχυτον ἐπιδεικνύῃ τὴν τῶν λεγομένων διάνοιαν μιμούμενος διὰ τῆς ἀληθείας τοῦ λόγου τὴν ἄϋπνον τῶν ἀγγέλων φύσιν, οὓς οὐδεμία φαντασίας ἀνάγκη τῆς ἀληθείας ἐξίστησιν, οὗτος λέγοιτο ἂν βρύειν διὰ τοῦ στόματος τὸ κιννάμωμον, δι' οὗ καὶ τῆς ἐπιθυμίας ἡ πύρωσις καὶ ἡ περικάρδιος

14 cf ex. gr. Clem Alex Paed II 9; 79, 1 = p 206, 1-3 Stählin

ER^{a}ΛY S Σ PVT CN Syr 1 τῆς νύμφης V om S 2 et om ἀποβαλεῖν et post 5 δοκεῖ add παραλιπεῖν ER^{a}Tv κιναμώμου R^{a}ΛYSPCN 3 τε om V νῦν om R^a ἐξῆλθεν R^a διεξῆλθεν—4 αὐτοῦ om PVCN 4 τὰ om T 8 τοῦ alt om ER^{a}TCv τοῦ βίου τοῦ om V βίου(om bis τοῦ)coll post ἀρετὴν Σ ἔστι—10 ψυχῇ: ἔστι γὰρ ἐν τῇ τῶν πεπαιδευμένως τε καὶ λελογισμένως βιούντων ψυχῇ τοῦτο εὑρεῖν V ἔστι γὰρ εὑρεῖν ἐν ταῖς ψυχαῖς τῶν εὖ πεπαιδευμένων τοῦτο Syr 9 τε om Σ λελοσμένοις Σ(corr Σ^2 ut vid) 10 ἐν τῇ: ἐτῇ N κινάμωμον R^{a}ΛYSPC ἤτοι: ἢ SΣ εἴτε V δι' om V ἐπιθυμίαν CNv τῇ ἐπιθυμίᾳ V 11 τῶ τοῦ θυμοῦ πυρὶ ἀτακτούμενος V διὰ τὸν θυμὸν πυρακτούμενον N τῶν λογισμῶν N 12 τῷ βίῳ τοῦ ὕπνου V 13 νηφάλαιον PCE(corr C^{2}E^2) κινάμωμον ΛYSPCN 14 ante καὶ alt add τε T 15 post ἀσύγχυτον add ἔχων N ἐπιδεικνύῃ Λ^{2}T(-η ex corr)C^2: ἐπιδεικνύοι ER^{a}SΣV ἐπιδεικνύει cett v 17 ὃς Λ(corr Λ^2)Y οἷς S οὐδεμιᾶς Λ(corr Λ^2)Yv φαντασία N φαντασία καὶ P 18 οὕτω PN ἂν βρύειν: ἀναβρύειν ER^{a}Pv τὸ: τὸν R^a κινάμωμον R^{a}ΛYSPCN 19 ἡ pr coll ante τῆς v ὑπερκάρδιος P

τοῦ θυμοῦ κατασβέννυται ζέσις, καὶ πάσης τῆς κατὰ τὸν βίον τοῦτον ὀνειρώδους φαντασίας τε καὶ συγχύσεως καθαρεύειν τῷ λόγῳ. καὶ μηδεὶς πρὸς τὸ ἀπίθανον βλέπων τῶν περὶ τοῦ κινναμώμου λεγομένων διαβαλλέτω τὸν λόγον ὡς οὐκ ἐκ τῶν ἀληθῶν προσάγοντα τῇ νύμφῃ τὸν ἔπαινον· οἶδε γὰρ πολλάκις ἡ ἁγία γραφὴ καὶ μύθους τινὰς ἐκ τῶν ἔξωθεν συμπαραλαμβάνειν εἰς τὴν τοῦ ἰδίου σκοποῦ συνεργίαν καὶ ἀνεπαισχύντως ἐκ τῆς μυθικῆς ἱστορίας ὀνομάτων μνημονεύειν τινῶν εἰς ἐναργεστέραν ἔνδειξιν τοῦ προκειμένου νοήματος, ὡς ἐπὶ τῶν τοῦ Ἰὼβ θυγατέρων, ὧν τὸ κάλλος ὑπερθαυμάσας ὁ λόγος καὶ διὰ τῶν ὀνομάτων τὴν ὑπερβολὴν τοῦ περὶ αὐτῶν θαύματος ἐνεδείξατο λέγων τὴν μὲν Ἡμέραν λέγεσθαι τὴν δὲ Κασίαν τὴν δὲ τρίτην Ἀμαλθείας Κέρας. τοῦτο δὲ παντὶ δῆλόν ἐστιν ὅτι μῦθος Ἑλληνικὸς ἔπλασε τὸ κατὰ τὴν Ἀμάλθειαν διήγημα, ἣν αἶγα οὖσαν τροφὸν γενέσθαι τοῦ Κρητὸς ἐκείνου μυθολογοῦσιν, ἧς τοῦ ἑνὸς ἐκπεσόντος κέρως βρύειν ἐκ τοῦ κοίλου τὴν παγκαρπίαν ὁ μῦθος ἐποίησεν. ἆρ' οὖν ἐπίστευσε τοῖς περὶ τῆς Ἀμαλθείας
976 M. μυθολογουμένοις ἡ ἁγία γραφή; οὐκ ἔστι ταῦτα. ἀλλὰ τὸ

12-13 cf Iob 42, 14 15-17 Gregorium (vel iam Origen in Comm) libello quodam mythographico usum esse apparet. quoad mythum cf ex. gr. Ovid Fast V 115-128, qui quidem Amaltheam Naïdem dicit. αἲξ Ἀμαλθείη invenitur apud Callim Hymn I 49 (cf schol, ed Pfeiffer Vol II p 44) 18-p 289, 5 cf Contra Eunom Vol I (Jaeger) p 339, 2-12

ER^{a}ΛY S Σ PVT CN Syr 1-2 τὸν βίον: τὸ μὴ ὂν N 2 τοῦτον: τον V 2-3 καθαρεύειν SVΛ^2(ex -ει): καθαρεύει cett v 3 τῶν om P 4 κιναμώμου R^a(sscr ν R^{a2})ΛYSPCN διαβαλέτω C 5 ἀληθινῶν ΛYN τὸν iterat Σ(alt del Σ^2) 7 συνεργείαν C συνεργεία N 9 ante τινων add ὧν PC(eras)N ἐνεργεστέραν ER^{a}SP 9-10 τινῶν—νοήματος om V 10 ὧν om ER^{a}ΣTv de Syr non liquet 12 αὐτὸν Y ἀνεδείξατο N 13 Κασσίαν ER^{a}ΣTv ἀμαλθίας R^{a}E^2(ι in ras)SVT(sed corr)CN 14 post παντί add που PVCN ὅτι: ὡς S 15 τὸ κατὰ om V ἀμαλθείαν R^{a}E^2(ει in ras)P ἀμαλθΐαν SΣVCN 16 ἧς: ἣν Λ(ν fort ex corr?) τοῦ alt: τὸ V 17 κέρατος P βρύουν V κύλου N κύκλου C 18 post ἐπίστευσε eras 9 fere litt Λ τῆς: τοῖς P ἀμαλθίας R^{a}E^2(ι in ras)SVCN 19 ἁγία: θεία ΣV

πάμφορον τῶν κατ' ἀρετὴν ἀγαθῶν μαρτυροῦσα τῇ θυγατρὶ τοῦ Ἰὼβ διὰ τοῦ ὀνόματος τούτου παρίστησιν, ὥστε τὸν λελογισμένως τῆς γραφῆς ἐπαΐοντα τὸν σκοπὸν τοῦ ἐπαίνου νοῆσαι μόνον ἐκ τοῦ ὀνόματος, τὰς δὲ μυθικὰς τερατείας χαίρειν ἐᾶσαι· ὡς καὶ τὴν Κασίαν καὶ τὴν Ἡμέραν ἀκούσαντες οὔτε τὴν ἀρωματικὴν ὕλην οὔτε τὸν ὑπὲρ γῆς τοῦ ἡλίου δρόμον διὰ τῶν ὀνομάτων ἐμάθομεν, ἀλλὰ τῆς κατ' ἀρετὴν αὐτῶν πολιτείας ἔνδειξιν περιέχειν φαμὲν τὰ ὀνόματα· ὧν ἡ μὲν Κασία τὸ καθαρόν τε καὶ εὐῶδες τῶν ἐπιτηδευμάτων ἐνδείκνυται, ἡ δὲ Ἡμέρα τὸ εὔσχημον, καθώς φησιν ὁ ἀπόστολος τοὺς καθαρῶς βιοτεύοντας τέκνα φωτὸς καὶ υἱοὺς ἡμέρας κατονομάζεσθαι. οὕτως οὖν καὶ ἐνταῦθα οὐκ ἀσυντελῆ πρὸς τοὺς ἐπαίνους τῆς νύμφης ἐστὶ τὰ περὶ τοῦ κινναμώμου λεγόμενα διὰ τῆς τροπικῆς ἐξηγήσεως μεταλαμβανόμενα εἰς ἐγκωμίων ὑπόθεσιν.

Ὁ δὲ τοσοῦτος ἤδη γενόμενος καὶ πρὸς τοῦτο φθάσας τῶν ἐγκωμίων τὸ ὕψος διὰ τοῦ βίου διὰ πάντων τῆς θείας εἰκόνος ἐφ' ἑαυτοῦ δείκνυσι τοὺς χαρακτῆρας· τοῦτο γὰρ ἐνδείκνυται ὁ εἰπὼν ὅτι Ἀπὸ πάντων ξύλων τοῦ λιβάνου· οὐ γὰρ μονοειδὲς τοῦ λιβάνου τὸ ξύλον εἶναί φασιν οἱ τὰ τοιαῦτα παρατηρήσαντες, ὅθεν ὁ λιβανωτὸς ἀπορρέει, ἀλλ' ἔστι

11-12 cf I Thess 5, 5; Eph 5, 8

ER^a ΛYS Σ PVT CN Syr 3 λελογισμένον R^a(sed corr) λεγομένως Y(sed corr) 5 Κασσίαν EΣTv καὶ τὴν Ἡμέραν om N ἀκούοντες V ἀκούοντας PCN 6 γῆς: τῆς S om Λ(sscr Λ^2)Y 9 κασσία ER^{a}ΣTv καθαρώτερον v τε om Λ(add Λ^2)v 10 ἐνδείκνυται om P εὔσημον N 11 βιοῦντας ΛYS 13 τῇ νύμφῃ T 14 κιναμώμου E(sscr ν E^2)R^{a}ΛSPCN λεγόμενα om v τῆς om PVCN 16 ὁ δὲ iterat P τοιοῦτος S Syr ἤδη om Syr post φθάσας add ἤδη CN 18 ἑαυτῷ T δεικνύει T τοῦτο: τὸ V οὕτω ΛYS 19 ἀπὸ codd v Syr, suspectum (cf p 261, 18 et 277, 15) scil scriba librarius, qui Gregorio dictante sermonem velocissime excepit, ipsos Cant Cant versus a Gregorio laudatos non nisi nota 'inde ab' (ἀπὸ) brevissime designavit. deinde in libro exemplari nota illa ἀπὸ pro μετὰ in textum irrepsit. Gregorium neque hic neque alibi exemplar emendavisse patet. 20 εἶναί: ἢ P 21 ὁ om V ἀπορρέοι V ἀπορρόει N(sed corr)

τις ἐν τοῖς ξύλοις διαφορὰ τὸ τοῦ ἀρώματος σχῆμα τῷ εἴδει τοῦ ξύλου συνεξαλλάσσουσα. ὁ τοίνυν ἐν πᾶσι τοῖς ἐπιτηδεύμασι τοῦ βίου ἐπισημαίνων ἐν ἑαυτῷ τὸ θεοειδὲς πάντων δείκνυσιν ἐν ἑαυτῷ τῶν τοῦ λιβάνου ξύλων τὸ κάλλος, δι' ὧν τὸ θεῖον εἶδος χαρακτηρίζεται.

Οὐδεὶς δὲ κοινωνὸς τῆς τοῦ θεοῦ γίνεται δόξης μὴ σύμμορφος πρῶτον τῷ ὁμοιώματι τοῦ θανάτου γενόμενος. διό φησι καὶ τοῦτο ἐν τῷ καταλόγῳ τῶν ἀρωμάτων ὁ ἔπαινος ὅτι ῥοῶν ἀκρόδρυα τά τε λοιπὰ τῶν ἀρωμάτων ἐστὶν ἃ διεξῆλθεν ὁ λόγος καὶ μετ' αὐτῶν ἡ σμύρνα τε καὶ ἡ ἀλόη καὶ τὰ πρωτόμυρα· δι' ἐκείνων μὲν γάρ, τῆς σμύρνης λέγω καὶ τῆς ἀλόης, τὴν τῆς ταφῆς κοινωνίαν ἐνδείκνυται (καθώς φησι τὸ ὑψηλὸν εὐαγγέλιον ὅτι διὰ τούτων ἐγένετο ὁ ἐνταφιασμὸς τῷ ὑπὲρ ἡμῶν γευσαμένῳ θανάτου), διὰ δὲ τῶν πρωτομύρων τὸ καθαρόν τε καὶ ἀμιγὲς πάσης καπηλικῆς ῥᾳδιουργίας ὁ λόγος ἐνδείκνυται, ὥσπερ καὶ Ἀμὼς τοῖς διὰ τούτων τρυφῶσι τὰ τοιαῦτα προφέρει λέγων Οἱ τὸν διυλισμένον πίνοντες οἶνον καὶ τὰ πρωτόμυρα χριόμενοι καὶ πρὸ τούτων Οἱ ἐσθίοντες, φησίν,

6-15 cf supra p 189, 2-15 6-7 cf Rom 6, 5; Phil 3, 10 et 21 14 cf Joh 19, 39 14-15 cf Hebr 2, 9 18 Amos 6, 6 19-p 291, 2 Amos 6, 4/5

ER^a ΛYS Σ PVT CN Syr 1 τὸ: τῷ C(corr C^2)N 1-2 σχημοτοειδῆ NC(ut vid, corr C^2) 2 συνεξελάσσασα YΛ(fort?, corr Λ^2) σαναλλασσουσα (sic)P(et σσο et α corr in ras) 3 διασημαίνων P ἐν om ER^aTv 4 πάντων iterat N ἐν om V(sed sscr) ἐν ἑαυτῷ om P 5 εἶδος om V 6 τοῦ om v γίνεται coll ante τῆς ΛYS ante κοινωνὸς v 7 et scr συμμορφούμενος et om γενόμενος ER^aTv Syr(ut vid) τῷ—θανάτου om Σ post θανάτου add αὐτοῦ T Syr 8 τοῦτο: οὗτος E(corr E^2) τούτων V 9 τε om P 10 αὐτὸν N ἡ om ER^aTv τε om V 11 ἡ om PVTv πρῶτα μύρα ER^aΛYv ἐκείνω C(sscr ν C^2) 12 λέγων N post ἀλόης add καὶ N ταφῆς: νύμφης V post κοινωνίαν add ὁ λόγος V 13 δείκνυται v 14 τοῦτον N et τοῦ et γευσαμένου T Syr γευσαμένου N 15 πρώτων μύρων $R^a$$E^2$v 16 ὁ λόγος om V Syr ἐνδείκνυται om V 17 τὰ om ER^aTv τὰ τοιαῦτα om V 18 φέρει P τὸν—19 οἱ corr in ras Σ^2 οἶνον πίνοντες E$R^a$$\Sigma^2$Tv 18-19 τὰ πρωτόμυρα Σ^2T: τὰ μύρα τὰ πρῶτα ΛYS τὰ πρῶτα μύρα cett v LXX

ἐρίφους ἐκ ποιμνίου καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνὰ καὶ οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς οὔτε τὸν οἶνον τρυγίας ἀναθολούσης οὔτε ἐπὶ τοῦ μύρου μίξεώς τινος τὸ ἀκραιφνὲς τῆς εὐοδμίας διαφθειρούσης. ἀλλ' ἐκεῖ μὲν πάντως ὀνειδίζειν οἴεσθαι χρὴ τοῖς Ἰσραηλίταις τὴν προφητείαν, ὅτι ἄκρατον τὸν τῆς γραφῆς ἐμφορούμενοι λόγον πάσης τρυγίας διυλισμένον καὶ ἀδόλωτον ἔχοντες τῶν μύρων τὴν εὐοδμίαν καὶ διὰ πάντων κατατρυφῶντες τῆς πνευματικῆς πανδαισίας οὐδὲν ἀπώναντο τῆς τοιαύτης τρυφῆς τῆς κακῆς αὐτῶν προαιρέσεως καὶ τὸ διαυγὲς τοῦ
977 M. οἴνου εἰς ἀνατροπὴν θολερὰν μεταποιούσης καὶ τὸ καθαρὸν τῶν πρωτομύρων διὰ τῆς τῶν πονηρῶν νοημάτων ἐπιμιξίας λυμαινομένης, ἐνταῦθα μέντοι τὸ ἀκιβδήλευτόν τε καὶ καθαρὸν τῶν δογμάτων μαρτυρεῖ τῇ νύμφῃ ὁ λόγος διὰ τῆς τῶν πρωτομύρων καρποφορίας.

Καὶ οὐδὲ ἐν τούτοις ἔστη οὔτε ἡ νύμφη τοῖς ὑψηλοτέροις ἑαυτὴν ἐπεκτείνουσα οὔτε ὁ λόγος συνεργῶν αὐτῇ πρὸς τὴν ἄνοδον· ἧς γὰρ αἱ ἐκ τοῦ στόματος ἀποστολαὶ ῥοῶν εἰσι καὶ ἀρωμάτων παράδεισοι, αὕτη νῦν πηγὴ γίνεται τοὺς ἐξ αὐτῆς ἀναφυέντας παραδείσους κατάρδουσα· οὐχ ὡς ἐπὶ τοῦ Παύλου τε καὶ Ἀπολλῶ μεμαθήκαμεν ὡς τοῦ μὲν φυτεύοντος τοῦ δὲ ἑτέρου ποτίζοντος, ἀλλ' αὐτὴ τὰ δύο ἐργάζεται φύουσά τε τοὺς παραδείσους ὁμοῦ καὶ ποτίζουσα.

21-22 cf I Cor 3, 6

ER^a ΛYSΘ(inde a 10 *κακῆς*) Σ PVT CN Syr 1 ποιμνίων ΛYSV LXX βουκολίου T 2 ἐπικρατοῦντες R^a 3 ὡς οὔτε: ὥστε Y ἀναθαλούσης PC(corr C^2)N 4 εὐωδμίας Σ εὐωδίας T εὐοσμίας v 5 ὀνειδίζειν πάντως Σ τοὺς ἰσραηλίτας T 6 τὸν προφήτην V τὸν om ER^aTv εὐφορούμενοι N ἐμπορευόμενοι T 8 τρυφῶντες V 10 προαιρέσεως αὐτῶν ER^av 12 πρώτων μύρων ΛYSPv Syr 13 λυμαινομένων SΘΛ(fort?, corr Λ^2) λυμαινόμενον YCN ἐνταῦτα N τὸ καθαρὸν καὶ ἀκιβδήλεστον (sic, om τε) V 15 μύρων SΘ πρώτων μύρων v 17 ἑαυτὴν: ἑαυτὸν R^a αὐτὴν Λ(corr m fort pr) αὐτῇ: αὐτὴν Λ(corr Λ^2) Y 18 αἱ: ἀεὶ T om ER^av 20 παραδείσους om V 21 τε om P 22 αὐτὴ scripsi: αὕτη pars codd v 23 φυτεύουσα ΛYSΘ τε om ER^aTv ante καὶ add τε P

ἢ τάχα καὶ ὑψηλότερόν τινα λόγον περιέχει ὁ ἔπαινος· πηγὴν γὰρ αὐτὴν οὐ νάματος προχεομένου τινὸς ἀλλὰ κήπων εἶναί φησιν, οὐχ ὑδάτων τινὰς ἀπορροὰς ἀλλ' αὐτοὺς κήπους πηγάζουσάν τε καὶ ἀναβρύουσαν. οὕτως ἀνέβρυε τοὺς ἐμψύχους κήπους ὁ θεῖος ἀπόστολος, παρ' οἷς ἂν ἐγένετο τὸν τῆς ἐκκλησίας παράδεισον διὰ τῆς διδασκαλίας ἐκφύων. εἶτα πρὸς τὸ ἀκρότατον ἄγει τὴν νύμφην διὰ τῶν ἐπαίνων ὁ λόγος φρέαρ αὐτὴν ὀνομάσας ὕδατος ζῶντος καὶ ῥοιζοῦντος ἀπὸ τοῦ λιβάνου· ἃ γὰρ περὶ τῆς ζωοποιοῦ μεμαθήκαμεν φύσεως παρὰ τῆς ἁγίας γραφῆς, νῦν μὲν τῆς προφητείας λεγούσης ἐκ προσώπου τοῦ θεοῦ ὅτι Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, πάλιν δὲ τοῦ κυρίου πρὸς τὴν Σαμαρεῖτιν εἰπόντος Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι· δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν· καὶ Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω· ὁ γὰρ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν — πανταχοῦ τοίνυν τῆς θείας φύσεως διὰ τοῦ ζῶντος ὕδατος νοουμένης

8-9 Cant 4, 15   11-12 Jer 2, 13   13-15 Joh 4, 10   15-19 Joh 7, 37-39

ERa ΛYSΘ Σ PVT CN Syr 1 ἤ: εἰ N   ὁ ἔπαινος περιέχει PVCN   2 τινὸς om PVCN   3 κῆπον ΛΥΣ   οὐχὶ ΛYSΘT   ὕδατος τινὸς T   ἀπορροίας ΛYSΘΣT   ἀπορροίας τινὰς Σ   post αὐτοὺς add τοὺς ERaTv   4 ἀνέβρυσε PVTCN   5 ante ὁ add καὶ Syr   ὁ θεῖος ἀπόστολος coll ante τοὺς Σ   6 ἐγίνετο Θ   τῆς διδασκαλίας: τοῦ λόγου τοῦ στόματος αὐτοῦ Syr   7 post ἐκφύων add καὶ ποτίζων καὶ πιαίνων Syr   τὸ ἀκρότατον: ἄλλην ἀκρότητα Syr   8 ὁ λόγος coll ante 7 διὰ T   om Syr   ταύτην P   ὀνομάζων N   καὶ om Syr   9 ῥοίζοντος SΘ   10-11 ἁγίας—τῆς om Σ   11 λαλούσης Θ   12 ἐγκατέλειπον ΣPC(corr C²)N ἐγκατέλιπε ΛYV   ζῶντος: ζωῆς Θ LXX(pars codd)   13 σαμαρίτην Ra σαμαρείτην C(corr C²)N   εἴδης P(corr ει ex η)C(corr C²)N   14 ante πιεῖν add ὕδωρ v   15 αὐτῷ P   ἂν om V   ex ζῶν corr ζοὴ V   18 εἶπε(scil sec Joh 7, 39)V   ἔμελλον SΘC(corr C²)v   19 πιστεύσαντες ΛY

ἐνταῦθα ἡ ἀψευδὴς μαρτυρία τοῦ λόγου φρέαρ ὕδατος ζῶντος τὴν νύμφην εἶναι συνίστησιν, ᾧ ἐκ τοῦ λιβάνου ἐστὶν ἡ φορά. τοῦτο δὲ τὸ πάντων παραδοξότατον· πάντων γὰρ τῶν φρεάτων ἐν συστήματι τὸ ὕδωρ ἐχόντων μόνη ἡ νύμφη διεξοδικὸν ἐν ἑαυτῇ ἔχει τὸ ὕδωρ, ὥστε τὸ μὲν βάθος ἔχειν τοῦ φρέατος, τοῦ ποταμοῦ δὲ τὸ ἀεικίνητον. τίς ἂν κατ' ἀξίαν ἐφίκοιτο τῶν ὑποδεικνυμένων θαυμάτων ὡς διὰ τῆς νῦν γενομένης αὐτῇ ὁμοιώσεως; τάχα οὐκέτι ἔχει ὅπου ἑαυτὴν ὑπεράρῃ διὰ πάντων ὁμοιωθεῖσα πρὸς τὸ ἀρχέτυπον κάλλος· μεμίμηται γὰρ δι' ἀκριβείας τῇ μὲν πηγῇ τὴν πηγήν, τῇ δὲ ζωῇ τὴν ζωήν, τὸ δὲ ὕδωρ τῷ ὕδατι· ζῶν γὰρ ὁ λόγος ἐστὶ τοῦ θεοῦ, ζῇ καὶ ἡ τὸν λόγον δεξαμένη ψυχή· ἐκεῖνο τὸ ὕδωρ ἐκ τοῦ θεοῦ ῥέει, καθώς φησιν ἡ πηγὴ ὅτι Ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω, αὕτη δὲ περιέχει τὸ εἰσρέον τῷ τῆς ψυχῆς φρέατι καὶ διὰ τοῦτο γίνεται ταμιεῖον τοῦ ζῶντος ἐκείνου ὕδατος τοῦ ἐκ τοῦ λιβάνου ῥέοντος, μᾶλλον δὲ ῥοιζοῦντος, καθὼς ὁ λόγος ὠνόμασεν· οὗ καὶ ἡμεῖς γενοίμεθα μέτοχοι κτησάμενοι τὸ φρέαρ ἐκεῖνο, ἵνα κατὰ τὸ τῆς σοφίας παράγγελμα ἡμέτερον πίνωμεν ὕδωρ καὶ μὴ ἀλλότριον ἐν Χριστῷ Ἰησοῦ

14 Joh 8, 42   19-20 cf Prov 5, 17/18

ERa ΛYSΘ Σ PVT CN Syr 2 ζῶντος PVCN Syr: om cett v   εἶναι om SΘ   3 δὲ Syr: δὴ codd v   super(παραδοξό)τατον scr τερον P   θαυμασιώτατον Θ   4 γὰρ τῶν om V   συστήμασι RaE²(-σι e -τι)   ἡ om Σ(sscr Σ²)   5 ἐν ἑαυτῇ ἔχει ERaΣv claus praestat: ἔχει ἐν ἑαυτῇ cett   6 φρέατος: ὕδατος V(sscr φρέατος)   δὲ ποταμοῦ ERav   7 ἂν: γὰρ v   7-8 θαυμάτων ὡς om V   8 τῆς: τὴν Ra   νῦν om E(add E²)   γινομένης PE (in marg adscr ἐγ E²)   ἐγγινομένης Rav   9 που P(sed corr)   ὑπεράρει S   διὰ πάντων om PVCN   ὁμοιωθεῖσαν P   10 γὰρ om ERa   11 ζωῇ δὲ P   τὸ: τῷ Ra   12 ζῶν: ζωὴ ERa Syr(at fort per errorem scribae, non interpr, punctis diacriticis sscr)   γὰρ ΛYSΘΣ Syr: om cett v   ἐστὶ om ERav   ζῇ: ζωὴ P Syr (at cf supra)   ante καὶ add δὲ Syr   τῶν λόγων NV(sed corr)   13 τὸ δὲ ὕδωρ ἐκεῖνο v   ῥεῖ ΘΣ   16 ταμεῖον PTNE(corr E²)   τοῦ alt: τὸ C(corr C²)N   17 δέ: καὶ Y   ῥοίζοντος S   18 καὶ om Θ   γενώμεθα ΛYSN   μέτοχοι om P

τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

980 M.

Λόγος ι'

Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε, (4, 16)
διάπνευσον κῆπόν μου καὶ ῥευσάτωσαν ἀρώματά μου.
καταβήτω ὁ ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ
καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ.
Κατέβην εἰς κῆπόν μου, ἀδελφή μου νύμφη, (5,1)
ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου
ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου,
ἔπιον οἶνόν μου μετὰ γάλακτός μου.
φάγετε, οἱ πλησίον μου, καὶ πίετε καὶ μεθύσθητε,
ἀδελφοί μου.
Ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ. (2)

Τῆς νῦν προτεθείσης ἡμῖν τῶν θείων ῥητῶν θεωρίας ἐκ τῆς τοῦ Ἄισματος τῶν Ἀισμάτων ἀκολουθίας δυσεφικτά τινα καὶ κεκαλυμμένα δι' ἀσαφείας ἐν ἀπορρήτοις περιεχούσης νοήματα μείζονος ἡμῖν προσοχῆς ἐστι χρεία, μᾶλλον δὲ πλείονος τῆς διὰ τῶν εὐχῶν συνεργίας καὶ τῆς παρὰ τοῦ ἁγίου πνεύματος ὁδηγίας, ὡς ἂν μὴ ταὐτὸν πάθοιμεν

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τῷ om Σv κυρίῳ ἡμῶν om Σ post ᾧ add πρέπει ΛYSΘVCN ἡ om ΛYSΘN post δόξα add καὶ τὸ κράτος P τῶν αἰώνων om SPN Syr 2 post ἀμήν add ἐτελειώθη λόγος δέκατος Syr 3 λόγος ῑ ΛYT(in marg post lemma)N: ante λόγος add Γρηγορίου V add τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων Σ λόγος ἑνδέκατος Syr ὁμιλία ῑ Sv τοῦ αὐτοῦ ὁμιλία ῑ ER^a(in marg post lemma λόγος ῑ) om titul ΘPC(in marg adscr num θ' C^2) 5 ante διάπνευσον add καὶ v μου alt om ER^{a}T 6 ante καταβήτω add καὶ ΛY ὁ(cf infra p 303, 3)V: om cett v LXX ἀδελφιδοῦς PTC^2(ex -ός) 7 αὐτοῦ om v 8 κατέβην scripsi (cf infra p 305, 9): εἰσῆλθον codd v Syr 9 μου pr om R^{a}Σ 10 ἔφαγον ἄρτον μου om P 11 μου pr om Λ(sscr Λ^1)ΣPVCN 12 ἀδελφοί(cf infra p 308, 7 et 12) SΘT(-οί corr in ras)v Syr LXX: ἀδελφίδος (sic) NC(corr C^2) ἀδελφιδοί cett μου alt om v LXX 14 ῥημάτων T 17 νοήματα—ἐστι om ΛY ἡμῖν om V ἐστι coll ante προσοχῆς S om T χρεία τῆς προσοχῆς(om ἐστι)ER^{a}v δὲ: ἐστὶ Λ(in ras ut vid) 18 post πλέον(sic) spatium 3 fere litt Λ πλέον ὡς Y διὰ τῶν: δι'ἀστῶν R^a(sed eras σ)

ἐπὶ τῆς τῶν ὑψηλῶν τούτων θαυμάτων ἐκπλήξεως, ὅπερ καὶ ἐπὶ τῶν ἀστέρων πάσχειν εἰώθαμεν· καὶ γὰρ ἐκείνων πόρρωθεν τὸ κάλλος θαυμάζοντες οὐδεμίαν μηχανὴν πρὸς τὴν κτῆσιν αὐτῶν ἐπινοῆσαι δυνάμεθα, ἀλλὰ μία τοῦ κάλλους αὐτῶν ἐστιν ἡμῖν ἡ ἀπόλαυσις τὸ θαυμαστικῶς περὶ τὸ φαινόμενον ἔχειν. ἀστέρες γάρ τινές εἰσιν ἀτεχνῶς αἱ τῶν θείων τούτων λογίων μαρμαρυγαί τε καὶ λαμπηδόνες τῶν τῆς ψυχῆς ὀμμάτων ὑπερλάμπουσαί τε καὶ ὑπερκείμεναι Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ὥς φησιν ὁ προφήτης. εἰ δὲ γένοιτο καὶ περὶ τὴν ἡμετέραν ψυχήν, ὃ περὶ τὸν Ἠλίαν ἀκούομεν, καὶ ἀναληφθεῖσα τῷ πυρίνῳ ἅρματι ἡμῶν ἡ διάνοια μετάρσιος πρὸς τὰ οὐράνια κάλλη μετατεθείη (πνεῦμα δὲ ἅγιον εἶναι τὸ πῦρ ἐννοήσομεν, ὅπερ βαλεῖν ἐπὶ τὴν γῆν ἦλθεν ὁ κύριος, τὸ ἐν γλωσσῶν εἴδει τοῖς μαθηταῖς μεριζόμενον), οὐκ ἀπ' ἐλπίδος ἡμῖν γενήσεται τὸ πλησιάσαι τούτοις τοῖς ἄστροις, τοῖς θείοις λέγω νοήμασι, τοῖς διὰ τῶν οὐρανίων τε καὶ πνευματικῶν λογίων τὰς ψυχὰς ἡμῶν

1-5 nota bene Gregorium valde dissidere ab Origene discipulos laude astronomiae, ut philosopharentur, adhortato (cf ex. gr. Gregor Thaumat Εἰς Ὠριγ. προσφων. VIII 109-111 = p 22 Koetschau). at cf Aristot Partt anim A 5, p 644 b 24 sqq 8-9 Ps 102, 11 10-11 cf IV Reg 2, 11 11-16 cf Plato Phaedr p 247 c-e 13-14 cf Luc 12, 49 14-15 cf Act 2, 3

ER^a ΛYSΘ Σ PVT CN Syr 2 καὶ—πόρρωθεν om P 3 ante τὴν add τὸ γνῶναι PVCNv non habet Syr κτῆσιν ER^{a}Λ(fort corr e κτίσιν)SΘΣT Syr: κτίσιν YPVCNv scil scriba exemplaris codd PVCN legit κτίσιν et add sua sponte non inepte τὸ γνῶναι 4 ὑπονοῆσαι P ἐπινοῆσαι δυνάμεθα coll ante 3 πρὸς ER^{a}v μία: διὰ ER^{a}v αὐτῶν alt om CN 5 ἡμῖν ἐστιν ΛYSΘ τὸ pr: τῷ R^{a}E^2(e τὸ ut vid) τῶν V φαῖνον VCNP(scr super φαινόμενον) aptius videtur, sed obstat clausula de Syr non liquet('visus' vel 'spectaculum') 6 εἰσὶ τινὲς ΛY ante αἱ add καὶ Syr τούτων coll post 7 λογίων ΛYSΣ om Θ 7 λογίων om E(in marg adscr E^2) τε om PVCN 10 τὸν Ἠλίαν: τῶν ἡλιακῶν V 13 εἶναι ἅγιον T ἐννοήσομεν v (cf emendat. Jaeger Vol VIII, 1 p 208, 4): ἐνοήσαμεν codd βάλλειν v βαβεῖνΣ 13-14 βαλεῖν coll post ἦλθε V 14 ἦλθεν coll ante ἐπὶ PCN 15 οὐχ ἀφ'ἔλπιδος NC(corr ἀπ' C^2) 16 τούτους ΛY

περιαστράπτουσιν. ἀνάβλεψον γὰρ τῷ τῆς ψυχῆς ὀφθαλμῷ, πρὸς σὲ λέγω τὸν ἀκροατὴν τὴν πρὸς τὸν πατριάρχην γενομένην παρὰ τοῦ κυρίου φωνήν, Ἀνάβλεψον εἰς τὸν οὐρανὸν τοῦτον καὶ ἴδε τοὺς ἀστέρας τούτους, εἰ δύνασαι αὐτῶν ἐκμετρῆσαι τῶν νοημάτων τὸ ὕψος, βλέπε τὴν ἐξουσίαν τῆς βασιλίδος ἐκ τῶν προσταγμάτων αὐτῆς τὴν δυναστείαν κατανοήσας, ὡς αὐτοκρατορική τις αὐθεντία τοῖς λεγομένοις ἐμφαίνεται· οὐ δι' εὐχῆς κατορθοῖ ὅπερ βούλεται ἀλλὰ κατὰ τὴν ἀψευδῆ τοῦ ἐπαγγειλαμένου φωνήν, ὅς φησι τὸν πιστὸν καὶ φρόνιμον οἰκονόμον πάντων τῶν ὑπαρχόντων τῷ δεσπότῃ κύριον γίνεσθαι. ταύτης ἐπιλαβομένη τῆς ἐξουσίας βασιλικῶς ἑαυτῇ διοικεῖται τὰ καταθύμια τῶν δύο ἀνέμων, τὸν μὲν βορρᾶν διὰ προστάγματος ἑαυτῆς ἀφορίζουσα, τὸν δὲ νότον φιλοφρόνως καλοῦσα καὶ πρὸς ἑαυτὴν ἐλθεῖν κατεπείγουσα.

Ἔχει δὲ ἡ λέξις οὕτως· Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε. τάχα τι συγγενὲς ἔστι τοῖς λεγομένοις εὑρεῖν ἐν τοῖς τοῦ ἑκατοντάρχου λόγοις, οὓς αὐτὸς ὁ θεὸς λόγος
981 M. ἐθαύμασε, καθὼς ὁ εὐαγγελιστὴς διηγήσατο λέγων ὅτι Ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασε καὶ ὑπερέθηκε τῆς τοῦ

3-4 Gen 15, 5 10-11 cf Luc 12, 42-44 ~ Matth 24, 45-47; cf Tatian Diatess cap XLIII 2 (= T's Diat. aus dem Arab. übers von Preuschen, p 199) 16 Cant 4, 16 20-p 297, 4 cf Matth 8, 10, scil text codd et Sin et Ephraemi: οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. id est Gregorius vel Matth 8, 10 sec Tatianum vel ipsum Tatianum laudat (cap XI 12 = l.l. p 95)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἀστράπτουσιν P 4 τούτους om ER^{a}v 5 αὐτοὺς ΛYSΘ ἐκμετρίσαι C(corr C^2) ἐκμερίσαι N post νοημάτων add τούτων ΛYSΘ 6 βασιλείας Syr (fort scriba non interpr) πραγμάτων N 7 δυναστείαν ER^{a}ΛYΣTv Syr: δύναμιν cett ὡς om Σ post τις add δύναμις P 8 post οὐ add γὰρ v Syr 9 ἐπηγγελμένου T 10 ὅς: ὡς YΛ(corr Λ^2)SΘ τὸν om V 11 γενέσθαι ΣPVTCN obstat claus 12 ἑαυτῇ βασιλικῶς Σ post ἑαυτῇ eras 1 litt E 13 τὸν om Σ μὲν om E(adscr E^2) προσαίματος C(corr C^2)N αὐτῆς N ἑαυτῇ v 17 post νότε add διάπνευσον κῆπόν μου Syr ἐν om SΘ 18 τοῦ om v ὁ θεὸς om Λ(sscr Λ^2) Y 20 δὲ om P ὁ om v Ἰησοῦς: υἱὸς N

Ἰσραὴλ πίστεως τὴν τοῦ ἑκατοντάρχου φωνήν· οὐ γὰρ πρὸς τὸν λαόν μοι δοκεῖ τὸν Ἰσραηλιτικὸν ποιεῖσθαι τοῦ ἑκατοντάρχου τὴν σύγκρισιν ἐν τῷ τῆς πίστεως λόγῳ ἀλλὰ πρὸς αὐτὸν ἐκεῖνον τὸν Ἰσραήλ, ὃς ἐν τῇ πρὸς τὸν ἀντικείμενον πάλῃ μετὰ τῆς τοῦ θεοῦ συμμαχίας μόγις τὸ πτῶμα διέφυγεν οὐκ ἀκριβῶς τῆς τοῦ ἀντιπάλου βλάβης ἔξω γενόμενος· ἐν γὰρ τῷ μηρῷ τὸ πάθος ἐδέξατο. οὗτος δὲ ὁ ἑκατοντάρχης, περὶ οὗ νῦν ὁ λόγος ἐστί, βασιλικῇ τινι δυνάμει τὸ ἀλλότριον κατ' ἐξουσίαν ἀποπεμπόμενος οἰκειοῦται τὸ καταθύμιον· ἐπὶ τούτῳ γάρ μοι δοκεῖ μάλιστα τετυχηκέναι τοῦ θαύματος ὁ ἀνήρ, ὅτι φησὶν ἐν τοῖς ὑποχειρίοις αὐτοῦ στρατιώταις ἐν αὐθεντικῇ ἐξουσίᾳ ἀποπέμπεσθαί τε ὃν βούλεται καὶ προσκαλεῖσθαι τὸν καταθύμιον καὶ τῷ δούλῳ τὴν καθήκουσαν ἐπιτάττειν ὑπηρεσίαν. κἀκεῖ γὰρ φιλοσοφία τίς ἐστιν ἡ τοῦ ἑκατοντάρχου φωνή, ὅτι τὸν ἅπαξ ἀποπεμφθέντα οὐκέτι πρὸς ἑαυτὸν ἐπανάγει, ἀλλὰ τούτου ἀποφοιτήσαντος ἕτερον ἀντ' αὐτοῦ εἰσοικίζεται (Τούτῳ γὰρ εἰπὼν ὅτι πορεύθητι, καὶ πορεύεται, ἄλλον προσκαλεῖσθαί φησιν, οὐχ ὃν ἀπεπέμψατο) παιδεύοντος οἶμαι τοῦ λόγου τὸ τοιοῦτον δόγμα ὅτι τὰ ἀλλήλοις ἀντικείμενα τῷ αὐτῷ μετ' ἀλλήλων

4-7 cf Gen 32, 25-29. Gregorius secutus est explicationem Origenis (cf De princ III 2, 5 p 254, 1-14) 17-18 Matth 8, 9 = Luc 7, 8 20 cf ex. gr. Aristot Metaph Δ 10 p 1018 a 20-23 et passim

ER^a ΛYSΘ Σ PVT CN Syr 1 οὐ—7 ἐδέξατο om Syr 2-3 τὸν ἑκατόνταρχον v 3 τὴν coll ante 2 τοῦ Σ τῆς om P 5 μόγις om P 7 γινόμενος E(corr E^2 ut vid) οὗτος: ἄυτος T δὲ: γὰρ T Syr 8 ἑκατόνταρχος ΛYSΘΣ τινι om PVCN 9 δυνάμει: λύσει P 10 τοῦτο R^{a}E^2(e τούτῳ) μοι γὰρ N 11 προχειρίοις v αὐτῷ ΛYSΘΣ 12 τε om ER^{a}v 13 τὸν: τὸ R^a 14 ἐπιτάττει E ἐπιτάγει R^a ἐπιττάτειν N ὑπηρεσία(ν) corr in ras Θ^2 15 ἐστιν om v ἡ: ἐν τῇ ER^{a}Tv φωνῇ ER^{a}Tv 16-17 ἀποπεμφθέντος ΛYSΘ 17 ἕτερος SΘ εἰσοικίζεσθαι Λ(corr Λ^2)Y τοῦτο ΛYVNv ὅτι om S post ὅτι sscr λέγω C^2 18 προσκαλεῖσ E(sscr θαι E^2) 19-20 τῶ τοιούτω δόγματι V 20 δόγμα ὅτι: δόγματι Σ μετ' om P

συνεπιχωριάζειν φύσιν οὐκ ἔχει· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος, φησὶν ὁ ἀπόστολος, ἀλλ' ἀνάγκη πᾶσα τοῦ σκότους ἐκχωρήσαντος φῶς εἶναι τὸ ἀντ' ἐκείνου ὁρώμενον καὶ τῆς κακίας ἐκποδὼν γενομένης τὴν ἀρετὴν ἀντεισάγεσθαι, τούτου δὲ κατορθωθέντος μηκέτι τὸ φρόνημα τῆς σαρκὸς ἀνταίρειν τῷ πνεύματι (μηδὲ γὰρ δύνασθαι νεκρωθείσης αὐτοῦ τῆς εἰς τὸ ἀντιτείνειν δυνάμεως), ἀλλὰ πρὸς πᾶσαν καθήκουσαν ὑπηρεσίαν εὔθετον γίνεσθαι τῇ δυναστείᾳ τοῦ πνεύματος ἐπιπειθὲς ὑπάρχον καὶ ὑποχείριον. ὅταν γὰρ ἀποδιωχθῇ μὲν ὁ τῆς κακίας σύμμαχος στρατιώτης, ἀντεισέλθῃ δὲ ὁ τῆς ἀρετῆς ὁπλίτης ἐνδεδυκὼς τὸν θώρακα τῆς δικαιοσύνης καὶ τὴν μάχαιραν τοῦ πνεύματος διὰ χειρὸς φέρων, προβαλλόμενος δὲ τὰ σκεπαστήρια τῶν ὅπλων· τήν τε περικεφαλαίαν τοῦ σωτηρίου καὶ τὸν θυρεὸν τῆς πίστεως, καὶ πᾶσαν φέρων ἐν ἑαυτῷ τὴν πνευματικὴν πανοπλίαν, τότε φοβεῖται τὸν ἑαυτοῦ κύριον τὸν νοῦν ὁ δοῦλος τὸ σῶμα καὶ προθύμως τὰ τοῦ κρατοῦντος παραγγέλματα δέχεται, δι' ὧν ἡ ἀρετὴ κατορθοῦται τῇ ὑπουργίᾳ τοῦ σώματος. τοῦτο γὰρ ἐνδείκνυται τοῦ ἑκατοντάρχου ὁ λόγος εἰπὼν ὅτι Καὶ τῷ δούλῳ μου λέγω· ποίησον τοῦτο, καὶ ποιεῖ.

Ἀλλ' ἀκούσωμεν τῆς βασιλίδος, ὅπως ἀπανίστησιν ἀφ' ἑαυτῆς τὸν βορρᾶν εἰς τὸ ἔμπαλιν αὐτοῦ τὴν πνοὴν ἀναστρέψασα· οὐ γὰρ ἠρεμεῖν ἐπιτάσσει, καθάπερ ἐπὶ

1-2 cf II Cor 6, 14 5-6 cf Rom 8, 7-10; 7, 23 7 cf Col 3, 5 11-15 cf Eph 6, 14-17 20 Matth 8, 9 ~ Luc 7, 8 23 in Origen pugnare videtur, cf Ambros De Isaac (id est Origen Comm) p 673, 10: '. . . conquiescere aquilonem gravem ventum petit'.

ER^a ΛYSΘ Σ PVT CN Syr 2 ante φησὶν add ὡς Syr 4 γινομένης ΘT γεναμένης PCN 6 ἀντερεῖν Λ(corr Λ^2)YCN μήτε T γὰρ om P 7 αὐτῶ T 8 καθήκουσαν om P ὑπηρεσίαν: ἐπιθυμίαν Θ(in marg corr Θ^1) γενέσθαι T 9 δυνάμει Θ εὐπειθὲς ER^{a}Tv εὐπιθεὶς Σ 11 δὲ om Θ(sed sscr) 13 διαφέρων(om χειρὸς)V δὲ: τε V 14 τε om PVCN 16 κύριον ἑαυτοῦ VCN κύριον αὐτοῦ P τὸν νοῦν om E(in marg adscr E^2)v 17 τὰ coll post κρατοῦντος ER^{a}v τοῦ κρατοῦντος: αὐτοῦ Syr 20 ὅτι om ΛYSΘ 22 πῶς CN 23 βορέαν YΣPVN βορρέαν C αὐτοῦ: ἑαυτοῦ ΛY τὴν πνοὴν αὐτοῦ T 24 ἀναστρέψας CN ἀνατρέψασα YΣ ἐπιτάσει V(sscr σ alt) ἐπιττάσσει N

τοῦ κλυδωνίου τῆς θαλάσσης ὁ κύριος εἰς ἡσυχίαν ἄγει τὴν λαιλαπίαν σιωπᾶν παραγγείλας τοῖς κύμασιν, ἀλλ' ἀποχωρεῖν καὶ φεύγειν παρακελεύεται, ὡς ἂν ἀκωλύτως ὁ νότος ῥέοι μηδεμιᾶς ἀντιπνοίας ἐμποδιζούσης αὐτοῦ τὴν φοράν, Ἐξεγέρθητι λέγουσα τῷ βορρᾷ. τίς δὲ ἡ αἰτία τῆς τοῦ
984 M. ἀνέμου τούτου μεταναστάσεως; Σκληρὸς ἄνεμος ὁ βορρᾶς ἐστι, φησὶ [ποῦ τοῦτο;] τῆς Παροιμίας ὁ λόγος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται. ἀλλ' οὐδενὶ δεξιὸς ὁ βορρᾶς πλὴν εἴ τις κατὰ νώτου τὴν ἀνατολὴν ἔχοι πρὸς τὰς δυσμὰς τὸν δρόμον ποιούμενος. νοεῖς δὲ πάντως τῶν λεγομένων τὸ αἴνιγμα, ὅτι ὁ τῆς ἀνατολῆς ἀποστάς (οὕτω γὰρ παρὰ τῆς προφητείας ὁ Χριστὸς ὀνομάζεται) καὶ πρὸς τὰς δυσμὰς τοῦ φωτὸς ἑαυτὸν συνελαύνων, ὅπου ἐστὶν ἡ ἐξουσία τοῦ σκότους, δεξιὸν ἔχει ἐφ' ἑαυτοῦ τὸν βορρᾶν τοῖς πονηροῖς ἐφοδίοις αὐτὸν δεξιούμενον, δι' ὧν ὁ πρὸς τὸ σκότος γίνεται δρόμος. οὕτως εὑρίσκει τὸν βορρᾶν ἑαυτοῦ δεξιὸν ὁ ἀκόλαστος τῷ πάθει τῆς ἀτιμίας συμπνέοντα, οὕτω γίνεται τῷ πλεονέκτῃ δεξιὸν τὸ πνεῦμα τοῦτο τῆς πονηρίας, ὅταν αὐτῷ τὰς ὕλας

1 cf Luc 8, 23/24 ~ Marc 4, 37-39 (cf Tatian XI 33-35, l.l. p 96/7) 6-8 Prov 27, 16 11 cf Zach 6, 12

ER^a ΛYSΘ Σ PVT CN Syr 1 κλύδωνος ΛYSΘ εἰς om NR^a (sed scr εἰσυχίαν)v ἄγων R^{a}E^2(ex ἄγει) ἄγειν v 2 λαίλαπα R^{a}E^2(ex -ίαν)TC^2(ex -ίαν)v σιωπᾶν ΣT Syr: σιωπὴν cett v 3 διακελεύεται Σ ῥέει C ῥέῃ N 4 αὐτῷ ER^{a}Tv 5 ἐξεγέρθητι—βορρᾷ om Σ δὲ om P 6 μεταστάσεως SΘV ὁ om ΣT ὁ βορρᾶς om ER^{a}v βορρᾶς SΘ: βορρέας T βορέας ΛYΣPVCN LXX, fort recte 7 φησὶ om VCN ποῦ τοῦτο om Syr, delevi adnotatio erat scribae pervetusti locum laudatum non invenientis et super lin scribentis 'unde?' ποῦ: πως V πρὸς ER^{a}Tv e τοῦτο corr δ' οὗτος C^2 ὁ om v 8 οὐδὲν N ἐπιδέξιος P ὁ om ER^{a}Λ(sscr Λ^2)Yv βορρᾶς SΘΣ: βορέας ΛYPVCN βορρέας ER^{a}Tv 9 νότου E(corr E^2)ΣVN ἔχει TNV(sed corr) 13 ἡ om v 14 ἔχοι P ἀφ' S om PVCN ἑαυτῷ Σ βορέαν ΛYPVCN ante τοῖς add ἐν Σ 14-15 αὐτὸν ἐφοδίοις ER^{a}v 15 δεξιούμενος SΘ post δεξιούμενον add explicationem 'id est opitulantem' Syr recte quidem intellegens 16 βορέαν ΛYVCN ὁ om N ἀκολάστης ΛY 16-17 εὑρίσκει—οὕτω om SΘ 17 συμπνέων ΛY 18 δεξιὸν om P τοῦτο: τὸ VC om PN αὐτὸς V

τῆς πλεονεξίας οἷόν τινα ψάμμον ἢ κόνιν περισωρεύῃ, οὕτω πρὸς ἕκαστον τῶν πλημμελημάτων τὴν παρ᾽ ἑαυτοῦ συνεργίαν χαριζόμενος ἐπιδέξιος γίνεται, οἷς ἂν γένηται, σκληρὸς μὲν κατὰ τὴν φύσιν ὤν, ἐπικρύπτων δὲ ταῖς ἡδοναῖς τὸ ἀντίτυπον. διὰ τοῦτο φυγαδεύει τῆς ἰδίας ἀρχῆς τὸν βορρᾶν ἡ κατὰ τῶν παθῶν ἀναδησαμένη τὸ κράτος Ἐξεγέρθητι λέγουσα ὦ βορρᾶ. διὰ τί δὲ τῷ ὀνόματι τούτῳ ἡ ἀντικειμένη διασημαίνεται δύναμις, παντὶ δῆλον ἂν εἴη τῷ κατανενοηκότι τὴν τῶν ὄντων φύσιν. τίς γὰρ οὐκ οἶδε τοῦ ἡλίου τὴν κίνησιν, ὅτι ἐκ τῶν ἀνατολῶν διὰ τοῦ νοτίου τὸν δρόμον ποιούμενος πρὸς τὰς δυσμὰς ἐπικλίνεται; τὸ δὲ σχῆμα τῆς γῆς σφαιροειδὲς ὄν, καθώς φασιν οἱ τὰ τοιαῦτα κατανοήσαντες, ἐν ᾧπερ ἂν τῷ ἡλίῳ περιλαμφθῇ, κατὰ πᾶσαν ἀνάγκην ἐν τῷ ἀντικειμένῳ σκοτίζεται τῇ ἀντιφράξει τοῦ ναστοῦ σκιαζόμενον. ἐπεὶ οὖν ἀφεγγὴς ὁ τόπος ἐκεῖνος καὶ κατεψυγμένος εἰς ἀεὶ διαμένει μήτε λαμπόμενος ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων μήτε θαλπόμενος, διὰ τοῦτο τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκότους, τὸν τὴν ἀπαλὴν τῶν ψυχῶν φύσιν

7-8 cf Origen De princ II 8, 3 p 157, 11: '··· scriptum est in Sapientia: Frigidus est Boreas. Quod et ipsum sine dubio de diabolo sentiendum est'. 15-p 301, 2 ex Origen De princ II 8, 3 p 156, 13-158, 3 fluxisse apparet. ad etymologiam ψυχή-ψῦχος cf ex. gr. Plat Cratyl 399 d/e et Aristot De an A 2 p 405 b 28/9

ER^a ΛYSΘ Σ PVT CN Syr 1 οἷον: υἱόν Λ(corr $Λ^2$) ὄνY περισωρεύει ΛYΣNv περισωρεύσῃ P 3 συνέργειαν YC(-ει-) post γίνεται add τῶν V οἷς ἂν γένηται om CN ἐγγένηται T 4 φύσιν: κακίαν Syr 5 τῶν ἀντιτύπων E(corr E^2) ἰδίας: οἰκείας T(sscr ἰδϊ) 6 βορέαν ΛYΣPVCN ἡ: ἵνα PVC(corr C^2)N ἀναδυσαμένη R^aPNv ἀναδήσηται V 7 ὦ om Σ βορᾶ N διὰ τί (cf infra 17 διὰ τοῦτο et 301, 2 ὀνομάζει)PVCN: δι᾽ ἃ YSΘΛ(fort? pro διὰ τί δὲ ras 6 fere litt, in marg ὅτι δὲ $Λ^2$) διότι E(eras δι) ὅτι R^aΣTv Syr δὲ om E(sscr E^2) τούτου τοῦ ὀνόματος Θ 9 ὄντων ER^aΣT Syr: νοητῶν ΛYSΘV ὁρατῶν PCNv ante γὰρ add οὐ P τοῦ: μετὰ P τοῦ ἡλίου corr R^a e τὸν λίου 10 νότου ΣTC^2(eras ι) 12 ὄν: ἂν V φησιν ΣVC(corr C^2)N τὰ τοιαῦτα: ταῦτα ΘP 13 ἂν om Θv καταλαμφθῇ ΛYSΘN 14 τῇ ἀντικειμένῃ P ναστοῦ R^a ΛYSΘΣ Syr: μεστοῦ NE(ut vid, corr E^2) μέσου PVTCv 16 καταλαμπόμενος PVCN 18 τὸν: τῶν E(corr per ras)

ὕδατος δίκην ἀπολιθοῦντα διὰ τῆς πήξεως καὶ σκληρὰν ἐργαζόμενον, βορρᾶν τε καὶ σκληρὸν ὀνομάζει ὁ λόγος, τὸν τῆς κατηφείας τοῦ χειμῶνος ἐργάτην, ἐκείνου λέγω τοῦ χειμῶνος, ἐν ᾧ τὴν φυγὴν τῶν κινδύνων ἀμήχανον λέγει τὸ εὐαγγέλιον· ἐν αὐτῷ γὰρ τῶν κατ᾽ ἀρετὴν ἀνθούντων ἡ ὥρα μαραίνεται.

Καλῶς οὖν ἀπελαύνει τοῦτον κατ᾽ ἐξουσίαν ἡ τῆς βασιλίδος φωνή, προσκαλεῖται δὲ τὸ μεσημβρινὸν πνεῦμα τὸ θερμόν τε καὶ ἀειφεγγές, ὅπερ ὀνομάζει νότον, δι᾽ οὗ ὁ χειμάρρους τῆς τρυφῆς ῥέει, λέγουσα Καὶ ἔρχου, νότε, διάπνευσον κῆπόν μου καὶ ῥευσάτωσαν ἀρώματά μου, ὥστε τῇ βιαίᾳ πνοῇ, καθὼς ἐν τῷ ὑπερῴῳ γεγενῆσθαι τοῖς μαθηταῖς ἀκούομεν, τοῖς ἐμψύχοις φυτοῖς ἐπιπεσόντα κινῆσαι τὴν τοῦ θεοῦ φυτείαν πρὸς τὴν τῶν ἀρωμάτων φορὰν καὶ ῥέειν παρασκευάσαι διὰ τοῦ στόματος τὴν εὐώδη προφητείαν καὶ τὰ σωτήρια τῆς πίστεως δόγματα κατὰ πᾶν εἶδος γλώσσης ἀκωλύτως τὴν εὐωδίαν τῶν διδαγμάτων προχέοντα. οὕτως οἱ ἑκατὸν καὶ εἴκοσι μαθηταὶ οἱ ἐν τῷ οἴκῳ τοῦ θεοῦ πεφυτευμένοι τῇ πνοῇ τοῦ τοιούτου νότου τὴν
985 M. διὰ τῶν γλωσσῶν διδασκαλίαν ἐξήνθησαν. διὰ τοῦτο τοίνυν

3 cf Ambros De Isaac (= Origen Comm) p 673, 12: 'vult hiemem praeterire'. 4 cf Matth 24, 20 ~ Marc 13, 18 11 cf Act 2, 2 17 cf Act 1, 15 19 cf Act 2, 3

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἀπολιθοῦντος V πήξεως: πίστεως E(ut vid, corr E^2) σκληρὸν ΛYS 2 ἀπεργαζόμενον Σ ἐργαζόμενος PCN βορρᾶν SΘ: βορρέαν ER^aTv βορέαν cett post τε add αὐτὸν V ante σκληρὸν add πνεῦμα Syr e λόγος τὸν corr λόγος ὡς αἴτιον C^2 τόν: τῶν V 3 ἐργάτων V 3-4 ἐργάτην—χειμῶνος om C 4 ἀμήχανον om R^a 5 τῶν: τὸν Σ 7 τῆς om v 9 ἀειφθεγγὲς R^a ἀφεγγὲς Θ ὅπερ—νότον om Syr(scil interpr) 10 ante κῆπόν add τὸν v 11 μου om T 12 ἠκούσαμεν ER^aTv 13 ἐπιπεσὼν ΛYΘ ἐπιπεσὸν S ἐπιπνέοντα N Syr φυτείαν: φιλανθρωπίαν V 14 παρασκευάσας E διὰ τοῦ στόματος corr in ras P 17 προχέουσαν Syr(scil τὴν φυτείαν) ante οἱ pr add γὰρ T ἑκατὸν καὶ εἴκοσι: δέκα καὶ δύο ER^a καὶ om VCN μαθηταὶ coll ante εἴκοσι N τῷ om v 18 θεοῦ: κυρίου Syr ἐμφυτευόμενοι N post πνοῇ add τῇ ER^av 18-19 et τῇ et διδασκαλίᾳ ΛY 19 (ἐ)ξήνθη(σαν) eras et corr δημευ ut vid P

φησὶ τῷ τοιούτῳ νότῳ ἡ νύμφη ὅτι Διάπνευσον κῆπόν μου, ἐπειδὴ μήτηρ κήπων ἐγένετο παρὰ τῆς τοῦ νυμφίου φωνῆς τοῦ ποιήσαντος αὐτήν, καθὼς περιέχει ὁ λόγος, Κήπων πηγήν. οὗ χάριν τὸν κῆπον αὐτῆς τὴν ἐκκλησίαν τὴν τοῖς ἐμψύχοις βρύουσαν δένδροις διαπνευσθῆναι βούλεται, ὥστε ῥεῦσαι ἀπ' αὐτῶν τὰ ἀρώματα· ὁ μὲν γὰρ προφήτης φησὶν ὅτι Πνεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα, ἡ δὲ τῷ βασιλικῷ πλούτῳ κομῶσα νύμφη πρὸς τὸ μεγαλοφυέστερον ἐξαλλάσσει τὰ ῥεύματα ἀρωμάτων ποταμοὺς ποιοῦσα τῶν τοῦ κήπου δένδρων ἐκρέοντας διὰ τῆς βίας τοῦ πνεύματος, ὥστε διὰ τούτου μαθεῖν τῆς παλαιᾶς διαθήκης πρὸς τὴν καινὴν τὸ διάφορον, ὅτι ὁ μὲν προφητικὸς ποταμὸς ἐπληρώθη ὑδάτων, ὁ δὲ εὐαγγελικὸς ἀρωμάτων. τοιοῦτος ποταμὸς ἀρωμάτων ἦν ἐκ τοῦ κήπου τῆς ἐκκλησίας ῥέων διὰ τοῦ πνεύματος ὁ μέγας Παῦλος, οὗ τὸ ῥεῖθρον Χριστοῦ εὐωδία ἦν, τοιοῦτος ἄλλος ὁ Ἰωάννης, ὁ Λουκᾶς, ὁ Ματθαῖος, ὁ Μᾶρκος καὶ οἱ ἄλλοι πάντες, τὰ εὐγενῆ φυτὰ τοῦ κήπου τῆς νύμφης, οἳ τῷ φωτεινῷ ἐκείνῳ τῷ μεσημβρινῷ νότῳ

2 μήτηρ κήπων: cf Methodius Conv VIII, 11 p 93, 9-94, 4: ἡ δὲ γεννήσασα ··· τὸν ··· ἐν ταῖς καρδίαις τῶν πιστευόντων λόγον ··· ἡ μήτηρ ἡμῶν ἐστιν ··· ἡ ἐκκλησία ····· ἐστὶ τοῦτο αὐτὸ δὴ τῆς ἀρετῆς τὸ κάλλιστον καὶ καλλίδενδρον καὶ καλλίπνουν χωρίον, ἔνθα ἐξηγέρθη ὁ νότος καὶ διέπνευσεν ὁ βορρᾶς καὶ ῥέουσι τὰ ἀρώματα κ.τ.λ. uterque, et Method et Gregorius, ex Origen Comm hausisse videtur 3-4 Cant 4, 15 7 Ps 147, 7 15-16 cf II Cor 2, 15

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ante κῆπόν add τὸν v post μου add καὶ ῥευσάτωσαν ἀρώματά μου C 2 κήπῳ v 3 τοῦ ER^aΣTv Syr(ut vid): τῆς τοῦτο SΘ τῆς τοῦ cett ad περιέχει cf ex. gr. I Petr 2, 6 λόγος: αὐτὸς CN 3-4 κήπων πηγήν ΛYSΘΣT Syr: κήπων πηγῆς ER^a κῆπον καὶ πηγήν PVCN κήπου καὶ πηγῆς v 4 αὐτῆς coll ante τὸν T 6 ῥεῦσαι: πνεῦσαι CN γάρ: πὰρ Y 7 ὅτι om Σ πνεύσει (scil sec LXX) ΘΣV$Λ^2$v ῥυήσονται T 10 τῆς βίας om Λ(sscr $Λ^2$)Y 11 τοῦτο Θ τοῦ Λ(corr τούτων $Λ^2$)Y post μαθεῖν add ἐστι V add ἡμᾶς Syr 12 post μὲν add κοινὸς N 13-14 ἐπληρώθη—ποταμὸς om Y 15 ante ὁ eras 8 fere litt Λ Χριστῷ Syr 16 εὐῶδες v ὁ pr om ER^aΛYPv 17 καὶ om SΘ ἄλλοι πάντες: λοιποὶ E(in marg adscr πάντες E^2)T λοιποὶ πάντες R^aΣv 18 οἳ: οἷον P

διαπνευσθέντες πηγαὶ ἀρωμάτων ἐγένοντο βρύοντες τὴν τῶν εὐαγγελίων εὐωδίαν.

Καταβήτω, φησίν, ὁ ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. ὢ πεπαρρησιασμένης φωνῆς. ὢ φιλοτίμου τε καὶ μεγαλοδώρου ψυχῆς πᾶσαν ὑπερβολὴν μεγαλοφροσύνης νικώσης. τίνα δεξιοῦται πρὸς εὐωχίαν τοῖς ἰδίοις καρποῖς; τίνι παρασκευάζει διὰ τῶν ἰδίων ἀγαθῶν τὴν πανδαισίαν; τίνα καλεῖ πρὸς τὴν τῶν παρεσκευασμένων ἑστίασιν; τὸν ἐξ οὗ τὰ πάντα καὶ δι' οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα, τὸν διδόντα τοῖς πᾶσι τροφὴν ἐν εὐκαιρίᾳ, τὸν ἀνοίγοντα τὴν χεῖρα αὐτοῦ καὶ πληροῦντα πᾶν ζῷον εὐδοκίας, τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα καὶ ζωὴν διδόντα τῷ κόσμῳ, τὸν πᾶσι τοῖς οὖσι τὴν ζωὴν ἐκ τῆς ἰδίας πηγῆς ἐπιρρέοντα· τούτῳ ἡ νύμφη προτίθησι τράπεζαν. κῆπος δέ ἐστιν ἡ τράπεζα ὁ διὰ τῶν ἐμψύχων δένδρων πεφυτευμένος, ἡμεῖς δὲ τὰ δένδρα, εἴπερ δὴ καὶ ἡμεῖς, οἱ τροφὴν αὐτῷ προτιθέντες τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν οὕτως εἰπόντος τοῦ τὴν ἡμετέραν εὐωχουμένου ζωὴν ὅτι Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου. δῆλος δὲ ὁ σκοπὸς τοῦ θείου θελήματος,

3-4 Cant 4, 16 9 cf Rom 11, 36 10 cf Col 1, 16; Eph 2, 10 10-12 cf Ps 144, 15/16 12-13 cf Joh 6, 33 14 cf Ezech 47, 9; Prov 18, 4; Joh 7, 37 17-18 cf Ambros De bono mort (= Origen Comm) p 721, 12 sqq: 'verbum autem dei pascitur animae virtutibus, quotiens oboedientem sibi et opimam invenerit, et carpit fructus eius atque his delectatur'. 19 Joh 4, 34

ER^a ΛYSΘ Σ PVT CN Syr 1 διαπνεύσαντες V βρύοντα S(sed corr, ut vid) 2 post τῶν add ἁγίων T εὐωδία N 3 ὁ om P ἀδελφιδοῦ P(sed corr) ἀδελφιδοῦς TC^2(ex -ός) εἰς: ἐπὶ N αὐτοῦ om E(adscr E^2) καὶ (cf supra p 294, 7) ΣPv Syr: om cett 4 καρπῶν C(corr C^2) Syr 5 τε om P 6 μεγαλοφροσύνη Syr ὑπερνικώσης ΛYP 7 τίνι: τίνα P 7-8 τίνι—πανδεσίαν (sic) coll post 9 ἑστίασιν Σ 8 τὴν alt om E (sscr E^2) 9 παρασκευασμένων E(corr E^2)YP 9 καὶ—10 πάντα alt om V 9-10 δι'—καὶ om R^a 10 καὶ—πάντα alt om SΘ 11 αὐτοῦ E 12-13 καταβάντα T 15 ὁ om ΣPVCN 17 δὴ om SΘ πρὸστίθεντες Σ 18 ἡμῶν om V 20 μου ΛYSΘΣPv Syr: om cett

Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. αὕτη οὖν ἐστιν ἡ ἑτοιμασθεῖσα βρῶσις αὐτῷ τὸ σωθῆναι ἡμᾶς. καρπὸς δὲ ἡμῶν ἡ προαίρεσις γίνεται ἡ τῷ δρεπομένῳ ἡμᾶς θεῷ δι' ἑαυτῆς ὡς διά τινος ἀκρεμόνος τὴν ψυχὴν ἐγχειρίζουσα. χρὴ δὲ διὰ τούτων ἰδεῖν ὅτι πρότερον ἡ νύμφη τῷ καρπῷ τοῦ μήλου καταγλυκαίνεται εἰποῦσα· Καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου· καὶ τότε καρπὸς καὶ αὐτὴ γίνεται ὡραῖός τε καὶ γλυκάζων καὶ τῷ γεωργῷ πρὸς εὐφροσύνην προκείμενος. ἡ δὲ τοῦ Καταβήτω λέξις εὐκτικὴν ἔχει τὴν σημασίαν ὁμοιοτρόπως ἐκφωνηθεῖσα τῷ Ἁγιασθήτω τὸ ὄνομά σου καὶ Γενηθήτω τὸ θέλημά σου· ὡς γὰρ ἐκεῖ τὴν εὐκτικὴν ἔμφασιν ὁ τῶν ῥητῶν ἐκείνων σχηματισμὸς περιέχει,
988 M. οὕτω καὶ ἐνταῦθα τὸ Καταβήτω εὐχὴ τῆς νύμφης ἐστὶν ἐπιδεικνυμένης τῷ θεῷ τῶν τῆς ἀρετῆς ἀκροδρύων τὴν εὐφορίαν. ἡ δὲ κατάβασις τὸ τῆς φιλανθρωπίας ἔργον διασημαίνει· ἐπειδὴ γὰρ οὐκ ἔστιν ἄλλως ἀναληφθῆναι ἡμᾶς πρὸς τὸν ὕψιστον, εἰ μὴ πρὸς τὸ χθαμαλὸν ἐπικλιθείη ὁ Ἀναλαμβάνων τοὺς πραεῖς κύριος, διὰ τοῦτο ἡ ἀνιοῦσα πρὸς τὸ ἄνω ψυχὴ τὴν παρὰ τοῦ ὑπερκειμένου χειραγωγίαν

1 I Tim 2, 4 3 sqq cf Matth 7, 16 sqq 3 cf ex. gr. Origen De princ III 1, 10 p 211, 11 sq 4 cf ex. gr. Method Conv VII 1, p 72, 13-15 7 Cant 2, 3 11-12 Matth 6, 9/10 19 Ps 146, 6

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 ὃς: ὡς V θέλει coll post ὃς PV(ὡς)CN deinde om πάντας—σωθῆναι P ἀνθρώπους SΘΣV Syr I Tim 2, 4: om cett v fort recte 2 αὕτη: αὐτῷ T Syr post ἐστιν add ἑτοιμασθεῖσα Syr 3 αὐτῷ: αὕτη T Syr 4 δρεπομένῳ: γεωργοῦντι Syr 4-5 ὡς—ἀκρεμόνος om Syr 6 τοῦ καρποῦ T 6-7 καταγλυκύνεται N 7 ante εἰποῦσα add ἡ VC ὁ om Θ λάρυγγί: στόματί ER^{a}v 8 αὐτὸς Y ὥριμος ER^{a}ΛYSΘΣ^{2}(in marg cum nota γρ)v 9 γλυκαίνων ER^{a}v 10 τὴν om TC 11 τῷ: τὸ EYΘV(sed corr)C(corr C^{2}) N 13 ῥημάτων ΘP om Y ἐκείνων om P χρηματισμὸς ER^{a} ἐνπεριέχει(sic) coll ante ὁ Σ 16 εὐφορίαν: εὐφροσύνην PVCN 17 ἄλλος N 18 ἡμᾶς om ER^{a}v ante πρὸς add πρότερον Syr χθαμαλώτερον ER^{a}ΣTv ἐπικληθείη ΣVC (corr C^{2})N 19 τοὺς om S(add m ut vid pr) ἀνιοῦσα ἡ V 20 τὰ ἄνω ER^{a}Tv τὰ ἄνα V τὸν θεὸν P κλινομένου PVCN

προσκαλουμένη ὑποκαταβῆναι αὐτὸν τοῦ ἰδίου μεγέθους εὔχεται, ἵνα τοῖς κάτω ἐφικτὸς γένηται. ὁ δὲ εἰπὼν διὰ τοῦ προφήτου ὅτι Ἔτι λαλοῦντός σου ἐρεῖ· ἰδοὺ πάρειμι, πρὶν ἐπεξελθεῖν τῇ εὐχῇ τὴν νύμφην, καὶ ἤκουσεν ὧν ἐδεήθη καὶ τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῆς προσέσχε καὶ ἐν τῷ κήπῳ ἐγένετο τῷ διαπνευσθέντι ὑπὸ τοῦ νότου καὶ τοὺς καρποὺς τῶν ἀρωμάτων ἐδρέψατο καὶ τῶν τῆς ἀρετῆς ἀκροδρύων ἐνεφορήθη καὶ διήγημα τὴν εὐωχίαν πεποίηται λέγων οὑτωσὶ πρὸς τὴν νύμφην· Κατέβην εἰς κῆπόν μου, ἀδελφή μου νύμφη, ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου, ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου, ἔπιον οἶνόν μου μετὰ γάλακτός μου. φάγετε, οἱ πλησίον μου, καὶ πίετε καὶ μεθύσθητε, ἀδελφοί μου.

Ὁρᾷς πῶς ὑπερβάλλει τῇ μεγαλοδωρεᾷ τὴν αἴτησιν· ἀρωμάτων ηὔξατο γενέσθαι πηγὰς ἡ νύμφη τὰ ἑαυτῆς ἐν τῷ κήπῳ φυτὰ διαπνευσθέντα τῷ ἐκ μεσημβρίας ἐπιπνέοντι νότῳ καὶ τῷ καρπῷ τῶν ἀκροδρύων τὸν γεωργὸν δεξιώσασθαι (τοῦτο δὲ παντὶ δῆλον ὅτι πᾶσα εὔπνοια τῆς ὀσφραντικῆς αἰσθήσεως ἡδονὴ γίνεται, τὰ δὲ ἀκρόδρυα τῆς τοῦ ἄρτου δυνάμεως κατὰ τὴν βρῶσιν ὡς πρὸς τὴν τῶν τρεφομένων εὐεξίαν ἐστὶν ἀτονώτερα), ὁ δὲ καταβὰς ἐπὶ τὸν ἑαυτοῦ κῆπον καὶ πρὸς τὸ μεῖζόν τε καὶ τιμιώτερον τὴν τῶν καρπῶν μεταβαλὼν φύσιν δρέπεται μὲν ἐκ τοῦ κήπου σμύρναν

3 Isai 58, 9 9-13 Cant 5, 1

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 αὐτὴν Y 2 ἔρχεται Y ἵνα—γένηται om N 3 σου λαλοῦντος Σ ἐρῶ ER^{a}VTΛ^{2}C^{2} (ex ἐρεῖ) ἐκεῖ v 4 ἐξελθεῖν PVCN τὴν εὐχὴν ΛYSΘ τῇ νύμφῃ Λ(corr τῆς νύμφης Λ^{2})YSΘv καὶ om V ὧν: ὧ N 5 καὶ ἐν: ἐν γὰρ Syr 8 εὐωχία Θ ποιεῖται ΛY 9 μου SΘT Syr: om cett v 10 post νύμφη add κατέβην εἰς κῆπόν μου Syr ἐτρύγησας R^{a} μου alt om R^{a} 10-11 μετὰ ἀρωμάτων μου om P 11 μου quart om PV 12 φάγεται ἡ N 13 ante ἀδελφοί add οἱ P ἀδελφιδοί ER^{a} 15 εὔξατο ER^{a}SΘv ἡ νύμφη om Syr 16 ἐν τῷ κήπῳ om SΘ post φυτὰ add τὰ SΘPVCN ἐπιπνευσθέντα SΘ πνέοντι V 18 post παντί add που C 21 ante ἐστὶν add φύσει (vel κατὰ φύσιν)Syr ἀτονώτερον v ἑαυτοῦ: αὐτὸν Σ 22 τε om T 23 μεταβάλλων E(corr E^{2})

εὑρὼν μετὰ ἀρωμάτων αὐτοῦ (παρ' αὐτοῦ γὰρ εἶναι εἴ τι καλόν, ἐν ᾧπερ ἂν εὑρεθῇ, ὁ προφητικὸς ὕμνησε λόγος), ἀντὶ δὲ τῶν ἀκροδρύων ἄρτῳ βρίθειν παρασκευάζει τὰ δένδρα συναναμεμιγμένῳ μετὰ τοῦ μέλιτος αὐτοῦ (καὶ τούτῳ τὸ προφητικὸν συνεκφωνείσθω ὅτι αὐτοῦ τὸ μέλι ὡς καὶ τὰ λοιπὰ τῶν καλῶν) καὶ τὸν οἶνον ἀπ' αὐτῶν ἀρύεται συνανακεκραμένον τῷ γάλακτι αὐτοῦ· Ἐξ αὐτοῦ γὰρ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. ὢ μακαρίων κήπων ἐκείνων, ὧν τὰ φυτὰ τοιούτοις βρύειν καρποῖς μεμαρτύρηται, ὡς πρὸς ἅπαν εἶδος τρυφῆς κατὰ τὴν ἐπιθυμίαν τῆς ἀπολαύσεως ἁρμοδίως μεταποιεῖσθαι. τῷ μὲν γὰρ διὰ τῆς εὐωδίας τρυφῶντι σμύρνα γίνεται μετὰ ἀρωμάτων διὰ τῆς τῶν ἐπιγείων μελῶν νεκρότητος τὸν καθαρὸν καὶ εὐώδη μυρεψοῦντα βίον τὸν ἐκ ποικίλων τε καὶ διαφόρων τῶν τῆς ἀρετῆς ἀρωμάτων συγκεραννύμενον, τῷ δὲ τὴν τελειοτέραν ἐπιζητοῦντι τροφὴν ἄρτος γίνεται οὐκέτι ἐπὶ πικρίδων ἐσθιόμενος, ὡς ὁ νόμος διακελεύεται

1-2 cf Zach 9, 17 3 cf Odyss τ 112 βρίθῃσι δὲ δένδρεα καρπῷ 7-8 Rom 11, 36 12-p 307, 2 cf Ambros De bono mort (= Origen Comm) p 722, 6-11 12-15 cf Ambros De Isaac (= Origen Comm) p 673, 8 sqq: 'dos autem piae animae boni odores sunt, murra aloe crocum, quibus spirat hortorum gratia et peccatorum faetor aboletur'. 12-13 cf supra p 189, 6 sqq 16 cf Hebr 5, 14 17 cf Exod 12, 8

ER^a ΛYSΘ Σ PVT CN Syr 2 ἂν om v ὁ coll ante λόγος N om PVC ἀνύμνησε PVCN 3 τῶν om P ἄρτον PVC ἄρτων N βρύειν v 4 συναναμεμιγμένῳ ΣTv Syr: -μένον ER^a(sscr ων)VC -μένων PN -μένα ΛYSΘ μετὰ om E(in marg adscr fort m pr) τοῦ om N 5 τούτῳ: οὕτω CN συνεκφωνεῖσθαι T 6 καλῶν: ἄλλων v αὐτὸν N 7 συνακεκραμένον Θ συνανακρεμαμένον N 9 ὧν om Σ et τοιούτους et καρποὺς CN 10 μεμαρτύρηνται T πᾶν Σ τροφῆς ΛTv om P 11 ἀπολαύσεως: ἀλλοιώσεως ER^a 12 εὐωδία(ς) corr in ras E^2 εὐοδμίας ΛYSΘΣ(-ωδ-)PV ἐπιθυμίας T (τρυφῶντ)ι corr E^2 in ras 1 vel 2 litt 12-13 μετὰ ἀρωμάτων om ER^av 13 νεκρώσεως T 14 post εὐώδη add τῆς ἀρετῆς Syr μυρεψοῦντι V$E^2R^{a2}C^2$(e- τα) μυρεψῶν v scil coniungendum cum subjecto τὰ φυτά τὸν om N 15 τῶν: τὸν Y τῶν τῆς ἀρετῆς om SΘ 16 τήν: τὸν Y om P τελειοτέρων Y 17 καθὼς Σ

(πρὸς γὰρ τὸ παρόν ἐστιν ἡ πικρία), ἀλλ' ὄψον ἑαυτοῦ τὸ μέλι ποιούμενος, ὅταν ἐν τῷ ἰδίῳ καιρῷ ὁ καρπὸς τῆς ἀρετῆς καταγλυκαίνῃ τὰ τῆς ψυχῆς αἰσθητήρια (οὗ ἀπόδειξις ὁ μετὰ τὴν ἀνάστασιν τοῦ κυρίου προφανεὶς τοῖς μαθηταῖς ἄρτος ἐστί) τῷ κηρίῳ τοῦ μέλιτος ἡδυνόμενος, τῷ διψῶντι
989 M. δὲ κρατὴρ γίνεται πλήρης οἴνου καὶ γάλακτος, οὐ σπογγιὰ χολῇ τε καὶ ὄξει διάβροχος, οἵαν οἱ Ἰουδαῖοι τῷ εὐεργέτῃ τὴν φιλοτησίαν διὰ τοῦ καλάμου προτείνουσιν. πάντως δὲ οὐκ ἀγνοοῦμεν τὰ τῶν εἰρημένων αἰνίγματα· πῶς δένδρον ἦν σμυρνοφόρον ὁ Παῦλος ὁ καθ' ἡμέραν ἀποθνήσκων καὶ αὐτὸς ἑαυτῷ διδοὺς τὸ τοῦ θανάτου ἀπόκριμα καὶ διὰ καθαρότητός τε καὶ ἀπαθείας ἀρωματίζων ὀσμὴ ζωῆς τοῖς σῳζομένοις γινόμενος, πῶς δὲ σιτοποιεῖ [τῷ κυρίῳ] τὰ ἔμψυχα τοῦ κήπου φυτὰ τῷ δεσπότῃ τοῦ κήπου, οἷς μαρτυρεῖ ὁ ἐπὶ τοῦ θρόνου καθήμενος ὅτι Ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν (ἄρτος γὰρ εὐφροσύνης ἐστὶν ἡ εὐποιΐα τῷ μέλιτι τῆς ἐντολῆς γλυκαινόμενος), πῶς δὲ πάλιν οἰνοχοεῖ τῷ νυμφίῳ τὰ εὐερνῆ τοῦ κήπου φυτά, πρὸς οὓς τοῦτό φησιν ὅτι Ἐδίψησα καὶ ἐποτίσατέ με, γάλακτι τὸν οἶνον

4-5 ad interpretationem allegoricam Joh 21, 9-13 spectare videtur. fort ex Origen in Joh 5 cf supra p 269, 14 sqq 6-8 Matth 27, 34 et 48; Marc 15, 36 10 cf I Cor 15, 31 11 cf II Cor 1, 9 12-13 cf II Cor 2, 15/16 15-16 Matth 25, 35 19 ibid

ER^a ΛYSΘ Σ PVT CN Syr 1 πικρία ΛYS$Θ^2$(e πικρίς)Syr: κριπίς N πικρίς cett v ὄψον: ὁ τὸν NC(ex ἀλλ' ὁ τὸν corr ἄρτον C^2) ἑαυτῷ ER^av 2 πιούμενος R^a 3 καταγλυκαίνει ΣN -νοι VC 4 προφανὴς TC τοῖς μαθηταῖς om T(in marg adscr post κυρίου) 7 χολῆς Λ(eras ς)Y ἀδιάβροχος YΛ (fort, corr $Λ^2$) οἷον P ὃν CN οἱ om V post ἰουδαῖοι add οἱ N 7-8 τοῦ εὐεργέτου τῇ αἰτήσει Syr 8 e τὴν corr πρὸ C^2 φιλοτιμίαν Y$Λ^2$(corr μί in ras)SΘCN ante διὰ add ἐνδεικνύμενοι v 10 σμυρνηφόρον ER^aΣTv 11 τό: τῷ VT 12 τε om ΣPVCN 12 post ὀσμὴ eras 1 litt Σ ζωῆς corr in ras P 13 τῷ om T θεῷ Σ τῷ κυρίῳ om v, delevi 14 ante φυτὰ add τὰ S οἷς ER^aΣ Syr: ὁ ἰησοῦς ΛYSΘ ὡς PVTCNv 15 τοῦ om R^a post καὶ add οὐκ Θ 16 εὔπνοια SΘΣ(fort, sed corr) 18 εὐερνῆ: ras 6 fere litt R^a εὐγενῆ TC in marg adnot εὔβλαστα Θ 19 ὅτι om T

κεράσαντες, οὐχ ὕδατι κατὰ τὴν τῶν καπήλων συνήθειαν. τὸ δὲ γάλα ἡ πρώτη τῆς ἀνθρωπίνης φύσεώς ἐστι τροφή, ἡ καθαρά τε καὶ ἁπλῆ καὶ ὄντως νηπιώδης καὶ ἄδολος καὶ πάσης πονηρᾶς αἰτίας κεκαθαρμένη.

Ταῦτα εἰπὼν πρὸς τὴν νύμφην ὁ λόγος παρατίθεται τοῖς πλησίον τὰ τοῦ εὐαγγελίου μυστήρια λέγων Φάγετε, οἱ πλησίον μου, καὶ πίετε καὶ μεθύσθητε, ἀδελφοί μου· τῷ γὰρ ἐπισταμένῳ τὰς μυστικὰς τοῦ εὐαγγελίου φωνὰς οὐδεμία φανήσεται διαφορὰ τῶν ἐνταῦθα ῥητῶν πρὸς τὴν ἐκεῖ τοῖς μαθηταῖς γινομένην μυσταγωγίαν· ὡσαύτως γὰρ ἐκεῖ τε καὶ ἐνταῦθά φησιν ὁ λόγος τὸ Φάγετε καὶ τὸ Πίετε. ἡ δὲ πρὸς τὴν μέθην προτροπή, ἣν ἐνταῦθα τοῖς ἀδελφοῖς ὁ λόγος πεποίηται, δόξειεν ἂν τοῖς πολλοῖς πλεῖόν τι παρὰ τὸ εὐαγγέλιον ἔχειν. εἰ δέ τις ἀκριβῶς ἐξετάσειεν, καὶ τοῦτο σύμφωνον τοῖς εὐαγγελικοῖς εὑρεθήσεται· ὅπερ γὰρ ἐνταῦθα τῷ λόγῳ τοῖς φίλοις παρεκελεύσατο, τοῦτο ἐκεῖ διὰ τῶν ἔργων ἐποίησεν, διότι πᾶσα μέθη ἔκστασιν εἴωθε ποιεῖν τῆς διανοίας τοῖς κεκρατημένοις ὑπὸ τοῦ οἴνου. οὐκοῦν ὅπερ ἐνταῦθα προτρέπεται, τοῦτο διὰ τῆς θείας ἐκείνης βρώσεώς τε καὶ πόσεως καὶ τότε ἐγένετο καὶ πάντοτε γίνεται

2-3 cf I Petr 2, 2 5 sqq cf H. Lewy 'Sobria Ebrietas' p 114 sqq et 134 sqq; cf J. Daniélou 'Platonisme et Théol mystique' (Paris 1944) p 293 sq 11 φάγετε: Matth 26, 26; πίετε: ibid 27 17 sqq cf supra p 156, 14-20; In Christi ascens p 692 B(Migne)

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἐγκεράσαντες ΛYSΘ οὐχὶ (scil sec usum ling vulgaris) ΛYSΘVTCN 2 ἐστὶν φύσεως Σ 3 ἀπαλὴ PVTCN καὶ alt: ἡ ER^aTv ὄντος V 4 αἰτίας: πολιτείας ΛYSΘ 5 περιτίθεται v 7 καὶ πίετε om N ἀδελφιδοί ER^a 9 διαφορὰ: φορὰ N ῥημάτων R^a 10 ἐγγινομένην ΛYΘ ἐγγενομένην S γεγενημένην V 11 ἐνταῦθα καὶ ἐκεῖ (om τε) R^aE (post ἐκεῖ eras 1 vel 2 litt in fine lin) v τὸ pr: τῶ Y τὸ alt ΛSCN: om cett v Syr 13 πλέον CN 15 εὐαγγελικῆς R^aN εὐαγγελίοις Σ 16 post φίλοις add ὁ λόγος V 17 ποιεῖν om R^a 18 τῶν κεκρατημένων V τῆς -μένης v 18-19 et ante ὅπερ add πρὸς et post προτρέπεται add αὐτούς Syr 19 τοῦτο: ταὐτὸ Syr 20 ἐγένετο: ἐγίνετο v om P

συνεισιούσης τῇ βρώσει τε καὶ τῇ πόσει τῆς ἀπὸ τῶν χειρόνων πρὸς τὰ βελτίω μεταβολῆς καὶ ἐκστάσεως. οὕτω μεθύουσι, καθὼς ἡ προφητεία φησίν, οἱ τὴν πιότητα τοῦ οἴκου τοῦ θεοῦ πίνοντες καὶ τῷ χειμάρρῳ τῆς τρυφῆς ποτιζόμενοι. ὥσπερ ἐμεθύσθη ποτὲ καὶ ὁ μέγας Δαβίδ, ὅτε ἐκβὰς αὐτὸς ἑαυτοῦ καὶ ἐν ἐκστάσει γενόμενος εἶδε τὸ ἀθέατον κάλλος καὶ τὴν ἀοίδιμον ἐκείνην φωνὴν ἐξεβόησεν ὅτι Πᾶς ἄνθρωπος ψεύστης, ὁ λόγῳ τῶν ἀφράστων ἀγαθῶν ἐπιτρέπων τὴν ἑρμηνείαν. οὕτως ἐμεθύσθη καὶ ὁ νεώτερος Βενιαμὶν Παῦλος, ὅτε ἐν ἐκστάσει ἐγένετο λέγων Εἴτε γὰρ ἐξέστημεν, θεῷ (πρὸς ἐκεῖνον γὰρ αὐτῷ ἡ ἔκστασις ἦν), Εἴτε σωφρονοῦμεν, ὑμῖν, οἷς ἐδείκνυεν ἐν τοῖς πρὸς τὸν Φῆστον λόγοις ἑαυτὸν μὴ μαινόμενον, ἀλλὰ σωφροσύνης τε καὶ δικαιοσύνης ἀποφθεγγόμενον ῥήματα. οἶδα καὶ τὸν μακάριον Πέτρον ἐν τῷ τοιούτῳ τῆς μέθης εἴδει πρόσπεινόν τε ὄντα ὁμοῦ καὶ

1-2 cf Ambros De Isaac (= Origen Comm) p 673, 18 sqq: '... hoc poculum bibit et eius potus ebrietate nos provocat, ut ad meliora et optima ab inferioribus faciamus excessum'. 2-4 cf Ps 35, 9 5-9 cf De virgin p 290, 1-291, 12 (Vol VIII, 1 Jaeger) 6-9 cf Plato Epist VII 341 c/d et doctrinam Platonicorum de silentio mystico. cf ex. gr. Porphyr De abstinent II 34 (= Euseb Praep Evang IV 11, 1 et Dem Evang III 3, 10): διὸ οὐδὲ λόγος τούτῳ (scil θεῷ) ὁ κατὰ φωνὴν οἰκεῖος οὐδ' ὁ ἔνδον . . . διὰ δὲ σιγῆς καθαρᾶς καὶ τῶν περὶ αὐτοῦ καθαρῶν ἐννοιῶν θρησκεύσωμεν αὐτόν. ad alia exempla cf O. Casel 'De philos Graec silentio mystico' p 77 sqq (Philo), 86 sqq (Plutarch), 39 sqq (Plato). 7-8 Ps 115, 2 9 cf Ps 67, 28; Rom 11, 1; Phil 3, 5 10-11 II Cor 5, 13; cf In Psal p 577 B(Migne) 12-14 cf Act 26, 25

ER^a ΛYSΘ Σ PVT CN Syr 1 συνεισϊούση T συνϊούσης PVCN τῇ alt om ΣP 2-3 οὕτω—καθὼς om Σ 3 ποιότητα T 4 ποτιζόμενοι: πιαινόμενοι V 6 ἑαυτὸν ΛYSΘΣT (sscr ου T^2) γενόμενος om Θ 7 ἐβόησεν Σ ἐξεφώνησεν P 8 corr ψεύστης in ras $Λ^2$ ὁ Σ: οὐ Syr (add ἀνθρώπου post λόγῳ) om cett v, scil per haplogr litt C et O ἀγαθῶν: θησαυρῶν ER^aTv 8-9 et om τὴν et coll ἑρμηνείαν ante ἐπιτρέπων SΘ 9 post νεώτερος add ἡμῶν N 10 ante θεῷ add τῷ SΘ 11 αὐτῷ: αὐτὸν ΛYNv om V 12 οἷς: ὡς v ἐν om YTv 13 μαινόμενος V post καὶ et add et exp ζωῆς R^a 14 ἀποφθεγγόμενος PVC (corr C^2) N παῦλον R^a (corr R^{a2})

992 M. μεθύοντα· πρὶν γὰρ τὴν σωματικὴν τροφὴν προσενέγκασθαι, ὅτε Ἐγένετο πρόσπεινος καὶ ἤθελε γεύσασθαι, παρασκευαζόντων αὐτῷ τῶν ἰδίων τὴν τράπεζαν γίνεται αὐτῷ ἡ θεία τε καὶ νηφάλιος μέθη, δι' ἧς ἐξίσταται αὐτὸς ἑαυτοῦ καὶ θεωρεῖ τὴν εὐαγγελικὴν ὀθόνην τέσσαρσιν ἀρχαῖς ἄνωθεν καθιεμένην πᾶν γένος ἀνθρώπων ἐν ἑαυτῇ περιέχουσαν ἐν μυρίοις εἴδεσι πετεινῶν τε καὶ τετραπόδων καὶ ἑρπετῶν καὶ θηρίων κατὰ τὰς τῶν σεβασμάτων διαφορὰς μεμορφωμένων, ὧν τὸ θηριῶδές τε καὶ ἄλογον εἶδος θῦσαι τῷ Πέτρῳ ὁ λόγος διακελεύεται, ἵνα καθαρθέντων αὐτῶν τὸ λειπόμενον ἐδώδιμον γένηται, ὅτε καὶ γυμνὸς ὁ τῆς εὐσεβείας παραδίδοται λόγος οὐχ ἅπαξ εἰπούσης τῆς θείας φωνῆς ὅτι οὐκ ἔστι κοινόν, ὅπερ ὁ θεὸς ἐκαθάρισεν, ἀλλ' εἰς τρὶς γενομένου τοῦ τοιούτου κηρύγματος, ἵνα μάθωμεν τῇ μιᾷ φωνῇ θεὸν καθαρίζοντα τὸν πατέρα καὶ ἐν τῇ ἑτέρᾳ ὡσαύτως τὸν καθαρίζοντα θεὸν τὸν μονογενῆ θεὸν εἶναι καὶ ἐν τῇ ἄλλῃ παραπλησίως ὅτι ὁ πᾶν ἀκάθαρτον καθαρίζων θεὸς τὸ πνεῦμά ἐστι τὸ ἅγιον. τοιαύτης τοίνυν γινομένης τῆς ἐκ τοῦ οἴνου μέθης, ὃν προτίθησι τοῖς συμπόταις ὁ κύριος, δι' ἧς πρὸς τὰ θειότερα τῇ ψυχῇ ἡ ἔκστασις γίνεται,

2-3 Act 10, 10   4-14 cf ibid 10-16   6 cf ex. gr. Ambros Expos Luc p 507, 20-22 (Schenkl) et p 300, 17-19 (scil ex Origen)   19-20 cf Origen in Joh I 30 = p 37, 16-18

ER^a ΛYSΘ Σ PVT CN Syr   1 τρυφὴν Θ   2 (προ)σ(π)ει(νος) corr Λ^2 in ras   ἠθέλησεν N   3 ἠδίων N   τε om Σ   4 νιφάλεος N   5 ἀγγελικὴν V   ἄνωθεν om V   6 καθιρμένην Y   ante πᾶν add καὶ T   ἀνθρώπων: ζώων P   ἑαυτῇ ΛYΣT: αὐτῇ cett v   περιέχουσα N   7 μυρίων V   8-9 μεμορφωμένην C^2(e -νων)   9 ὧν: ἧς P(sscr ἣν) ἣν CN   τε om V   11 γίνεται N   ὅτε: ὅτι V   γυμνῶς S Syr   12 οὐχὶ ΛYSΘ   13 φωνῆς om N   ἐκαθαίρισεν YV(-ρη-)C(-θέρ-)N(-θέρ-)   14 τρεῖς E(corr E^2)ΛYΘPVCN   15 ante θεὸν add τὸν V   θεὸν om E(sscr E^2)   ἑτέρᾳ: δευτέρᾳ SΘ   16 τὸν pr coll post καθαρίζοντα E(ut vid, sed eras)v om R^a Syr   et θεὸν pr et εἶναι om Syr   θεὸν alt E(corr υἱὸν E^2)ΣPTC(corr υἱὸν τοῦ θεοῦ C^2)N Syr: υἱὸν cett v   17 post ἀκάθαρτον eras 3 litt C   18 τοίνυν: οὖν SΘ   γενομένης PVCN   τῆς: τοῖς R^a 19 προτίθεται SΘ   20 τῇ ψυχῇ Σ Syr: τῆς ψυχῆς cett v   ἡ T: coll ante πρὸς ΛYSΘPVN om ER^aΣC(sscr ante πρὸς C^2)v   ἐξέτασις YΛ(ut vid, corr Λ^2)

καλῶς παρακελεύεται τοῖς πλησίον διὰ τῶν ἀρετῶν γεγονόσιν, οὐ τοῖς πόρρωθεν ἀφεστηκόσιν [ὁ κύριος] ὅτι Φάγετε, οἱ πλησίον μου, καὶ πίετε καὶ μεθύσθητε· Ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, καλῶς δὲ τοὺς ἀξίους τῆς βρώσεως ἀδελφοὺς προσηγόρευσεν· ὁ γὰρ ποιῶν τὰ θελήματα αὐτοῦ καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ὑπὸ τοῦ λόγου κατονομάζεται.

Ἀκολούθως δὲ διαδέχεται τὴν μέθην ὁ ὕπνος, ὡς ἂν διὰ τῆς πέψεως ἀναδοθείη τοῖς δαιτυμόσιν εἰς εὐεξίαν ἡ δύναμις. διὰ τοῦτο μετὰ τὴν πανδαισίαν ἐκείνην ἐν τῷ ὕπνῳ ἡ νύμφη γίνεται. ξένος δέ τις οὗτος ὁ ὕπνος ἐστὶ καὶ τῆς φυσικῆς συνηθείας ἀλλότριος· ἐπὶ μὲν γὰρ τοῦ συνήθους ὕπνου οὔτε ὁ καθεύδων ἐγρήγορεν καὶ ὁ ἐγρηγορὼς οὐ καθεύδει, ἀλλ' ἐν ἀλλήλοις λήγει ἀμφότερα ὅ τε ὕπνος καὶ ἡ ἐγρήγορσις ταῖς διαδοχαῖς ἀλλήλων ὑπεξιστάμενα καὶ ἀνὰ μέρος ἑκάστῳ παραγινόμενα, ἐνταῦθα δέ τις καινὴ καὶ παράδοξος μίξις τῶν ἐναντίων καὶ σύνοδος περὶ αὐτὴν θεωρεῖται· Ἐγὼ γάρ, φησί, καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ. τίνα οὖν χρὴ διάνοιαν περὶ τούτων λαβεῖν; ὕπνος θανάτου ἐστὶν ὁμοίωμα· λύεται γὰρ ἐν αὐτῷ πᾶσα αἰσθητικὴ τῶν σωμάτων ἐνέργεια, οὐκ ὄψεως, οὐκ ἀκοῆς, οὐκ ὀσφρή-

3-4 I Cor 11, 29   6-7 cf Marc 3, 35 (sec cod Vatic)   12-16 cf ex. gr. Aristot De somn 454 b 1-4   18 Cant 5, 2   19-20 cf Ilias Π 672 et 682 (cf Method De resurr I 53, 2 (p 309, 9); cf In Christi res III p 672 D sq (Migne)   20 cf Aristot De somn 454 a 32 sq

ER^a ΛYSΘ Σ PVT CN Syr   1 καλῶς παρακελεύεται om Σ   γεγόνασιν P   2 ὁ κύριος om Syr, delevi   4 ante κρίμα add εἰς ΛYSΘΣ   ἑαυτῷ om S   5 προηγόρευσεν N   6 τὰ θελήματα ΛYΣPVCN Syr: τὸ θέλημα cett v   καὶ pr om Σ   8 δὲ om Σ   ὡς: ὧν CN ὃν P(sscr ὡς)V   9 πέμψεως N   ἀναδοθείη om V   εἰς εὐεξίαν om Syr   10 post δύναμις add ἅγοι V   τοῦτο: τοῦ Y   11 ὁ ὕπνος οὗτος SΣN   12 τοῦ om Σ   14 post ὅτε(sic)add ὁ C   15 ἐγρηγόρησις ER^aΛYCNv   ἀλλήλοις S   15-16 καὶ—παραγινόμενα om ER^av   16 μέρη S(ut vid)   παραγενόμενα V γινόμενα Θ γενόμενα S   17 αὐτοῦ V   17-18 θεωρεῖται coll ante περὶ ER^aTv   19 τούτου ΛYSΘV   20 ὁμοίωμα ἐστί T   post πᾶσα add ἡ Σ   21 οὐχ' ὄψεως NC(corr C^2)

σεως, οὐ γεύσεως, οὐχ ἀφῆς παρὰ τὸν τοῦ ὕπνου καιρὸν ἐνεργούσης τὸ ἴδιον· ἀλλὰ καὶ λύει τὸν τόνον τοῦ σώματος, ποιεῖ δὲ καὶ λήθην τῶν ἐν τῷ ἀνθρώπῳ φροντίδων καὶ κατευνάζει τὸν φόβον καὶ ἡμεροῖ τὸν θυμὸν καὶ ὑποχαλᾷ τῶν πικραινομένων τὸ σύντονον καὶ πάντων τῶν κακῶν ἀναισθησίαν ποιεῖ, ἕως ἂν κατακρατῶν τύχῃ τοῦ σώματος. οὐκοῦν τοῦτο διὰ τῶν εἰρημένων μανθάνομεν ὅτι ὑψηλοτέρα γέγονεν ἑαυτῆς ἡ ταῦτα μεγαλαυχουμένη καὶ λέγουσα ὅτι Ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ. τῷ ὄντι γὰρ ἐφ' ὧν μόνος ὁ νοῦς ἐφ' ἑαυτοῦ βιοτεύει οὐδενὶ τῶν
993 M. αἰσθητηρίων παρενοχλούμενος, ὡς ὕπνῳ τινὶ καὶ κώματι πάρετος ἡ τοῦ σώματος γίνεται φύσις καὶ ἀληθῶς ἔστιν εἰπεῖν ὅτι κοιμᾶται δι' ἀπραξίας ἡ ὅρασις ἀτιμαζομένων τῶν θεαμάτων ἐκείνων, ὅσα τὰς παιδικὰς ὄψεις ἐκπλήττειν εἴωθεν. οὐ ταῦτα λέγω μόνα ἃ τῆς γεώδους ὕλης ἐστίν, οἷον χρυσίον τε καὶ ἀργύριον καὶ τῶν λίθων ἐκεῖνα ὅσα διά τινος εὐχροίας κινεῖ τοῖς ὀφθαλμοῖς τὴν λιχνείαν, ἀλλὰ καὶ τὰ περὶ τὸν οὐρανὸν φαινόμενα θαύματα, αἵ τε τῶν ἀστέρων αὐγαὶ καὶ τοῦ ἡλίου ὁ κύκλος καὶ τὸ πολύμορφον τῆς σελήνης εἶδος καὶ εἴ τι ἄλλο τοῖς ὀφθαλμοῖς ἡδονὴν φέρει διὰ τὸ μηδὲν εἰς ἀεὶ μένειν ἀλλὰ συμμετακινεῖσθαι τῇ παρόδῳ

10-p 314, 7 cf Plat Phaed 64 c—67 d somno pro morte substituto, an auctore Origene nescimus. testimonia deficiunt; at cf Philo Quis rer div heres § 257 18-21 scil contra Platonem nec non Aristotelem pugnat, cf supra p 295, 1-5

ER^a ΛYSΘ Σ PVT CN Syr 1 οὐκ ἀφῆς: Λ(κ in ras) YΣPVCN 3 καὶ alt om PVCN 4 καὶ pr om V 5 τὸ: τὸν V τὸν τόνον ER^av post κακῶν add τὴν Σ 6 ἂν om Σ(sscr Σ^2) 7 ὅτι: ὅτε VY(fort, sed corr) 10 ὧν: ὃν Y ᾧ PVC(corr C^2)N Syr μόνως N ἑαυτῶ V οὐδενὶ: οὐδὲν ὑπὸ PVCN 11 καὶ κώματι om SΘ κωλύματι PCN καλύμματι V 12 super πάρετος sscr παρεκτὸς P γίνοιτο v ἀληθές C^2(e -θῶς) Syr 13 εἰπεῖν ὅτι: εἰπένητι NC(ut vid, corr C^2) 14 παιδικὰς: παροδικὰς V 14-15 εἴωθεν ἐκπλήττειν T 15 ὕλης: φύσις N 16 χρυσόν PVCN ἄργυρον P ἐκείνων N 17 τοῖς iterat P τοὺς N τῶν ὀφθαλμῶν Σ(corr Σ^2)V τοὺς ὀφθαλμοὺς εἰς SΘ λυχνίαν R^aΛ(corr Λ^2) YT(sed corr)C(corr C^2) λυχνείαν VN 18 φαινόμενα coll post θαύματα Σ φαινόμενα: κινούμενα PVCN 21 μετακινεῖσθαι P

τοῦ χρόνου καὶ συμπαράγεσθαι. πάντων τῶν τοιούτων ὑπεροφθέντων διὰ τὴν τῶν ἀληθινῶν ἀγαθῶν θεωρίαν πάρετός ἐστιν ὁ τοῦ σώματος ὀφθαλμὸς πρὸς οὐδὲν τῶν παρ' αὐτοῦ ὑποδεικνυμένων τῆς τελειοτέρας ψυχῆς καθελκομένης διὰ τὸ μόνα βλέπειν τῇ διανοίᾳ τὰ τῶν ὁρατῶν ὑπερκείμενα. οὕτω καὶ ἡ ἀκοὴ νεκρά τις καὶ ἀνενέργητος γίνεται πρὸς τὰ ὑπὲρ λόγον τῆς ψυχῆς ἀσχολουμένης. τὰς δὲ κτηνωδεστέρας τῶν αἰσθήσεων οὐδὲ λέγειν ἄξιον ὅτι πόρρωθεν καθάπερ τις νεκρώδης δυσωδία τῆς ψυχῆς ἀπορρίπτεται ἥ τε ῥινηλατοῦσα τὰς ὀδμὰς ὄσφρησις καὶ ἡ τῇ λατρείᾳ τῆς κοιλίας προσκαθημένη γεῦσις καὶ ἡ ἀφὴ πρὸς τούτοις, τὸ ἀνδραποδῶδες καὶ τυφλὸν αἰσθητήριον ὃ τάχα διὰ τοὺς τυφλοὺς μόνον ἡ φύσις ἐποίησεν, ὧν πάντων ὥσπερ ἐν ὕπνῳ τινὶ δι' ἀπραξίας κεκρατημένων καθαρὰ τῆς καρδίας ἐστὶν ἡ ἐνέργεια καὶ πρὸς τὸ ἄνω βλέπει ὁ λογισμὸς ἀπερίηχητος μένων ἐκ τῆς αἰσθητικῆς κινήσεως καὶ ἀθόλωτος. διπλῆς γὰρ οὔσης ἐν τῇ ἀνθρωπίνῃ φύσει τῆς ἡδονῆς, τῆς μὲν ἐν ψυχῇ δι' ἀπαθείας ἐνεργουμένης, τῆς δὲ διὰ πάθους ἐν σώματι, ἥνπερ ἂν ἐξ ἀμφοτέρων ἡ προαίρεσις ἕληται, αὕτη κατὰ τῆς ἑτέρας τὸ κράτος ἔχει. ὡς εἴ τις πρὸς τὴν αἴσθησιν βλέποι τὴν δι' αὐτῆς ἐμφυομένην τῷ σώματι ἡδονὴν ἐφελκόμενος, ἄγευστος τῆς θείας εὐφροσύνης διαβιώσεται, διότι πέφυκέ πως ἐπισκοτεῖσθαι τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος. οἷς δ'ἂν ἡ ἐπιθυμία τὴν πρὸς τὸ

14-16 et p 314, 3-7 cf Aristot Περὶ φιλοσοφίας frg 10 (= Sext Emp Adv Physicos I, 20-21) 17-18 cf ex. gr. Plat Phileb 51/52

ER^a ΛYSΘ Σ PVT CN Syr 1 συμπεριάγεσθαι v 2 post πάρετος add γὰρ Σ 4 ἐπιδεικνυμένων PVCN 5 ὁρωμένων PVCN 7-8 et τὰ et κτηνωδέστερα ER^av 8 οὔτε ER^aΣTv πόρρωθεν: πρότερον P 9 τινες ῥοώδεις R^a(ut vid, corr R^{a2}) τινες νεκρώδεις V δυσωδίαι V ἀπορρίπτονται V 10 ἥ τε: εἴτε Σ ῥηνηλατοῦσα v ὀσμὰς ER^av ἡ alt om V 11 προκαθημένη VN 13 μόνον coll post φύσις T μόνους PVC om N ὥσπερ: ὡς Σ ἐν om ΛY 14 ἀπραξίαν v κατηργημένων Syr 15 ἡ om V τὸ: τὰ T 16 αἰσθητῆς ΛYPC 18 ἀπάθειαν V 19 ἂν om ΛY ἕληται: λέγηται R^a 21 βλέπει ΣPT 24 ἡ om v τὴν om E(in marg add E^2)

θεῖον ἔχῃ ῥοπήν, τούτοις ἀνεπισκότητον μένει τὸ ἀγαθὸν καὶ φευκτὸν ἅπαν εἶναι νομίζεται τὸ καταγοητεῦον τὴν αἴσθησιν. διὰ τοῦτο ἡ ψυχή, ὅταν μόνῃ τῇ θεωρίᾳ τοῦ ὄντος εὐφραίνηται, πρὸς οὐδὲν ἐγρήγορε τῶν ἐνεργουμένων καθ' ἡδονὴν δι' αἰσθήσεως, ἀλλὰ πᾶσαν σωματικὴν κατακοιμήσασα κίνησιν γυμνῇ τε καὶ καθαρᾷ τῇ διανοίᾳ διὰ τῆς θείας ἐγρηγόρσεως δέχεται τοῦ θεοῦ τὴν ἐμφάνειαν· ἧς καὶ ἡμεῖς ἀξιωθείημεν διὰ τοῦ εἰρημένου ὕπνου κατορθοῦντες τῆς ψυχῆς τὴν ἐγρήγορσιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος ια'

Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν· (5,2)
ἄνοιξόν μοι, ἀδελφή μου, ἡ πλησίον μου,
περιστερά μου, τελεία μου,
ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου
καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.
996 M. Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; (3)
ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 θεῖον: κρεῖττον Θ (in marg θεῖον Θ^{1}) ἔχῃ ER^{a}SΘT: ἔχοι Σ ἔχει cett v ἀνεπισκότιστον T ἂν ἐπισκότει το N μένειν N 2 φευκτὸν: ἐφεκτὸν P εἶναι coll post νομίζεται ER^{a}Tv om SΘ καταγοητευόμενον N 4 ὄντως Θ εὐφραίνεται ΛYVC (corr C^{2}) ἐγρηγορέναι ΛYSΘ ἐγρηγορέναι λέγεται PCN ἐγρηγορέναι λέγει V 6 κατακοιμίσασα SΘPTC^{2}(e -μήσ-) 7 ἐγρηγορήσεως PCNE (eras η alt) 8-9 κατορθοῦν R^{a} (sscr τες R^{a2}) 9 ἐγρηγόρησιν PCE (eras η alt) 9-10 τῷ κυρίῳ ἡμῶν SΘΣT Syr: om cett v 10 ᾧ—ἀμήν om P πρέπει ΛYΘΣ Syr: om cett v ἡ om ΛYΘ post δόξα add καὶ τὸ κράτος T add καὶ τὸ κράτος νῦν καὶ πάντοτε καὶ Syr τῶν αἰώνων om SV post ἀμήν add ἐτελειώθη λόγος ἑνδέκατος Syr 11 λόγος ια' ΛYVT (in marg post lemma) N: τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος ια Σ λόγος δωδέκατος Syr ὁμιλία ια Sv τοῦ αὐτοῦ ὁμιλία ια ER^{a} nota numeri ια Θ (in marg post lemma) ι C^{2} (in marg) om tit P 12 τοῦ (cf infra p 320, 6) ER^{a}ΘΣP: om cett v LXX κρύει Σ 13 μοι om ER^{a}ΛY ante ἀδελφή add ἡ v ἡ om PVCN 14 ante περιστερά add καλή μου Syr 16 μου om T 17 ἐνδύσω N 18 μολυνῶ: ἐνδύνω R^{a} (corr R^{a2})

Ἀδελφιδός μου ἀπέστειλε χεῖρα αὐτοῦ διὰ τῆς ὀπῆς (4)
καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν.
Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου, (5)
<αἱ> χεῖρές μου ἔσταξαν σμύρναν,
οἱ δάκτυλοί μου σμύρναν πλήρη.
ἐπὶ χεῖρας τοῦ κλείθρου
Ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου, (6)
ἀδελφιδός μου παρῆλθεν·
ἡ ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ.
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν,
ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου.
Εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει, (7)
ἐπάταξάν με, ἐτραυμάτισάν με,
ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ οἱ φύλακες τῶν τειχέων.

Ἓν καὶ τοῦτο τῶν μεγάλων παραγγελμάτων ἐστὶ τοῦ κυρίου, δι' ὧν ἡ διάνοια τῶν μαθητευομένων τῷ λόγῳ καθάπερ τινὰ χοῦν ἅπαν τὸ ὑλῶδες τῆς φύσεως ἀφ' ἑαυτῆς ἐκτινάξασα πρὸς τὴν ἐπιθυμίαν τῶν ὑπερκειμένων ἐπαίρεται, [τοῦτο δέ ἐστι] τὸ δεῖν κρείττους εἶναι τοῦ ὕπνου τοὺς πρὸς τὴν ἄνω ζωὴν ἀναβλέποντας καὶ διὰ παντὸς ἐγρηγορέναι τῇ διανοίᾳ οἷον ἀπατεῶνά τινα τῶν ψυχῶν καὶ τῆς ἀληθείας ἐπίβουλον τὸν νυσταγμὸν τῶν ὀφθαλμῶν ἀπελαύνοντας.

17-18 cf Isai 52, 2 19 sqq cf Matth 24, 42-25, 13 et parall

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 ἀδελφιδοῦς PT χεῖρας Y διὰ scripsi (cf infra p 332, 14; 337, 1 et 10): ἀπὸ codd v Syr LXX τῆς om v 3 ἀνέστην—14 τειχέων hoc sermone non explicantur, om PVTv habet Syr (rubro, quo significat versus superiores, non adhibito), cf supra p 244, 11 sqq 4 αἱ supplevi (cf infra p 347, 12) 5 οἱ—σμύρναν om ΛYSΘ οἱ om LXX 6 χεῖρας: θύρας ΛYSΘ 8 ante ἀδελφιδὸς add καὶ Syr 9 ἡ om ΛYSΘ LXX 10-11 καὶ—αὐτὸν om C 13 ante ἐτραυμάτισάν add καὶ Syr 14 τὸ: τὸν Λ (corr Λ^{2}) Y post θέριστρον add μου ΛYSΘCN Syr LXX, at cf infra p 340, 16 et 359, 10 οἱ om Σ LXX 15 ἓν om C 15-16 τοῦ κυρίου coll ante παραγγελμάτων ΛYSΘPVCN 17 ἀπ' αὐτῆς T om V 19 τοῦτο δέ ἐστι delevi post ἐστι add τὸ παράγγελμα ὅτι Ἀγρυπνεῖτε· διδάσκει γὰρ ἡμᾶς Syr τούς: τοῦ V 20 τὴν om V ἀποβλέποντας ER^{a} βλέποντας v 21 τῆς διανοίας V τῶν ψυχῶν om Θ

ἐκεῖνον λέγω τὸν νυσταγμὸν καὶ τὸν ὕπνον, δι᾽ ὧν πλάσσεται τοῖς ἐμβαθύνουσι τῇ τοῦ βίου ἀπάτῃ τὰ ὀνειρώδη ταῦτα φαντάσματα· αἱ ἀρχαί, οἱ πλοῦτοι, αἱ δυναστεῖαι, ὁ τῦφος, ἡ διὰ τῶν ἡδονῶν γοητεία, τὸ φιλόδοξόν τε καὶ ἀπολαυστικὸν καὶ φιλότιμον καὶ πάντα ὅσα κατὰ τὸν βίον τοῦτον τοῖς ἀνεπισκέπτοις διά τινος φαντασίας μάτην σπουδάζεται, ἃ τῇ παροδικῇ τοῦ χρόνου συμπαραρρέοντα φύσει ἐν τῷ δοκεῖν ἔχει τὸ εἶναι οὔτε ὄντα ὅπερ νομίζεται οὔτε ἐν αὐτῷ τῷ νομίζεσθαι πρὸς τὸ διηνεκὲς παραμένοντα ἀλλ᾽ ὁμοῦ γίνεσθαί τε δοκοῦντα καὶ ἀπολλύμενα κυμάτων δίκην τῶν ἐγκορυφουμένων τοῖς ὕδασιν, ἃ πρὸς καιρὸν τῇ κινήσει τῶν ἀνέμων συνδιογκούμενα ἀβέβαιον εἰς διαμονὴν ἔχει τὸν ὄγκον· ἐν βραχεῖ γὰρ τῇ ῥοπῇ συναναστάντα τοῦ πνεύματος πάλιν ἐν ὁμαλῷ τὴν τῆς θαλάσσης ἐπιφάνειαν δείκνυσι συγκατασταλέντα τῷ πνεύματι. ὡς ἂν οὖν ἔξω τῶν τοιούτων γένοιτο

1-p 317, 4 ad imaginem et somnii et vigiliae cf ex. gr. Plotin III 6, 5 et VI 8, 16 nec non Epicur(Gnom Vat LII), sed praecipue Gnosticos Christianos. cf quae Valentinus Gnosticus Iliad X 199-201 allegorice interpretans scripserat in 'Evangelio veritatis' Codex Jung ed Malinine-Puech-Quispel, Zürich 1956, p 29, 25-30, 4: 'Until the moment when those who are passing all these things, wake up. Then, those who have been experiencing all these confusions (suddenly) see nothing. For they are nothing (namely) — phantasmagoria of this kind. It is thus that they cast ignorance far from them as (they would) sleep.... But (ἀλλὰ) they abandon them as (they would) a nocturnal dream' etc.

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ὧ(ν) corr in ras ut vid E ὃν Y οὗ Syr πλάττεται PNv 3 φαντάσματα: ἄσματα Λ(corr φάσματα Λ^2)Y οἱ ἀρχαῖοι πλοῦτοι S δυνάμεις R^a(corr R^{a2}) 5 καὶ pr om N post ὅσα add τὰ N 6 post ἃ add δὲ P 8 ἔχειν ΛSΘV ἑαυτῷ P τῷ: τὸ ΘΣVCN 9 ἀλλ᾽ adscr in initio lin E^2 (fort in ras) 9-10 ἀλλ᾽—δοκοῦντα om P 10 post τε add τὰ ΛYSΘ τῶν om PVCN 10-11 ἐκκορυφορουμένων P 12 διογκούμενα V 13 βραχείᾳ ER^{a}Θv Syr γὰρ om PVCN τῷ πνεύματι V 14 post δείκνυσιν iterat verba inde a 11 ἃ usque ad 14 δείκνυσιν N 15 ἂν om v οὖν om N γένοιτο coll ante τῶν ΛYSΘ 15-317, 1 ἔξω—βαρὺν om R^a φαντασμάτων γένηται (sic) Σ

φαντασμάτων ἡμῖν ἡ διάνοια, τὸν βαρὺν τοῦτον ὕπνον ἀποσείεσθαι τῶν τῆς ψυχῆς ὀμμάτων διακελεύεται, ἵνα μὴ τῇ περὶ τὸ ἀνύπαρκτον σπουδῇ τῶν ὑφεστώτων τε καὶ ὡς ἀληθῶς ὄντων ἀπολισθήσωμεν. διὰ τοῦτο καὶ ὑποτίθεται ἡμῖν ἐπίνοιαν τῆς ἐγρηγόρσεως λέγων Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι· τοῖς τε γὰρ ὀφθαλμοῖς τὸ φῶς ἐμφαινόμενον ἀποσοβεῖ τῶν ὀμμάτων τὸν ὕπνον καὶ ἡ ὀσφὺς διεσφιγμένη διὰ τῆς ζώνης ἀπαράδεκτον τοῦ ὕπνου παρασκευάζει τὸ σῶμα οὐ προσιεμένης τὴν ἐκ τοῦ ὕπνου ἄνεσιν τῆς τῶν πόνων αἰσθήσεως. σαφῆ δὲ πάντως ἐστὶ τὰ διὰ τῶν αἰνιγμάτων δηλούμενα, ὅτι ὁ τῇ σωφροσύνῃ διεζωσμένος ἐν φωτὶ ζῇ τοῦ καθαροῦ συνειδότος τῷ λύχνῳ τῆς παρρησίας τὸν βίον περιαυγάζοντος, δι᾽ ὧν τῆς ἀληθείας προφαινομένης ἄϋπνός τε καὶ ἀνεξαπάτητος ἡ ψυχὴ διαμένει οὐδενὶ τῶν ἀπατηλῶν τούτων ὀνείρων ἐμματαιάζουσα. εἰ δὲ τοῦτο κατορθωθείη κατὰ τὴν τοῦ λόγου ὑφήγησιν, ἀγγελικός τις ἡμᾶς διαδέξεται βίος· τούτοις γὰρ ἡμᾶς ὁμοιοῖ τὸ θεῖον παράγγελμα, δι᾽ ὧν φησιν ὅτι Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν,

5-6 Luc 12, 35 12-13 cf I Joh 3, 21 ἐὰν ἡ συνείδησις μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν (text sec Method in Job, frg XV p 513, 12 sqq) 15 cf Rom 1, 21; Eph 4, 17-19; Sap Sal 13, 1 sqq 17 cf ex. gr. De instit. Christ. p 70, 19 (Vol VIII, 1 Jaeger) 18-p 318, 2 Luc 12, 36

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τῶν φαντασμάτων(sic) coll ante 316, 15 τῶν V φασμάτων ER^{a}ΛYTv ἡμῶν ΣV βαρὺ N βαρὺν τοῦτον: βαρύτατον C ὕπνον om P 3 περὶ om R^a περὶ τὸ om Θ(in marg add Θ^1) ὡς om Λ(sscr Λ^1 vel Λ^2) 5 ἐγρηγορήσεως PCN ἡμῶν N 6 post λύχνοι add ὑμῶν Syr post καιόμενοι add ἐν ταῖς χερσὶν ὑμῶν v 7 τῶν ὀμμάτων: αὐτῶν Syr 8 ζωῆς C(corr C^2)N τῷ ὕπνῳ ER^{a}VT(τῷ ex corr)v 8-9 (ἀπαρά)δεκτον τοῦ ὕπνου παρα(σκευάζει) om Y(in marg add δεκτον ὕπνου παρα Y^2) 12 ζῇ om Θ τοῦ λύχνου ER^{a}Tv 13 τὸν βίον coll ante τῆς pr N περιαυγίζοντος ER^a δι᾽ om v ὧν: ὃν ΛY οὗ ER^{a}Tv 14 προφαινομένης: τρεφομένης T 15 ἀτελῶν v ὀνείρων τούτων PVCN 16 κατὰ: διὰ V 17 et ἀγγελικοῖς τισιν (scil de coniect) et om διαδέξεται—18 ἡμᾶς P διαδέξεται SΘΣTC: διαδέξηται ΛY διεδέξατο N διαδέχεται ER^{a}Vv 19 ἡμεῖς YN κύριον: θεὸν Λ(corr Λ^2)Y

πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ· ἐκεῖνοι γάρ εἰσιν οἱ προσδεχόμενοι τοῦ κυρίου τὴν ἐκ τῶν γάμων ἐπάνοδον καὶ ταῖς ἐπουρανίαις
997 M. πύλαις ἐγρηγορότι τῷ ὀφθαλμῷ προσκαθήμενοι, ἵνα πάλιν εἰσέλθῃ δι' αὐτῶν ἀναλύσας ἐκ τῶν γάμων ὁ βασιλεὺς τῆς δόξης εἰς τὴν ὑπερουράνιον ἐκείνην μακαριότητα. ὅθεν κατὰ τὴν ψαλμῳδίαν ὡς ἐκ παστάδος ὁ νυμφίος ἐκπορευθεὶς ἡρμόσατο ἑαυτῷ τὴν παρθένον, ἡμᾶς, διὰ τῆς μυστικῆς ἀναγεννήσεως, τὴν τοῖς εἰδώλοις ἐκπορνευθεῖσαν, εἰς ἀφθαρσίαν παρθενικὴν ἀναστοιχειώσας τὴν φύσιν. τῶν οὖν γάμων ἤδη τετελεσμένων καὶ νυμφευθείσης ὑπὸ τοῦ λόγου τῆς ἐκκλησίας, καθώς φησιν ὁ Ἰωάννης ὅτι Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστί, καὶ εἰς τὸν τῶν μυστηρίων θάλαμον αὐτῆς παραδεχθείσης ἀνέμενον οἱ ἄγγελοι τὴν ἐπάνοδον τοῦ βασιλέως τῆς δόξης ἐπὶ τὴν κατὰ φύσιν μακαριότητα. τούτοις οὖν εἶπε δεῖν ὁμοιοῦσθαι κατὰ τὸν ἡμέτερον βίον, ἵνα καθάπερ ἐκεῖνοι πόρρω κακίας καὶ ἀπάτης πολιτευόμενοι πρὸς ὑποδοχήν εἰσιν εὐτρεπεῖς τῆς δεσποτικῆς παρουσίας,

7 cf Ps 18, 6   8 cf II Cor 11, 2   9 cf Ezech 16, 15 sqq et passim   12-13 Joh 3, 29

ER^a ΛYSΘ Σ PVT CN Syr   1 ἀναλύσῃ ECNv   τοῦ γάμου Θ   ἵνα—3 γάμων om Y(in marg add Y^2)   κρούοντος ΛSΘY^2(in marg)   2 εὐθέως om PVCN   αὐτόν Λ(corr Λ^1 vel Λ^2) Y^2(in marg)N   3 ἐπάνοδον: ἀνάλυσιν PVCN   ἐπουρανίοις ER^{a}Σv   4 ἐγρηγόρῳ (sic)V ἐγρηγορότητι N   5 δι' αὐτῶν εἰσέλθῃ ΛYSΘ   ἀναλύσας: ὅταν ἀναλύσῃ ER^{a}v   6 ἐπουράνιον PVT   7 πορευθεὶς N   8 (ἑαυτ)ῶ corr in ras 2 litt E^2 τὴν om ER^{a}v   παρθενίαν V   ἡμᾶς coll ante ἑαυτῷ Syr(scil interpr)   9 ἐκπορευθεῖσαν Λ(corr Λ^2)YTC(corr C^2)N(-θῆσ-)   10 ἀφθαρσίαν om T   τὴν om ΣVT exp Λ^2 eras C^2 οὖν om V   11 νυμφευθείσης—12 ἐκκλησίας: πεπλησιακυίας τῆς νύμφης τῷ νυμφίῳ Syr   12 ὁ pr om ΛYSΘ   ὁ Ἰωάννης om P   13 post τῶν add ἄνω T add θείων Syr   14 παραδειχθείσης V προσδεχθείσης SΘ   15 τῆς δόξης Syr: τῆς ἐκκλησίας codd(coll ante τοῦ Λ, transp Λ^2)v   ante ἐπὶ add ἐπαναχθείσης PVTCNv τῆς ἐκκλησίας ἐπαναχθείσης glossam esse ad 14 αὐτῆς παραδεχθείσης intellexit Jaeger   16 οὖν om V   κατὰ Syr: καὶ codd v   17 κακίας—πολιτευόμενοι om Θ   18 εὐπρεπεῖς ΛYΣP om SΘ

οὕτω καὶ ἡμεῖς τοῖς προθύροις τῶν καταγωγίων ἡμῶν προσαγρυπνοῦντες ἑτοίμους πρὸς ὑπακοὴν ἑαυτοὺς ποιήσωμεν, ὅταν ἐπιστὰς κρούῃ τὴν θύραν· Μακάριοι γάρ, φησίν, οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει ποιοῦντας οὕτως. ἐπεὶ οὖν μακάριόν ἐστι τὸ ὑπακούειν τῷ κρούοντι, τούτου χάριν ἡ διὰ παντὸς πρὸς τὴν μακαριότητα βλέπουσα αἰσθάνεται τοῦ παρεστῶτος τῇ θύρᾳ, ἡ καλῶς τοῖς ἰδίοις θησαυροῖς ἐπαγρυπνοῦσα ψυχή, καί φησιν Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν. πῶς ἄν τις τὴν πρὸς τὰ θειότερα τῆς νύμφης ἄνοδον διὰ τῶν λεγομένων ἀξίως κατανοήσειεν; ἡ μετὰ τοσαύτης ἐξουσίας τε καὶ πεποιθήσεως τὸν σκληρὸν ἐκεῖνον βορρᾶν ἀφ' ἑαυτῆς ἐξοικίσασα καὶ τὸ φωτεινὸν πνεῦμα πρὸς ἑαυτὴν ἐφελκυσαμένη, ἡ παραδείσους ῥοῶν διὰ τοῦ στόματος ἐργαζομένη ὧν ἀρώματα ἦν τὰ ἀκρόδρυα, ἡ τὸν κῆπον ἑαυτῆς τράπεζαν προθεῖσα τῷ δεσπότῃ τῆς κτίσεως, ἧς ἀπόβλητον ἐφάνη τῶν προτεθέντων οὐδέν, ἀλλὰ πάντα καλὰ εἶναι ἐμαρτυρήθη· ἡ σμύρνα, τὸ ἄρωμα, ὁ μετὰ τοῦ μέλιτος ἄρτος, ὁ μετὰ τοῦ γάλακτος οἶνος, ᾗ ἐμαρτύρησεν ὁ λόγος τὸ τέλειον ὁ εἰπὼν ὅτι Ὅλη

3-5 Luc 12, 43; 37   7-8 cf Matth 24, 43 = Luc 12, 39/40; cf Ambros De Isaac 6, 51 (= Origen Comm) p 675, 12: 'aperi ergo mihi (scil sponso), noli aperire adversario neque des locum diabolo'.   8-9 Cant 5, 2   19-p 320, 1 Cant 4, 7

ER^a ΛYSΘ Σ PVT CN Syr   1 ἡμῖν V   2 ἀγρυπνοῦντες PVCN   ἑαυτοῖς Y   3 κρούει ΣPCN   4 post κύριος add αὐτῶν (scil sec Luc 12, 43) v Syr   εὑρήσει ὁ κύριος PVCN   6 ἡ: καὶ ἡ νύμφη Syr om v   7 τῶ παρεστῶτι ER^a ἡ om v   καλοῖς P(sscr ῶς)CN   8 θησαυροῖς om CN   ψυχή om Syr   9 ἐπὶ: εἰς N   11 post κατανοήσειεν et add et del ἡ μετὰ τοσαύτης ἐξουσίας τὲ καὶ πεποιθήσεως ἀξίως κατανοήσειεν Y   post ἡ add γὰρ Syr   12 βορρᾶν ΛYSΘ: βορρέαν E(eras ρ alt)ΣT βορέαν cett v   ἀφ'—ἐξοικίσασα om V   αὐτῆς Σ   ἐξοικήσασα EΣTC   13 τὸ om P   13-14 παραδείσου P(corr παράδεισος) παράδεισον V   14 post ὧν add τὰ R^a 15 τὰ om v   ἡ om E(sscr E^2)   προτιθεῖσα ER^{a}T(exp -τι-)v παραθεῖσα N   16 προτεθέντων: ὄντων SΘ   17 εἶναι καλὰ ER^{a}Tv   ἡ om E(sscr E^2)   18 τοῦ alt om P   19 ὁ alt om R^{a}Σ eras E   ὅλη om V(add in marg post 320, 1 εἶ)

καλὴ εἶ καὶ μῶμος οὐκ ἔστιν ἐν σοί, αὕτη νῦν οὕτω διάκειται· ὡς πρώτως μέλλουσα δέχεσθαι τοῦ θεοῦ τὴν ἐμφάνειαν καὶ ὡς οὐδέπω τὸν νῦν ἑστῶτα πρὸ τῶν θυρῶν λόγον εἰσδεξαμένη καὶ εἰσοικίσασα ἐν θαύματι τῆς φωνῆς ποιεῖται τὴν δύναμιν. διὰ τοῦτό φησιν οὔπω ἑαυτῆς ἀλλὰ τῆς θύρας αὐτῆς ἅπτεσθαι τὴν τοῦ νυμφίου φωνήν· Φωνὴ γάρ, φησί, τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν.

Ὁρᾷς, πῶς ἀόριστός ἐστι τοῖς πρὸς τὸν θεὸν ἀνιοῦσιν ὁ δρόμος, πῶς τὸ ἀεὶ καταλαμβανόμενον ἀρχὴ πρὸς τὸ ὑπερκείμενον γίνεται· ὅτε γὰρ στάσιν τινὰ τοῦ δρόμου τῆς ἐπὶ τὰ ὑψηλὰ πορείας διὰ τῶν πρὸς αὐτὴν εἰρημένων ἠλπίσαμεν (τί γὰρ ἄν τις μετὰ τὴν τῆς τελειότητος μαρτυρίαν πλέον ζητήσειεν;) τότε βλέπομεν ἔτι ἔνδον οὖσαν αὐτὴν καὶ οὔπω τῶν θυρῶν ἐκτὸς γεγενημένην οὐδὲ τῆς κατὰ πρόσωπον ἐμφανείας κατατρυφήσασαν ἀλλ' ἔτι διὰ τῆς ἀκοῆς πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν ὁδηγουμένην. τοῦτο
1000 M. οὖν διὰ τῶν εἰρημένων τὸ δόγμα μανθάνομεν, ὅτι πάντοτε τοῖς ἐπὶ τὸ μεῖζον προκόπτουσιν ἁρμόδιός ἐστιν ἡ τοῦ ἀποστόλου φωνὴ ἡ λέγουσα ὅτι Εἴ τις δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι· ἔγνω μὲν γὰρ αὐτὸν ἐν

19-20 I Cor 8, 2

ER^a ΛYSΘ Σ PVT CN Syr 1 post εἶ add ἡ πλησίον μου Syr οὐκ ἔστι μῶμος P 2 πρώτω R^a πρώτη P μέλλουσα coll ante πρώτως T om SΘ 3 τὸν: τῶν C νοῦν R^a 4 ante ἐν add ὡς Syr 5 δύναμιν: διάνοιαν Θ ἑαυτῆς: αὐτῆς ER^aVTv αὐτῆς om T 6 τὴν coll post νυμφίου Σ ἡ τ.ν. φωνὴ φησὶ γὰρ φωνὴ PVCN 7 ἐπὶ om P(sscr) 8 ἄριστός Θ ἐστι om P τὸν om VT ἀεὶ ἰοῦσιν ΛYS 9 ante πῶς et add et exp ὅτε γὰρ R^a(scil neglegenter 2 lin exemplaris sui (= 53 litt) praeterierat) 10 ὑποκείμενον T post ὅ(τε) 1 litt exp deinde eras E ὅταν V ὅτι v 11 ἐπὶ: πρὸς v 12 τῆς om Y(sed sscr)v 13 ἐζήτησε V τότε βλέπομεν: τὸ βλεπόμενον N ἔτι: ὅτι Θ ἔνδον οὖσαν: ἐνδημοῦσαν PVCN 14 θηρῶν YN ἐκτὸς: ἐντὸς ΛYΘ 16 ὁδηγουμένη E(corr E^2) 17 οὖν om N τὸ—μανθάνομεν om Σ μανθάνωμεν C 18 τὸ om T τὰ μείζω ER^av ἁρμοδίως N 19 ἡ om ΛYSΘTCN ὅτι om Σ post δοκεῖ add τὸ T 20 τι om ER^aΛYTv οὐδέπω PVCN μὲν om N

τοῖς φθάσασιν ἡ ψυχὴ τοσοῦτον ὅσον κατέλαβεν, ἀλλ' ἐπειδὴ τὸ μήπω κατειλημμένον ἀπειροπλάσιον τοῦ καταληφθέντος ἐστί, διὰ τοῦτο καὶ ὤφθη πολλάκις τῇ ψυχῇ ὁ νυμφίος καὶ ὡς μηδέπω ἐν ὀφθαλμοῖς γενόμενος ὀφθήσεσθαι τῇ νύμφῃ διὰ τῆς φωνῆς ἐπαγγέλλεται. ὡς δ' ἂν σαφέστερον ἡμῖν τὸ νόημα γένοιτο, εἰκόνα τινὰ δι' ὑποδείγματος προσθήσω τῷ λόγῳ· ὥσπερ γὰρ εἴ τις πλησίον ἐκείνης γένοιτο τῆς πηγῆς, ἣν ἀναβαίνειν εἶπεν ἐκ τῆς γῆς κατ' ἀρχὰς ἡ γραφὴ τοσαύτην οὖσαν τὸ πλῆθος ὡς ἅπαν τῆς γῆς ἐπικλύζειν τὸ πρόσωπον, θαυμάσει μὲν ὁ τῇ πηγῇ πλησιάσας τὸ ἄπειρον ὕδωρ ἐκεῖνο τὸ πάντοτε αὐτῆς ἀνομβροῦν τε καὶ προχεόμενον, οὐ μὴν εἴποι ἂν ὅλον ἑωρακέναι τὸ ὕδωρ (πῶς γὰρ ἂν ἴδοι τὸ ἔτι τοῖς κόλποις τῆς γῆς ἐγκρυπτόμενον; ὥστε κἂν ἐπὶ πολὺ παραμείνῃ τῷ βρύοντι, ἀεὶ ἐν ἀρχαῖς ἐστι τῆς θεωρίας τοῦ ὕδατος· οὐ γὰρ παύεται τὸ ὕδωρ ἀεί τε ῥέον καὶ ἀεὶ τοῦ βρύειν ἀρχόμενον), οὕτως ὁ πρὸς τὸ θεῖον ἐκεῖνο καὶ ἀόριστον κάλλος βλέπων, ἐπειδὴ τὸ πάντοτε εὑρισκόμενον καινότερόν τε καὶ παραδοξότερον πάντως παρὰ τὸ ἤδη κατειλημμένον ὁρᾶται, θαυμάζει μὲν τὸ ἀεὶ προφαινόμενον, οὐδέποτε δὲ ἵσταται τῆς τοῦ ἰδεῖν ἐπιθυμίας διὰ τὸ πάντως τοῦ ἑωραμένου μεγαλοπρεπέστερόν τε καὶ θειότερον εἶναι τὸ προσδοκώμενον. διὰ τοῦτο οὖν καὶ ἐνταῦθα ἡ νύμφη ἀεὶ θαυμάζουσά τε καὶ ἐκπληττομένη τὸ γινωσκόμενον οὐδέποτε ἐν τοῖς ἐγνωσμένοις ἵστησι τοῦ θεωρουμένου τὸν πόθον. οὗ χάριν καὶ νῦν ὡς ἔτι

8-10 cf Gen 2, 6

ER^a ΛYSΘ Σ PVT CN Syr 2 μὴ E(corr E^2) 3 καὶ om ER^av 5 δ' om P 6 δι' om V 7 προθήσω ER^aVCN$Λ^2$(e προσθ-) τῶ λόγω προσθήσω Σ ἐκείνης coll ante εἴ N 8 κατ': καρτ' Λ(ut vid) τὸ καταργὰς Σ om T 10 περικλύζειν V πηγῇ: γῇ CN 11 ἀναβροῦν P ἀναμβροῦν N 12 εἴποιεν ΛYSΘ ἂν om V 13 εἴδοι E(corr E^2)ΣTC(corr C^2) ἔτι: ἐπὶ v ἐν Θ ἐγκαλυπτόμενον P 14 παραμένει V ἐπιμείνῃ Θ 16 τοῦ: τὸ R^aN 17 ἀόρατον PVCN βλέπων κάλλος P 19 περὶ V τὸ ἤδη: τῷ εἴδει v 20 τῆς om R^a 21 τὸ: τοῦ ΛY παντὸς Tv ὁρωμένου ER^av 22 οὖν om P 23 ἀεὶ om T ἐκπλησσομένη ΛYSv 25 ἔτι corr in ras E^2

θυροκρουστοῦντος τοῦ λόγου αἰσθάνεται καὶ πρὸς τὴν ὑπακοὴν διανίσταται καί φησι Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν.

Εἶτα ἡσυχίαν ταῖς ἀκοαῖς ἐνδοῦσα ἀκούει τοῦ διὰ τῆς φωνῆς προσηχήσαντος λόγου. ὁ δὲ λόγος τοιοῦτός ἐστιν· Ἄνοιξόν μοι, ἀδελφή μου, ἡ πλησίον μου, περιστερά μου, τελεία μου, ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός. τούτου δὲ τὴν διάνοιαν οὕτως ἄν τις καταλάβοι τῇ θεωρίᾳ· τῷ μεγάλῳ Μωϋσῇ διὰ φωτὸς ἤρξατο ἡ τοῦ θεοῦ ἐπιφάνεια, μετὰ ταῦτα διὰ νεφέλης αὐτῷ ὁ θεὸς διαλέγεται, εἶτα ὑψηλότερος καὶ τελειότερος ἤδη γενόμενος ἐν γνόφῳ τὸν θεὸν βλέπει. ὃ δὲ διὰ τούτου μανθάνομεν τοιοῦτόν ἐστιν· ἡ πρώτη ἀπὸ τῶν ψευδῶν καὶ πεπλανημένων περὶ θεοῦ ὑπολήψεων ἀναχώρησις ἡ ἀπὸ τοῦ σκότους εἰς φῶς ἐστι μετάστασις, ἡ δὲ προσεχεστέρα τῶν κρυπτῶν κατανόησις ἡ διὰ τῶν φαινομένων χειραγωγοῦσα τὴν ψυχὴν πρὸς τὴν ἀόρατον φύσιν οἷόν τις νεφέλη γίνεται τὸ φαινόμενον μὲν ἅπαν ἐπισκιάζουσα πρὸς δὲ τὸ κρύφιον

6-8 Cant 5, 2 9-10 cf Exod 19, 3 10-11 cf Exod 19, 16-19 12 cf Exod 20, 21 13-p 323, 8 tribus his Gregorii gradibus ad infinitum cum quattuor illis Origenis processibus (cf Ambros De Isaac 6, 50, p 674) comparatis habes in nuce differentiam, quae est inter theologos gnosticos Alexandrinos et theologum mysticum, qui relinquit ὅσον ἐφικτόν ἐστι τῇ ἀνθρωπίνῃ φύσει id est φιλοσοφίαν et γνῶσιν. cf Vita Moys p 376 D—377 A (Migne); cf etiam W. Völker 'Der wahre Gnostiker'. (Göttingen 1952) p 409.

$E R^a$ ΛΥSΘ Σ PVT CN Syr 1 θυροκροτοῦντος v 1-2 καὶ—φησι om Θ 2 ὑπακοὴν: φωνὴν V ἀδελφοῦ ΛΥ 4 τῆς om V 5 φωνῆς: κρούσεως Syr 6 μοι: μου V ἡ om Σ 7 μου pr om Syr οἱ om R^a 9 καταλάβῃ P(sscr οι)N ante τῇ eras 2 litt S (τ)ῶ (μεγάλ)ω (μωϋσ)εῖ E^2 in ras μωϋσεῖ Θ v φωτὶ P(in marg γρ μωυσῇ P^2) 10 τοῦ θεοῦ: θεία Θ ἐμφάνεια ER^av post ταῦτα add δὲ Σ Syr 11 ὁ θεὸς coll ante αὐτῷ T om ER^av post εἶτα add δὲ Syr καὶ τελειότερος om P ἤδη coll ante καὶ (viol curs)ER^aNv 12 τὸν θεὸν ἐν γνόφῳ T βλέπει: λέγει T(sed corr) τούτων Σ τοῦτο N 17 ἀόριστον E(ut vid, corr E^2) γίνεται: γινομένη V 18 μὲν coll ante φαινόμενον V om PCN 18-323, 1 πρὸς—συνεθίζουσα om R^a

βλέπειν τὴν ψυχὴν χειραγωγοῦσα καὶ συνεθίζουσα, ἡ δὲ διὰ τούτων ὁδεύουσα πρὸς τὰ ἄνω ψυχή, ὅσον ἐφικτόν ἐστι τῇ ἀνθρωπίνῃ φύσει καταλιποῦσα, ἐντὸς τῶν ἀδύτων τῆς θεογνωσίας γίνεται τῷ θείῳ γνόφῳ πανταχόθεν διαληφθεῖσα, ἐν ᾧ τοῦ φαινομένου τε καὶ καταλαμβανομένου παντὸς 1001 M. ἔξω καταλειφθέντος μόνον ὑπολείπεται τῇ θεωρίᾳ τῆς ψυχῆς τὸ ἀόρατόν τε καὶ ἀκατάληπτον, ἐν ᾧ ἐστιν ὁ θεός, καθώς φησι περὶ τοῦ νομοθέτου ὁ λόγος ὅτι Εἰσῆλθε δὲ Μωϋσῆς εἰς τὸν γνόφον οὗ ἦν ὁ θεός.

Τούτων δὲ ἡμῖν οὕτω θεωρηθέντων σκεπτέον ἂν εἴη καὶ τῶν προκειμένων ἡμῖν ῥητῶν τὴν πρὸς τὰ εἰρημένα συγγένειαν. ἦν ὅτε μέλαινα ἦν ἡ νύμφη τοῖς ἀφωτίστοις δόγμασιν ἐσκοτισμένη παραβλέψαντος αὐτὴν τοῦ ἡλίου τοῦ διὰ τῶν πειρασμῶν τὴν ἄρριζον ἐπὶ τῶν πετρῶν σπορὰν ἐπικαίοντος, ὅτε τῶν ἐν αὐτῇ μαχεσαμένων ἡττηθεῖσα τὸν ἀμπελῶνα τὸν ἑαυτῆς οὐκ ἐφύλαξεν, ὅτε ἑαυτὴν ἀγνοήσασα τὰς τῶν ἐρίφων ἀγέλας ἀντὶ τῶν προβάτων ἐποίμαινεν. ἀλλ' ἐπειδὴ τῆς πρὸς τὸ κακὸν συμφυΐας ἑαυτὴν ἀποσπάσασα διὰ τοῦ μυστικοῦ ἐκείνου φιλήματος τῇ πηγῇ τοῦ φωτὸς προσαγαγεῖν τὸ στόμα ἐπόθησε, τότε καλὴ γίνεται τῷ

8-9 Exod 20, 21 12-15 cf Cant 1, 5/6; cf supra p 48, 12/13 et 50, 10-51, 19 14 cf Matth 13, 5/6 15-16 cf Cant 1, 6; cf supra p 56, 12-60, 22 16-17 cf Cant 1, 7/8; cf supra p 63, 12-67, 7 19-20 cf Cant 1, 2

$E R^a$ ΛΥSΘ Σ PVT CN Syr 1 συνειθίζουσα P συνηθίζουσα VCN 2 τὰ: τὸ S 2-3 ὅσον—φύσει: πᾶν αἰσθητόν Syr(scil interpr) 3 post φύσει add τὰ κάτω R^aE^2(in marg)v cave ne coniectura aevi Byzantini decipiaris. anima non solum τὰ κάτω reliquit sed etiam fines naturae humanae praeteriit, cf infra p 324, 15-16 καταλειποῦσα E(corr E^2)ΥΣC ἐντὸς: ἐν τοῖς PC(corr C^2)N 5 τε καὶ καταλαμβανομένου om SΘΣP 6 καταληφθέντος Λ(corr $Λ^2$)ΥPC 8 καθώς: ὡς ΛΥSΘ δὲ om ΣCN 9 μωσῆς Σ ὅπου SΘ ὁ θεὸς ἦν PVCN 10 ῥηθέντων Syr σκοπητέον T 11 ῥημάτων T 12 πότε Σ ἦν alt om ΣP 13 τοῦ om V 14 τῶν pr om P ἄριζον E(corr E^2)Λ(corr $Λ^2$)ΥVTCN πτερῶν V 15 ἐν om V μαχευσαμένων C(eras υ) μαχησαμένων v ante τὸν add ἡ V 16 ὅτι Vv 17 τῶν alt om P ἐποίμανεν ER^av, fort recte 18 ἀποσπάσα P ἀποστήσασα ER^av 19 τῇ—φωτὸς om P 20 προσάγειν PVCN

φωτὶ τῆς ἀληθείας περιλαμφθεῖσα καὶ τὸ μέλαν τῆς ἀγνοίας ἀποκλυσαμένη τῷ ὕδατι. εἶτα ἵππῳ ὁμοιοῦται διὰ τὸ εὔδρομον καὶ τῇ περιστερᾷ διὰ τὸ τάχος τῆς πτήσεως. δι' ὧν πᾶν τὸ καταλαμβανόμενόν τε καὶ φαινόμενον ὡς ἵππος διαδραμοῦσα καὶ ὡς περιστερὰ διαπτᾶσα πρότερον μὲν τῇ σκιᾷ τοῦ μήλου μετὰ ἐπιθυμίας ἐπαναπαύεται μῆλον ἀντὶ νεφέλης τὸ ἐπισκιάζον κατονομάσασα, νῦν δὲ ἤδη ὑπὸ τῆς θείας νυκτὸς περιέχεται, καθ' ἣν ὁ νυμφίος παραγίνεται μὲν οὐ φαίνεται δέ. πῶς γὰρ ἂν ἐν νυκτὶ φανείη τὸ μὴ ὁρώμενον; ἀλλ' αἴσθησιν μέν τινα δίδωσι τῇ ψυχῇ τῆς παρουσίας, ἐκφεύγει δὲ τὴν ἐναργῆ κατανόησιν τῷ ἀοράτῳ τῆς φύσεως ἐγκρυπτόμενος. τίς τοίνυν ἐστὶν ἡ γινομένη τῇ ψυχῇ διὰ τῆς νυκτὸς ταύτης μυσταγωγία; ἅπτεται τῆς θύρας ὁ λόγος. θύραν δὲ νοοῦμεν τὴν στοχαστικὴν τῶν ἀρρήτων διάνοιαν, δι' ἧς εἰσοικίζεται τὸ ζητούμενον. ἔξω τοίνυν ἑστῶσα τῆς φύσεως ἡμῶν ἡ ἀλήθεια διὰ τῆς ἐκ μέρους γνώσεως, καθώς φησιν ὁ ἀπόστολος, ἐν ὑπονοίαις τισὶ καὶ αἰνίγμασι θυροκρουστεῖ τὴν διάνοιαν Ἄνοιξον λέγουσα καὶ μετὰ τῆς προτροπῆς ὑποτιθεμένη τὸν τρόπον, ὅπως ἀνοιγῆναι προσήκει τὴν θύραν, οἱόν τινας κλεῖς ὀρέγουσα τὰ καλὰ ταῦτα ὀνόματα, δι' ὧν τὸ κεκλεισμένον ἀνοίγεται· κλεῖδες γάρ εἰσιν ἄντικρυς αἱ τῶν ὀνομάτων

2 cf Cant 1, 9 3 spectatne ad Cant 2, 10 an 1, 10 (cf Origen Comm II p 154, 4: alacritas)? 6 cf Cant 2, 3-5 7 cf supra p 322, 17-18 13 ad terminum ἅπτεσθαι cf Aristot Met Λ 7, 1072 b 21 14-15 ad famosum illum νοῦν θύραθεν ἐπεισιόντα spectare videtur (cf Aristot De gen an B 3, 736 b 28) 17-18 cf I Cor 13, 9 et 12.

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἀνοίας CN διανοίας P (sscr ἀγνοίας) 3 πήσεως R^a πίστεως N διανοίας v 5 ὡς: ἡ N 6 ἐπαναπαύσεται Σ ὑπαναπαύεται ΛYS (ut vid, sed corr) PC 7 ἐπισκιαζόμενον N κατονομάζουσα ER^aΣv κατανοήσασα T 8 τῆς om T περιέρχεται N 9 ante πῶς eras 1 litt C ἂν ΛYSΘΣT: om cett v 10 μὲν coll post δίδωσι ΛYSΘ 10-13 τῆς—ψυχῇ om P 11 ἐναργεῖ C ἐν ἀρχῇ Θ 11-14 τῷ—νοοῦμεν om V 12 γενομένη Y ἐνγινομένη CN 13 μυσταγωγίας P 15 διάνοιαν: δήλωσιν V 17 μέρου N 18 τισὶ om PCN post ἄνοιξον add μοι Syr 19 τῆς om v 22 post εἰσιν add αἱ NC (eras)

τούτων ἐμφάσεις αἱ τὰ κρυπτὰ διανοίγουσαι· ἀδελφὴ καὶ πλησίον καὶ περιστερὰ καὶ τελεία. εἰ γὰρ βούλει σοι, φησίν, ἀνοιγῆναι τὴν θύραν καὶ ἐπαρθῆναι τῆς ψυχῆς σου τὰς πύλας, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης, χρή σε ἀδελφήν μου γενέσθαι ἐν τῷ τὰ θελήματά μου τῇ ψυχῇ παραδέξασθαι, καθὼς ἐν τῷ εὐαγγελίῳ φησὶν ἀδελφὸν αὐτοῦ καὶ ἀδελφὴν γίνεσθαι τὸν ἐν τοῖς θελήμασιν αὐτοῦ ζῶντα, χρὴ δέ σε καὶ προσεγγίσαι τῇ ἀληθείᾳ καὶ πλησίον ἀκριβῶς γενέσθαι, ὥστε μηδενὶ μέσῳ διατειχίζεσθαι καὶ ἐν τῇ φύσει τῆς περιστερᾶς ἔχειν τὸ τέλειον, τοῦτο δέ ἐστι τὸ ἀνελλιπῆ τε καὶ πεπληρωμένην εἶναι πάσης ἀκακίας καὶ καθαρότητος. ταῦτα λαβοῦσα, ὦ ψυχή, οἱόν τινας κλεῖς τὰ ὀνόματα ἄνοιξον δι' αὐτῶν τῇ ἀληθείᾳ τὴν εἴσοδον ἀδελφὴ γενομένη καὶ
1004 M. πλησίον καὶ περιστερὰ καὶ τελεία. ἔσται δέ σοι τὸ κέρδος ἐκ τοῦ εἰσδέξασθαί με καὶ εἰσοικίσασθαι ἡ ἐκ τῆς κεφαλῆς μου δρόσος, ἧς πλήρης εἰμί, καὶ αἱ τῆς νυκτὸς ψεκάδες αἱ τῶν βοστρύχων τῶν ἐμῶν ἀπορρέουσαι. ἐκ τούτων δὲ τὸ μὲν ἴασιν εἶναι τὴν δρόσον παρὰ τοῦ προφήτου σαφῶς μεμαθήκαμεν ὅς φησιν ὅτι Ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, αἱ δὲ τῆς νυκτὸς ψεκάδες τῆς προθεωρηθείσης ἔχονται διανοίας· οὐ γάρ ἐστι δυνατὸν τὸν ἐντὸς τῶν ἀδύτων τε

3-4 cf Ps 23, 7 et 9 6-7 cf Marc 3, 35 19 Isai 26, 19

ER^a ΛYSΘ Σ PVT CN Syr 1 αἱ: καὶ P διανοίγουσιν V 2 καὶ alt om V σύ VN σου SΘ 2-3 σοι coll post ἀνοιγῆναι T om Syr 5 γίνεσθαι E (ut vid, corr E^2) τῆς ψυχῆς CN (coll ante μου alt) post ψυχῇ add σοῦ Σ εἰσδέξασθαι N 6 ἀδελφὸν αὐτοῦ καὶ om P 7 γενέσθαι YPVCN σε om R^aV 8 ἀκριβῶς om ER^av 10 ἔχει R^a ἀνελλιπής P ἀνελλειπεῖν V τε: εἴτε V om ER^av 11 πεπληρωμένη P πεπληρωμένον N κακίας YΛ (ut vid, eras et sscr δικαιοσύνης $Λ^2$) V (sscr ἀ V^2) 12 post ταῦτα add τοίνυν Syr ὦ ψυχή om Θ 13 τῆς ἀληθείας E (eras bis ς) 14 καὶ alt om V σου v Syr 15 καὶ om Y 16 τῶν νυκτῶν N et coll ψεκάδες post 17 ἀπορρέουσαι et om 17 αἱ ER^av 18 δὲ om E (adscr E^2) τὸ: τῶν Θ ἴσασιν Θ (eras σ pr) post ἴασιν add τῆς ψυχῆς Syr σοφῶς N 19 ὅς: ὥς ΛYSΘ ὅτι om T ἡ pr om v σοὶ SΘ ἵμα V 20 αὐτοῖς om Θ (in marg add $Θ^1$) 21 τὸν: τῶν N ἀδύτων: ἀδυνάτων N τε om Vv

καὶ ἀθεωρήτων γενόμενον ὄμβρῳ τινὶ τῆς γνώσεως ἐντυχεῖν ἢ χειμάρρῳ, ἀλλ' ἀγαπητὸν εἰ λεπταῖς τισι καὶ ἀμυδραῖς διανοίαις ἐπιψεκάζοι τὴν γνῶσιν αὐτῶν ἡ ἀλήθεια διὰ τῶν ἁγίων τε καὶ θεοφορουμένων τῆς λογικῆς σταγόνος ἀπορρεούσης. βοστρύχους γὰρ οἶμαι τῆς τοῦ παντὸς κεφαλῆς ἐξηρτημένους τροπικῶς ὀνομάζεσθαι προφήτας καὶ εὐαγγελιστὰς καὶ ἀποστόλους, ὧν ἕκαστος ὅσον ἐχώρουν ἐκ τῶν σκοτεινῶν τε καὶ ἀποκρύφων καὶ ἀοράτων θησαυρῶν ἀρυόμενοι ἡμῖν μὲν ποταμοὶ γίνονται πλήρεις ὑδάτων. ὡς δὲ πρὸς τὴν ὄντως ἀλήθειαν δροσώδεις εἰσὶ ψεκάδες, κἂν τῷ πλήθει τε καὶ μεγέθει τῆς διδασκαλίας πλημύρωσιν. οἷος ὁ Παῦλος ἦν ποταμὸς ὑπὲρ τὸν οὐρανὸν τοῖς τῶν νοημάτων κύμασι κορυφούμενος ἕως τρίτου οὐρανοῦ, ἕως τοῦ παραδείσου, ἕως τῶν ἀρρήτων τε καὶ ἀνεκφωνήτων ῥημάτων καὶ διὰ πάσης τῆς τοιαύτης μεγαληγορίας πελαγίζων τῷ λόγῳ δείκνυσι πάλιν ὅτι ψεκάς τίς ἐστι δροσώδης ὁ λόγος οὗτος συγκρίσει τοῦ ὄντως λόγου, δι' ὧν φησιν ὅτι Ἐκ μέρους γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν· καὶ Εἴ τις δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι· καὶ Ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι. εἰ τοίνυν ἡ ἰκμὰς τῆς δρόσου καὶ ἡ τῶν βοστρύχων ψεκὰς ποταμοὶ δοκοῦσι

1-p 327, 7 cf ex. gr. De beatit VII p 1277 D-1280 B (Migne) 1-3 cf Philo Quis rer div heres 204 9 cf ex. gr. Isai 43, 20; Ezech 47, 9; Ps 64, 10 13-14 cf II Cor 12, 2-4 17 I Cor 13, 9 18 I Cor 8, 2 19-20 Phil 3, 13

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἀθεάτων ER^{a}v ὄμβρων Y γνώσεως: βρώσεως V 2 ἀγαπητὴν V εἰ: η C ληπταῖς PVCN ἀμυδρὰς N ἀμυδρῶς P 3 ἐπιψεκάζει ΛYP(sscr o)N ἐπιψεκάζον R^a(sed corr) τὴν γνῶσιν om P(sscr) αὐτῷ SΘPV αὐτοῦ v 4 ante τῆς add ἀνδρῶν PVCN 5 ante τῆς add τοὺς V 6 τε καὶ SΘ 8 (ἀρυόμεν)οι corr E^2 in ras μὲν om v 9 πλήρεις ὑδάτων om v ὄντος E(corr E^2) τοῦ ὄντος SΘ 10 ψεκάδες εἰσὶν Σ an recte? praest claus 11 super μεγέθει sscr τε P πλημύρωσιν E: πλημμύρωσιν R^{a}E^2 πλημμυροῦσιν ΛY πλημμυρῶσιν cett v 12 τὸν om V 14 τε om PVCN 16 τίς om P οὗτος ὁ λόγος Σ 17 ἐνκρίσει N ὄντος R^{a}ΛYΣP ὅτι: ὅτε P 19 ἔγνω: ἔγνωκε Σ ἐγὼ om v 20 ἡ om E(adscr E^2)T(sscr)v ἡ ἰκμὰς: εἰς ἡμᾶς P 21 αἱ τῶν β. ψεκάδες Σ

καὶ πελάγη καὶ κύματα πρὸς τὴν ἡμετέραν κρινόμενα δύναμιν, τί χρὴ περὶ τῆς πηγῆς ἐκείνης λογίσασθαι τῆς εἰπούσης ὅτι Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω; αὐτὸς ἕκαστος τῶν ἀκουόντων δι' ἀναλογίας τῶν εἰρημένων στοχασμὸν λαμβανέτω τοῦ θαύματος. εἰ γὰρ ἡ ψεκὰς εἰς ποταμῶν ἐξήρκεσε γένεσιν, τί αὐτὸν τὸν τοῦ θεοῦ ποταμὸν διὰ τῆς ψεκάδος ταύτης ἔστιν ἀναλογίσασθαι;

Ἴδωμεν δὲ καὶ πῶς ὑπακούει τῷ λόγῳ ἡ νύμφη, πῶς ἀνοίγει τῷ νυμφίῳ τὴν εἴσοδον. Ἐξεδυσάμην, φησί, τὸν χιτῶνά μου· πῶς ἐνδύσομαι αὐτόν; ἐνιψάμην τοὺς πόδας μου· πῶς μολυνῶ αὐτούς; καλῶς ἤκουσε τοῦ κελεύσαντος ἀδελφὴν αὐτὴν καὶ πλησίον γενέσθαι καὶ περιστερὰν καὶ τελείαν, ἵνα διὰ τούτων εἰσοικισθῇ τῇ ψυχῇ ἡ ἀλήθεια· ἐποίησε γὰρ ἅπερ ἤκουσεν ἐκδυσαμένη τὸν δερμάτινον ἐκεῖνον χιτῶνα, ὃν μετὰ τὴν ἁμαρτίαν περιεβάλετο, καὶ ἀπονιψαμένη τῶν ποδῶν τὸ γεῶδες, ᾧ ἐνειλήθη ἀπὸ τῆς ἐν παραδείσῳ διαγωγῆς εἰς τὴν γῆν ἀναλύσασα, ὅτε ἤκουσεν ὅτι Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. διὰ τούτων ἤνοιξεν ἐπὶ τὴν ψυχὴν τῷ λόγῳ τὴν εἴσοδον διασταλέντος τοῦ τῆς

3 Joh 7, 37 9-11 Cant 5, 3 14-15 cf Ambros De Isaac (= Origen Comm) 6, 52, p 676, 16: 'exuit enim tunicam illam pelliciam, quam acceperunt Adam et Eva post culpam, tunicam corruptelae, tunicam passionum'. 18 Gen, 3, 19

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἡμετέραν: τῆς ἡμετέρας διανοίας Syr κρινόμενοι C (κρινό)μενα om in fin lin N 2 ἐκείνης om ER^{a}v Syr (ut vid) ὅτι om Σ 3 αὐτὸς om ER^{a}v Syr 4 ἀναλογίαν v ἀναγίας Λ(corr Λ^2)Y στοχασμῷ Λ(ut vid)Y 5 ποταμὸν N 6 ἤρκεσε ΛYV διήρκεσεν CN γέννησιν N τὸν om P ποταμὸν coll ante τοῦ ΛYSΘ 7 ἀναλογίσασθαι ἐστίν Σ ταύτης coll post ἀναλογίσασθαι S om V 8 καὶ om SΘ 9-10 φησί coll post μου Σ 10 ἐνδύσωμαι ΛY 11 μου om T μολύνω ΛYΣVCN καλέσαντος P 12 post πλησίον add αὐτὴν ΛYΘ καὶ tert om VN 14 δερμάτινον om Syr 15 ἐκεῖνον om ER^{a}Σv Syr ὃν—328, 2 εἰπὼν om Syr περιεβάλλετο T(λ alt corr in ras) 16 τῶν: τὸν Σ ᾧ: ὃ P ὧν N super ἐνειλήθη adnot γρ ἐκλήθη P 17 ὅτε: ὅτι ΛY 18 ὅτι om SΘ ἀπολεύσῃ R^a τούτων (cf supra 13) ΛYSΘΣT: τοῦτο cett v ἤνοιξα S(fort, α incert) 19 τοῦ λόγου S

καρδίας παραπετάσματος, τουτέστι τῆς σαρκός. σάρκα δὲ 1005 M. εἰπὼν τὸν παλαιὸν λέγω ἄνθρωπον, ὃν ἐκδύσασθαί τε καὶ ἀποθέσθαι κελεύει ὁ θεῖος ἀπόστολος τοὺς μέλλοντας τῷ λουτρῷ τοῦ λόγου τὸν ῥύπον τῶν βάσεων τῆς ψυχῆς ἀποκλύζεσθαι. οὐκοῦν ὁ τὸν παλαιὸν ἀπεκδυσάμενος ἄνθρωπον καὶ περιελὼν τῆς καρδίας τὸ κάλυμμα, ἤνοιξε τῷ λόγῳ τὴν εἴσοδον, ὃν ἐντὸς γενόμενον ἔνδυμα ποιεῖται ἑαυτῆς ἡ ψυχὴ κατὰ τὴν τοῦ ἀποστόλου ὑφήγησιν, ὃς κελεύει τὸν ἐκδυσάμενον τὴν ῥακώδη τοῦ παλαιοῦ ἀνθρώπου περιβολὴν Ἐνδύσασθαι τὸν καινὸν χιτῶνα τὸν κατὰ θεὸν κτισθέντα ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· Ἰησοῦν δὲ λέγει εἶναι τὸ ἔνδυμα. ἡ δὲ ὁμολογία τῆς νύμφης τοῦ μηκέτι τὸν ἀποβληθέντα χιτῶνα πάλιν ἀναλαμβάνειν, ἀλλ' ἀρκεῖσθαι τῷ ἑνὶ χιτῶνι κατὰ τὸν δοθέντα τοῖς μαθηταῖς νόμον, ὃν διὰ τῆς ἄνωθεν γεννήσεως ἀνακαινισθεῖσα μετημφιάσατο, βεβαιοῖ τοῦ κυρίου τὸν λόγον τὸν κελεύοντα τοὺς ἅπαξ τῷ θείῳ κοσμηθέντας ἐνδύματι μηκέτι ἐπενδύσασθαι τὸν τῆς ἁμαρτίας χιτῶνα, μηδὲ δύο χιτῶνας ἔχειν, ἀλλὰ τὸν ἕνα μόνον, ἵνα μὴ δύο περὶ τὸν αὐτὸν ὦσιν οἱ ἀσύμβατοι πρὸς ἀλλήλους χιτῶνες. τίς γὰρ κοινωνία τῷ σκοτεινῷ ἐνδύματι πρὸς τὸ φωτοειδές

1 cf II Cor 3, 15/6 2-3 cf Col 3, 9; Eph 4, 22 4-17 spectant ad ritum baptismi, cf ex. gr. De bapt p 420 C (Migne); cf Daniélou l.l. p 30-33 4 cf Eph 5, 26 10 Eph 4, 24 11 cf Rom 13, 14 16-17 unde? an Matth 22, 11/12 (cf Origen in Joh I, 27, p 34, 13)? 18 cf Matth 10, 10; cf Method De lepra 5, 6-8 (p 456, 17 sqq) 19 cf ex. gr. De perf p 180, 16 (Vol VIII, 1 Jaeger) 20 cf II Cor 6, 14

ER^a ΛΥSΘ Σ PVT CN Syr 2 ἄνθρωπον λέγω ΣPVCN claus praest τε om ER^av 2-3 τε καὶ ἀποθέσθαι om Σ Syr 3 κελεύει: λέγει T 4-5 ἀποκλύσασθαι ER^av 5 ὁ om v 6 τοῦ λόγου C(ut vid, corr C^2) 8 ψυχή: νύμφη Syr ὅς: ὃ N 9 ῥακκώδη ΣC(-ό-) σακκώδη P σαρκώδη ER^av 10 τὸν καινὸν om ER^av 11 post ἔνδυμα iterat verba 7 ποιεῖται—11 ἔνδυμα Y(del) 12 τοῦ: τῶ E τὸ R^aΣv 13 ἀλλ' ἀρκεῖσθαι om R^a(in marg add ut vid, sed legi non possunt) ἀρκέσαι ΛΥ 15 ἀνακαινισθεῖσα ER^aTv Syr: ἀνακαινισθεῖσα ἡ ψυχὴ cett, violat cursum 16 τὸν pr coll ante 15 τοῦ ΣT κελεύσαντα ΣN 19 τῶν αὐτῶν N οἱ om P 20 τὸν φωτοειδῆ ER^av

τε καὶ ἄϋλον; οὐ μόνον δὲ τοῦτό φησιν ὁ νόμος τὸ μὴ δεῖν δύο χιτῶνας ἔχειν, ἀλλὰ μηδὲ ἐπιρράπτειν τὸ καινὸν ὕφασμα τῷ παλαιῷ ἱματίῳ, ἵνα μὴ χείρων γένηται ἡ ἀσχημοσύνη τοῦ τὸ τοιοῦτον περιβαλλομένου μήτε τοῦ ἐνραφέντος μείναντος καὶ τοῦ παλαιοῦ χεῖρον τὸ σχίσμα παθόντος καὶ δυσθεράπευτον· Αἴρει γάρ, φησί, τὸ πλήρωμα τὸ καινὸν τοῦ παλαιοῦ καὶ χεῖρον σχίσμα γίνεται, ὡς δημοσιεύεσθαι δι' αὐτοῦ τὰ ἀσχήμονα. διὰ τοῦτό φησιν Ἐξεδυσάμην τὸν χιτῶνά μου· πῶς ἐνδύσομαι αὐτόν; τίς γὰρ ἂν βλέπων περὶ ἑαυτὸν τὸν ἡλιοειδῆ τοῦ κυρίου χιτῶνα τὸν διὰ καθαρότητος καὶ ἀφθαρσίας ἱστουργηθέντα, οἷον ἐπὶ τῆς <ἐπὶ> τοῦ ὄρους μεταμορφώσεως ἔδειξεν, εἶτα καταδέχεται τὸ πτωχόν τε καὶ ῥακῶδες ἱμάτιον ἑαυτῷ περιθεῖναι, ὅπερ ὁ μέθυσος καὶ πορνοκόπος, καθὼς ἡ Παροιμία φησί, περιβάλλεται;

Ἀλλ' οὐδὲ τοὺς πόδας νιψαμένη πάλιν τῇ βάσει τὸν ἐκ τῆς γῆς μολυσμὸν παραδέχεται· Ἐνιψάμην γάρ, φησί, τοὺς πόδας μου· πῶς μολυνῶ αὐτούς; οὐδὲ γὰρ Μωϋσῆς τῷ θείῳ προστάγματι τῆς νεκρᾶς τῶν δερμάτων περιβολῆς ἐλευθερώ-

6-7 Marc 2, 21 11-12 cf Matth 17, 2 parall 13-14 cf Prov 23, 21 15-16 cf Ambros De Isaac (= Origen Comm) 6, 52, p 676, 2: 'ne iterum . . . egressus suos virtutumque processus terrenis incipiat vestigiis inquinare'. 17-18 cf Exod 3, 5

ER^a ΛΥSΘ Σ PVT CN Syr 1 τε om N τε καὶ ἄϋλον om Syr 2 post ἀλλὰ add τὸ ΛΥSΘ 3 χεῖρον ΘΣPVCN 4 τοῦ—περιβαλλομένου om SΘ τό: τὸν ER^av τοιοῦτο Σ περιβαλομένου N(sscr λ alt ut vid) post τοῦ alt add καινοῦ Syr ἐρραφέντος ESΘΣTv 5 τὸ om V σχίμα R^a σχήμα ΘCN(-ῆ-) 5-7 παθόντος—σχίσμα om Y 6 φησί coll post καινὸν Σ 7 ante σχίσμα add τὸ Σ σχῆμα C(corr C^2)N δημοσίευσθαι E δεδημοσιεύεσθαι P 7-8 δι' αὐτοῦ coll post ὡς Σ 9 μου om C(de N non liquet, μου πῶς sciss) ἐνδύσωμαι ΛΥ ἂν ER^av: om cett 10 αὐτὸν ΛΥSΘVCN κυρίου: χριστοῦ Σ 11 ἱστουργηθέντι P(sscr τουρ) ἱστορηθέντα T Syr αὐτῷ περιτιθέντα ER^av ἐπὶ alt addidi sequens Syr: om codd v post ὅρους(sic) sscr τῆς P 12 εἶτα om Θ 13 ῥακκῶδες PC(-κόδ-) 14 post καὶ add ὁ v 15 νιψαμένη om PVCN 16 τῆς om Σ μολυσμόν: λογισμὸν CN φησί ER^aΣv Syr: om cett 17 μου om PTCN μολύνω ΛΥΣPVCN 18 νεκρᾶς om Syr δερματίνων Σ

σας τοὺς πόδας, ὅτε τῆς ἁγίας τε καὶ πεφωτισμένης ἐπέβαινε γῆς, πάλιν ἱστορεῖται διαλαβὼν τοὺς πόδας τοῖς ὑποδήμασιν, ὅς γε καὶ τὴν ἱερατικὴν ἐσθῆτα κατὰ τὸν τύπον τὸν ἐν τῷ ὄρει δειχθέντα φιλοτεχνήσας, χρυσοῦ καὶ πορφύρας καὶ βύσσου καὶ ὑακίνθου καὶ κόκκου τὰς αὐγὰς συγκεράσας ἐν τῷ ὑφάσματι, ὥστε σύμμικτον ἐκ πάντων ἀπαστράπτειν τὸ κάλλος, οὐδένα τοῖς ποσὶ κόσμον ἐπετεχνήσατο, ἀλλ' ἦν καλλωπισμὸς τοῦ ἱερατικοῦ ποδὸς τὸ γυμνὸν εἶναι πάσης περιβολῆς καὶ ἐλεύθερον· χρὴ γὰρ τὸν ἱερέα πάντως ἐπὶ τῆς ἁγίας βεβηκέναι γῆς, ἧς μετὰ νεκρῶν δερμάτων ἐπιβατεύειν οὐ θέμις. διὰ τοῦτο καὶ τοῖς μαθηταῖς ὁ κύριος ἀπαγορεύει τὰ ὑποδήματα, ἐπειδὴ κελεύει αὐτοὺς εἰς ὁδὸν ἐθνῶν μὴ πορεύεσθαι ἀλλὰ διὰ τῆς ἁγίας ὁδοῦ προϊέναι.
1008 M. οὐκ ἀγνοεῖς δὲ πάντως τὴν ἁγίαν ὁδόν, δι' ἧς οἱ μαθηταὶ τρέχειν κελεύονται, μαθὼν παρὰ τοῦ εἰπόντος ὅτι Ἐγώ εἰμι ἡ ὁδός, ἧς οὐκ ἔστιν ἅψασθαι τὸν μὴ ὑπολυσάμενον τὴν τοῦ νεκροῦ ἀνθρώπου περιβολήν. ἐπεὶ οὖν ἐν ταύτῃ ἐγένετο τῇ ὁδῷ ἡ νύμφη, ἐν ᾗ τῶν δι' αὐτῆς περιπατούντων ὁ κύριος νίπτει τοὺς πόδας τῷ ὕδατι καὶ ἐκμάσσει τῷ λεντίῳ ᾧ διεζώσατο (δύναμις δέ ἐστι καθαρτικὴ τῶν ἁμαρτιῶν τὸ τοῦ κυρίου διάζωσμα· Ἐνεδύσατο γάρ, φησί, κύριος δύναμιν καὶ περιεζώσατο), διὰ τοῦτο καθαρθεῖσα τοὺς πόδας ἐπὶ τῆς ὁδοῦ τῆς βασιλικῆς ἑαυτὴν φυλάσσει οὐκ

3-7 cf Exod 28, 5 et 8 3-4 cf Exod 25, 9 12-13 cf Matth 10, 10; 5/6 15-16 Joh 14, 6 18-21 cf Origen in Joh XXXII, 7, p 437, 14-21 19 cf Joh 13, 5 21 Ps 92, 1 23-331, 1 cf Num 20, 17

ER[a] ΛYSΘ Σ PVT CN Syr 1 ὅτε: ὅτι Y τε om Σ 2 διαλαβεῖν V 3 ὅς γε: ὥστε V ὅτε CN v τὸν pr om P τῷ om N 4 δειχθέντα om V ante χρυσΐου (sic) add ἐκ T 7 ἐπετεχνάσατο R[a]T ἐπιτεχνάσατο E ἀπετεχνήσατο P 9 ante καὶ add τε T 12 αὐτοῖς T 12-13 ὁδὸν coll post ἐθνῶν R[a]v om E (sscr post ἐθνῶν E[2]) 13 προσιέναι VCNE (eras σ) 14 ἁγίαν om Θ 15 κελεύουσιν CN ὅτι om ER[a]v 16 (ὑπο)λ(υσάμενον) in ras E[2] ἀπολυσάμενον P 18 γέγονε T τῇ ὁδῷ ἐγένετο N τῶν: τὸ N δι' αὐτῆς—p 332, 22 ῥωγαλέον om CN αὐτὴν P 19 ὁ κύριος om T ἐκμάσσειν V 21 τὸ iterat R[a] διάζωμα E (sscr σ E[2]) κύριος coll ante γὰρ T ante κύριος add ὁ Σ 23 τῇ ὁδῶ τῇ βασιλικῇ T φυλάττει T

ἐκκλίνουσα εἰς δεξιὰ ἢ εἰς ἀριστερά, ἵνα μὴ καθ' ἑκάτερον ἔξω τῆς ὁδοῦ παρενεγκοῦσα τὸ ἴχνος μολύνῃ τῷ πηλῷ τὸν πόδα. νοεῖς δὲ πάντως τὸ διὰ τῶν εἰρημένων δηλούμενον ὅτι ἡ ἅπαξ διὰ τοῦ βαπτίσματος ὑπολυσαμένη τὰ ὑποδήματα (ἴδιον γὰρ τοῦ βαπτίζοντος ἔργον τὸ λύειν τοὺς ἱμάντας τῶν ὑποδεδεμένων, καθὼς Ἰωάννης διεμαρτύρατο μὴ δύνασθαι τοῦτο ἐπὶ μόνου τοῦ κυρίου ποιῆσαι· πῶς γὰρ ἂν ἔλυσε τὸν μηδὲ τὴν ἀρχὴν τῷ ἱμάντι τῆς ἁμαρτίας ἐνδεδεμένον;) αὕτη τοὺς πόδας ἐνίψατο πάντα γήϊνον ῥύπον συναποβαλοῦσα τοῖς ὑποδήμασιν. φυλάσσει τοίνυν ἐπὶ τῆς πεπλακωμένης ὁδοῦ τὴν βάσιν ἀμόλυντον, ὡς καὶ ὁ Δαβὶδ ἐποίει, ὅτε τοῦ πηλοῦ τὴν ἰλὺν ἀποκλυσάμενος ἐπὶ τῆς πέτρας ἔστησε τοὺς ἑαυτοῦ πόδας οὕτως εἰπὼν τῷ λόγῳ ὅτι Ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου. πέτραν δὲ νοοῦμεν τὸν κύριον ὅς ἐστι φῶς καὶ ἀλήθεια καὶ ἀφθαρσία καὶ δικαιοσύνη, δι' ὧν ἡ πνευματικὴ

1-2 proverbialiter dictum esse videtur (cf ex. gr. Aeschyl Choeph 697: . . . ἦν γὰρ εὐβούλως ἔχων, ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα. 7 cf Luc 3, 16 ~ Marc 1, 7 14-16 Ps 39, 3 16 cf I Cor 10, 4; φῶς: cf Joh 1, 4 et 9; Joh 8, 12 17 ἀλήθεια: cf Joh 14, 6 ἀφθαρσία: cf I Cor 15, 53-57; cf De profess p 134, 19 (Vol VIII, 1, Jaeger) et quae adnotat Jaeger δικαιοσύνη cf I Cor 1, 30, cf De profess p 134, 17; cf Origen in Joh XXXII 31, p 478, 28

ER[a] ΛYSΘ Σ PVT Syr 1 ἐκκλίνουσαν ΛY et δεξιὰν et ἀριστεράν Λ (corr Λ[2]) YSΘΣPE (eras bis ν) εἰς alt om Λ (add Λ[2]) YSΘT ἕτερον Σ 2 τῷ πηλῷ: τῇ ἰλύϊ τῆς γῆς Syr ut cursum claudicantem sanarem conieci τοῦ πηλοῦ τῇ ἰλύϊ (cf infra 12 et 14) 5 τὸ: τοῦ ΣP 6 ὑποδημάτων v Syr (add τοῦ βαπτιζομένου) ante Ἰωάννης add ὁ ΛY (sscr) 7 τοῦτο: τοιοῦτον P 8 ἔλυεν Σ τὸν: τῷ v μὴ · · δὲ R[a] (del 2 vel 3 litt) 8-9 ἐνδεδυμένον Y ἐνδεδεμένῳ Vv 9 post αὕτη add οὖν T Syr post πάντα add τὸν T 10 συναποβάλλουσα Λ (corr Λ[2]) Y 11 τῆς ὁδοῦ (sic) coll ante 10 τῆς Σ καὶ om P ὁ om PVT 12 ἐποίησεν v ὅτε: ὅτι T (sed corr) τοῦ πηλοῦ: τῆς φθορᾶς Syr ἰλὺν Syr: ἰλὴν VP (corr ὕλην) ἰλύην Λ[2] (ex ὕλην) ὕλην cett v ἀπολυσάμενος v 14 ἀνήγειρέ v πηλοῦ: φθορᾶς Syr ἰλύος: ὕλεως Σ 15 πέτρας S (corr m ut vid pr) κατεύθηνε P (sscr υν) 17 ante καὶ tert eras καὶ δι E post δικαιοσύνη add καὶ τὰ λοιπὰ τοιαῦτα Syr

ὁδὸς διαπλακοῦται. ὧν ὁ μὴ παρατραπεὶς καθ' ἑκάτερον καθαρὸν διασῴζει τὸ ἴχνος οὐδαμόθεν τῷ πηλῷ τῆς ἡδονῆς μολυνόμενον. ταῦτά ἐστι κατά γε τὸν ἐμὸν λόγον, δι' ὧν ἡ θύρα τῷ λόγῳ παρὰ τῆς νύμφης ἀνοίγεται· ἡ γὰρ ὁμολογία τοῦ μηκέτι ἀναλαβεῖν τὸν ἀποβληθέντα πηλὸν μηδὲ τῇ πορείᾳ τοῦ βίου τὸν γεώδη μολυσμὸν παραδέξασθαι εἴσοδος γίνεται τοῦ ἁγιασμοῦ ἐπὶ τὴν οὕτω παρεσκευασμένην ψυχήν. ἁγιασμὸς δὲ ὁ κύριος. καὶ τοῦτο μὲν τοῖς εἰρημένοις ἐπεραιώθη τὸ νόημα.

Πάλιν δὲ μετὰ τοῦτο τῆς ὑπερκειμένης ἀναβάσεως ἅπτεται ἡ ψυχὴ οὐκέτι φωνῆς τὴν καρδίαν θυροκρουστούσης ἀλλ' αὐτῆς τῆς θείας χειρὸς διὰ τῆς ὀπῆς ἐπὶ τὰ ἐντὸς παραδύσης· Ἀδελφιδός μου γάρ, φησίν, ἀπέστειλε τὴν χεῖρα αὐτοῦ διὰ τῆς ὀπῆς, καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν. δῆλον δὲ πάντως ἐστὶ τῷ συνετῶς ἐπαΐοντι, ὅσον πλεονάζει τῷ ὕψει τὰ νῦν εἰρημένα παρὰ τὰ πρότερον· Ἄνοιξον λέγει πρὸς τὴν νύμφην ὁ λόγος· δίδωσιν αὐτῇ διὰ τῶν θείων ὀνομάτων τοῦ ἀνοῖξαι τὴν δύναμιν· ὑπακούει τῷ λόγῳ ἡ νύμφη (γίνεται γὰρ ὅπερ ἤκουσεν· ἀδελφὴ καὶ πλησίον καὶ περιστερὰ καὶ τελεία)· ἀποδύεται τὸν δερμάτινον ἐκεῖνον χιτῶνα καὶ τὸν ῥύπον τῶν ποδῶν ἀπονίπτεται καὶ οὔτε τὸ εἰδεχθὲς καὶ ῥωγαλέον ἐκεῖνο ἱμάτιον πάλιν ἑαυτῇ περιτίθησιν

8 cf I Cor 1, 30   13-14 Cant 5, 4

ER^a ΛΥSΘ Σ PVT Syr 1 ὧν: ᾧι Σ περϊτραπεὶς T 2 καθαρὸν om ER^{a}v μηδαμόθεν ΛΥ 3 μολυνόμενος V ὧν: ὃν Y 4 τοῦ νυμφίου V 6 μολυσμὸν: λογισμὸν SΘT λογισμὸν μολυσμὸν (sic) ΛΥ 7 τῷ ἁγιασμῷ V παρασκευασμένην PV 8 τῶν εἰρημένων v τοῖς προκειμένοις αἰνίγμασιν Syr 10 ante πάλιν eras 2 litt Θ 12 ἀλλ' αὐτῆς: αὐτῆς δὲ V ὀπῆς corr in ras V ἔνδον T 13 παραδύσης correxi: παραδυείσης codd v γὰρ coll ante μου ER^{a}ΛΥ om P (sscr super ἀδελφιδός) 15 ἐστὶ om T 16 τὰ πρότερον ΣPSyr: τὰ πρότερα ΛΥSΘT τὸ πρότερον ER^{a}Vv post ἄνοιξον add μοι Syr λέγων Vv 17 αὐτὴν Λ (corr Λ^2) Y ante τῶν add τῆς v 18 νοημάτων PV τοῦ om V 19 post ἀδελφὴ add καὶ νύμφη PV καὶ alt om T 20 καὶ om V δερματικὸν v 22 τε καὶ T ἐκείνου CN ἐπιτίθησιν Λ (corr Λ^2)

1009 M. οὔτε τῇ γῇ πρὸς τὸ λοιπὸν ἐναπερείδει τὸ ἴχνος· ἤκουσεν οὖν αὐτοῦ τῆς φωνῆς καὶ τῷ προστάγματι πείθεται· ἀνοίγει τὴν θύραν περιελομένη τῆς καρδίας τὸ κάλυμμα· διέσχε τῆς θύρας τὸ τῆς σαρκὸς παραπέτασμα· πᾶσα ἠνοίγη τῆς ψυχῆς ἡ πύλη, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης. ἀλλ' ἡ τῆς πύλης εὐρυχωρία μικρά τις ἀπεδείχθη τρυμαλιὰ στενὴ καὶ βραχεῖα, δι' ἧς οὐκ αὐτὸς ὁ νυμφίος ἀλλ' ἡ χεὶρ αὐτοῦ μόγις ἐχώρησεν, ὥστε δι' αὐτῆς ἐπὶ τὸ ἐντὸς γενέσθαι καὶ ἅψασθαι τῆς ἐπιθυμούσης τὸν νυμφίον ἰδεῖν, ἣ τοσοῦτον ἐκέρδανε μόνον ὅσον γνῶναι ὅτι ἡ χεὶρ ἐκείνη τοῦ ποθουμένου ἐστίν. οἷα δὲ ἡμῖν ὑποδείκνυται δόγματα διὰ τῆς ἐν τοῖς εἰρημένοις φιλοσοφίας μάθοιμεν ἄν, εἰ μικρὸν τῷ λόγῳ προσδιατρίψαιμεν· ἡ ἀνθρωπίνη ψυχὴ δύο φύσεων οὖσα μεθόριος, ὧν ἡ μὲν ἀσώματός ἐστι καὶ νοερὰ καὶ ἀκήρατος ἡ δὲ ἑτέρα σωματικὴ καὶ ὑλώδης καὶ ἄλογος, ἐπειδὰν τάχιστα τῆς πρὸς τὸν παχύν τε καὶ γεώδη βίον σχέσεως

1 cf Ambros De Isaac (= Origen Comm) p 676, 23: .... 'quomodo inquinabo ea (scil vestigia), ut in corporis claustrum et illum tenebrosum passionum eius carcerem revertam'. 3 cf II Cor 3, 16 5 cf Ps 23, 7 et 9 7 sqq cf Ambros De Isaac (= Origen Comm) p 677, 3: 'Dum haec illa dicit, misit operationem suam (scil τὴν ἐνέργειαν) verbum tamquam per cavernam, non adhuc faciem ad faciem, misit tamquam manum'. 9 ἅψασθαι: cf supra ad 324, 13. tota in hac disputatione Gregorium theologiam Aristotelis cum secutum esse tum superare voluisse mihi persuasum est. an iam Origenes, nescimus. mihi quidem minus simile veri visum est. 13-15 cf ex. gr. Or catech cap VI (= p 25 B sqq, Migne) 16-p 334, 9 Gregorius praedicat omnem sive vitam contemplativam sive philo-

ER^a ΛΥSΘ Σ PVT CN Syr 1 ἐναπερείδοι N 2 οὖν om PV ante ἀνοίγει add καὶ Syr 3 θύρα Y τὸ κάλυμμα τῆς καρδίας ER^{a}v διέσχισε ER^{a}Tv 4 διαπέτασμα ER^{a}v 5 τῆς alt om R^a (sscr) 8 μόλις T ἐπὶ τὸ om T τὸ: τὰ V 9 ἐπιθυμίας PVCN ἣ: ὦ ἡ R^{a}E^2 (ex ἣ) ᾧ v 10 ὅτι om P 11 ὑποδεικνύει τὰ V ἐν τοῖς om E (in marg add E^2) T 12 εἰρημένης T 13 προσδιατρίψαιμεν ER^{a}ΛΥSΘ: προσδιατρίψομεν TCN προσδιατρίψωμεν ΣVv προδιατρίψωμεν P (sed corr προσ) φύσεων: ψυχῶν P 13-14 ἡ—ἀκήρατος om Λ (add in marg sup Λ^2) Y 14 ἡ om E (adscr E^2) 15 post ἐπειδὰν add δὲ v 16 τῆς om PC (sscr C^2) N πρὸς om V

ἐκκαθαρθεῖσα δι' ἀρετῆς ἀναβλέψῃ πρὸς τὸ συγγενὲς καὶ θειότερον, οὐ παύεται διερευνωμένη καὶ ἀναζητοῦσα τὴν τῶν ὄντων ἀρχήν, τίς ἡ τοῦ κάλλους τῶν ὄντων πηγή, πόθεν βρύει ἡ δύναμις, τί τὸ πηγάζον τὴν ἐμφαινομένην τοῖς οὖσι σοφίαν. πάντας δὲ λογισμοὺς καὶ πᾶσαν ἐρευνητικὴν νοημάτων δύναμιν ἀνακινοῦσα καὶ περιεργαζομένη καταλαβεῖν τὸ ζητούμενον ὅρον ποιεῖται τῆς καταλήψεως τοῦ θεοῦ τὴν ἐνέργειαν μόνην τὴν μέχρις ἡμῶν κατιοῦσαν, ἧς διὰ τῆς ζωῆς ἡμῶν αἰσθανόμεθα. καὶ ὥσπερ τὸ τῷ ὕδατι συναναδιδόμενον ἐκ τῆς γῆς πνεῦμα οὐχ ἵσταται περὶ τὸν πυθμένα τῆς λίμνης, ἀλλὰ πομφόλυξ γενόμενον ἐπὶ τὸ ἄνω πρὸς τὸ συγγενὲς ἀνατρέχει καί, ὅταν διέλθῃ τὴν ἄκραν τοῦ ὕδατος ἐπιφάνειαν καὶ καταμιχθῇ πρὸς τὸν ἀέρα, τότε τῆς ἐπὶ τὸ ἄνω κινήσεως ἵσταται, τοιοῦτόν τι πάσχει καὶ ἡ τὰ θεῖα διερευνωμένη ψυχή· ἐπειδὰν ἐκ τῶν κάτωθεν πρὸς τὴν τῶν ὑπερκειμένων γνῶσιν ἑαυτὴν ἀνατείνῃ, τὰ τῆς ἐνεργείας αὐτοῦ θαύματα καταλαβοῦσα περαιτέρω προελθεῖν διὰ τῆς πολυπραγμοσύνης τέως οὐ δύναται, ἀλλὰ θαυμάζει καὶ

sophiam non posse supergredi theologiam Aristotelis (id est cognitionem dei per ἐνέργειαν), sed Aristotelem erravisse confundantem τὴν ἐνέργειαν et τὸ τί ἦν εἶναι.
2 cf Sap Sal 13, 6/7 4-5 cf Sap 7, 25 10-18 imagine bullae pro anima vel homine apud Epicureos pervulgata (cf De an et res p 21 B sqq, Migne; cf etiam Varro De re rust I 1 et Petron cap 42) utens Gregorius exemplum dat theologiae mysticae philosophia vetere illustrandae.

ER^a ΛYSΘ Σ PVT CN Syr 1 διὰ τῆς V ἀναβλέψει VN τὸ om Θ εὐγενὲς V 2 θειότατον v ζητοῦσα Θ(sscr ἀνα $Θ^1$) 3 πληγή R^a 4 βρύει: ταύτης V ἡ om Λ(sscr $Λ^2$)Y πηπηγάζον R^a τοῖς οὖσι: τῆς οὐσίας v 5 δὲ λογισμούς: διαλογισμούς CN πασῶν C ἐρευνητικῶν Syr ἐρευνητὴν v 6 διακινοῦσα ER^av 8 μέχρι v 9 ἡμεῖς v ὥσ ∼∼∼ περ Σ(tris ∼ in ras ut vid) τὸ om Y 10 τῆς γῆς: πηγῆς P 11 λήμνης CN γενόμενος VCN ἄνω om Σ 12 τοῦ ὕδατος ἄκραν ER^av 13 πρὸς τὸν ἀέρα om P τῷ ἀέρι (om πρὸς)T ἐπὶ τὸ om V τό: τὰ ER^av 14 τοιοῦτό S 15 ἐρευνωμένη V ἐκ τῶν: ὑπο C πρὸς om P 17 προσελθεῖν E(del σ)R^a παρελυθεῖν N τῆς om P 18 τέως om ER^av

σέβεται τὸν ὅτι ἔστι μόνον δι' ὧν ἐνεργεῖ γινωσκόμενον. ὁρᾷ τὸ οὐράνιον κάλλος, τὰς τῶν φωστήρων αὐγάς, τὴν ὀξεῖαν τοῦ πόλου κυκλοφορίαν, τὴν εὔτακτόν τε καὶ ἐναρμόνιον τῶν ἐντὸς ἄστρων περιφοράν, τὸν ἐνιαύσιον κύκλον τέσσαρσι καιροῖς εἰς ἑαυτὸν ἀναστρέφοντα, τὴν γῆν συνδιατιθεμένην τῷ περιέχοντι καὶ τῇ διαφορᾷ τῆς τῶν ὑπερκειμένων κινήσεως τὰς ἰδίας ἐνεργείας συνεξαλλάσσουσαν, τάς τε πολυειδεῖς ἐν τοῖς ζῴοις φύσεις τῶν τε καθ' ὕδατος διαιτωμένων καὶ τῶν τὴν διαέριον ἀπολαχόντων φορὰν καὶ οἷς χερσαῖος ὁ βίος, τάς τε παντοδαπὰς τῶν φυτῶν ἰδέας καὶ τὰς ποικίλας πόας ποιότητι καὶ δυνάμει καὶ σχήματι ἀλλήλων διαφερούσας καὶ τὰς τῶν καρπῶν τε καὶ χυμῶν ἰδιότητας· <ταῦτα τοίνυν> καὶ τὰ ἄλλα, δι' ὧν ἡ ἐνέργεια τοῦ θεοῦ διαδείκνυται, βλέπουσα ἡ ψυχὴ διὰ τοῦ θαύματος τῶν φαινομένων ἀναλογίζεται τῇ διανοίᾳ τὸν διὰ τῶν ἔργων νοούμενον ὅτι

1-15 Gregorium ex ipso Aristot dialogo Περὶ φιλοσοφίας (cf Cicero De nat deor II 95) hausisse laus τοῦ θαυμάζειν subicit. scil de loco per saecula iterum iterumque perlaudato demonstrari non potest. cf ex. gr. De mortuis p 505 D-508A (Migne); at cf etiam Sap Sal 13, 1-9 15 cf Rom 1, 20

ER^a ΛYSΘ Σ PVT CN Syr 1 τὸν ER^aT$Λ^2$(ex αὐτὸν)v Syr: αὐτὸν cett μόνον om PVCN δι' om N ut vid ἐνεργεία N^2(quod suberat legi nequit) γινωσκόμενος Θ(-ς ex corr ut vid)P(sscr super -μενον) ὁρᾷ om E(adscr E^2) 3 (κυκλο)φ(ορ)ί(αν)corr in ras E^2 4 τῶν: τὴν P rasura 3-5 litt E(corr in ras et in marg καὶ περικαλὴ E^2) om R^av ἐντὸς ἄστρων ΛYSΘΣT Syr: ἄστρων V ἐν τοῖς ἄστροις ER^aPCNv περιφορίαν PC(corr C^2)N ἐνιαυσιαῖον PVTCN(ut vid) 5 εἰς om ΛYSΘ 7 ἐνεργείας: κινήσεις ΛYSΘ τε om V 8 τῶν ζῴων (om ἐν) Syr ὑδάτων ER^av 9 διαέριον ΛYSΘΣTE (eras δι): ἀέριον cett v λαχόντων V 10 τῶν coll ante παντοδαπῶν(sic)T 11 ante ποιότητι add καὶ T σχήματι καὶ δυνάμει Σ 12 τὰς om R^a ταῦτα τοίνυν supplevi sequens paraphrasim Syr, at nota bene Syr et 7 ante τάς alt addidisse ὁρᾷ καὶ μετὰ τούτων et 10 ante τάς pr addidisse ὁρᾷ καὶ et 11/2 exempla creationis divinae auxisse. 13 ἄλλα, δι': ἄλληλα N ἀλληλα δι' C διαδείκνυεται(sic)P 14 ἡ om PCN 15 ἀθαλογίζεται P τῶν ἔργων: τούτων Syr νοουμένων C (corr C^2)

ἔστιν. ἴσως δὲ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, ὅταν παρέλθῃ πᾶν τὸ ὁρώμενον κατὰ τὴν τοῦ κυρίου φωνήν, ὅς φησιν ὅτι Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, καὶ εἰς ἐκείνην μετέλθωμεν
1012 M. τὴν ζωήν, ἣ ὑπὲρ ὀφθαλμόν τέ ἐστι καὶ ἀκοὴν καὶ διάνοιαν, τότε οὐκέτι ἐκ μέρους διὰ τῶν ἔργων ἐπιγνωσόμεθα τὴν τοῦ ἀγαθοῦ φύσιν ὥσπερ καὶ νῦν οὐδὲ διὰ τῆς τῶν φαινομένων ἐνεργείας τὸ ὑπερκείμενον νοηθήσεται, ἀλλ' ἑτέρως καταληφθήσεται πάντως τὸ εἶδος τῆς ἀφράστου μακαριότητος καὶ ἄλλος τρόπος τῆς ἀπολαύσεως, ὃς νῦν Ἐπὶ καρδίαν ἀνθρώπου ἀναβῆναι φύσιν οὐκ ἔχει. τέως δὲ νῦν ὅρος τῇ ψυχῇ τῆς τοῦ ἀφράστου γνώσεώς ἐστιν ἡ ἐμφαινομένη τοῖς οὖσιν ἐνέργεια, ἣν χεῖρα λέγεσθαι τροπικῶς ἐνοήσαμεν. τοῦτο τοίνυν ἡμῖν τὸ δόγμα διὰ τῶν θείων τούτων λογίων πεφιλοσόφηται, δι' ὧν ἡ καθαρὰ ψυχή, οὐκέτι τοῦ γηΐνου τε καὶ ὑλικοῦ βίου ἐπιβατεύουσα, ἵνα μὴ μολύνῃ ἑαυτῆς τὸ ἴχνος τοῖς κάτω ἐνερειδόμενον, προσδοκήσασα αὐτὸν ὑποδέξασθαι τὸν νυμφίον ὅλον ἐν τῷ οἴκῳ γενόμενον, ἠγάπησε μόνην τέως τὴν χεῖρα θεασαμένη, δι' ἧς ἑρμηνεύεται ἡ ἐνεργητικὴ αὐτοῦ δύναμις· Ἀδελφιδός μου γάρ, φησίν, ἀπέστειλε τὴν χεῖρα

3 Matth 24, 35 4 cf I Cor 2, 9 5 cf I Cor 13, 12; cf Ambros De Isaac (= Origen Comm) 6, 53 = p 677, 9: 'primum operibus suis videtur, ut dixi, deus verbum tamquam per cavernam, non plene atque perfecte'. 6-7 id est more Aristotelico 9-10 I Cor 2, 9 11-12 cf Ambros De Isaac (= Origen Comm) 6, 53 = p 677, 29: . . . 'ipsa ministeria operationum, id est manus et digiti . . .'.

ER^a ΛYSΘ Σ PVT CN Syr 2 ὅς: ὡς SΘΣ ὅς φησιν om ΛY ὅτι om ER^{a}v 3 παρελεύσονται ER^{a}S^2(e- σεται)v ante καὶ alt add τὰ δὲ ῥήματά μου οὐ μὴ παρελεύσονται v 4 ante ζωήν add ἄφθαρτον Syr τέ om VT 5 διαγνωσόμεθα (= om τῶν ἔργων ἐπι)V 6 οὐδὲ: οὐ YΘ 7 ἑτέρους P 7-8 καταλειφθήσεται N 8 ἀφράστου om SΘ 9 post ἀπολαύσεως add ἐκείνης V ὃς: οὗ Y om ER^a 10 ἀναβαίνει N ἀναβαίνειν v τοῦ om SΘ 10-11 τοῦ ἀφράστου om Syr 11 ἐκφαινομένη Θ 12 προσωπικῶς N 13 λογίων τούτων Σ 14 οὐκέτι ΛYSΘV: καὶ οὐκέτι cett v ἡ οὐκέτι Syr (ut vid) τε om T 15 αὐτῆς Θ ἑαυ(sic)C(sscr τῆς C^2) 16 et (κατ)ω sscr et ἐν(ερειδόμενον) corr in ras T^2 ἐπερειδόμενον ΛYSΘ ἐνερειδομένη v 17 μόνον ER^{a}v post τέως add ἐν ὀπῇ R^{a}E^2(adscr)Σv 18 θεάσασθαι R^{a}E^2(corr -σθαι in ras)v 19 γὰρ coll ante μου ER^a om v

αὐτοῦ διὰ τῆς ὀπῆς. οὐ γὰρ χωρεῖ ἡ ἀνθρωπίνη πενία τὴν ἀόριστόν τε καὶ ἀπερίληπτον φύσιν ἐν ἑαυτῇ δέξασθαι. Ἡ δὲ κοιλία μου, φησίν, ἐθροήθη ἐπ' αὐτόν. ἔκπληξίν τινα σημαίνει καὶ ξενισμὸν ἐπὶ τῷ φανέντι θαύματι τὸ τῆς θροήσεως ὄνομα· πᾶσα γὰρ αὐτῆς ἡ διανοητικὴ δύναμις συνεκινήθη πρὸς τὸ θαῦμα τῶν διὰ τῆς θείας χειρὸς ἐνεργουμένων, ὧν ἡ κατανόησις ὑπερκειμένη τῆς ἀνθρωπίνης δυνάμεως τὸ ἀκατάληπτόν τε καὶ ἀχώρητον τῆς τοῦ ἐνεργοῦντος φύσεως δι' ἑαυτῆς ἑρμηνεύει. πᾶσα γὰρ ἡ τῶν ὄντων κτίσις τῆς χειρὸς ἐκείνης τῆς διὰ τῆς ὀπῆς ἡμῖν φανερωθείσης ἔργον ἐστίν, ὡς ὁ Ἰωάννης τε βοᾷ λέγων καὶ ὁ προφήτης τῷ εὐαγγελίῳ συμφθέγγεται· ὁ μὲν γάρ φησιν ὅτι Πάντα δι' αὐτοῦ ἐγένετο, ὁ δὲ προφήτης χεῖρα ὀνομάζει τὴν ποιητικὴν τῶν ὄντων δύναμιν εἰπὼν ὅτι Ἡ χείρ μου ἐποίησε ταῦτα πάντα. εἰ οὖν τῆς ἐνεργείας ἐκείνης ἔργα τά τε ἄλλα πάντα καὶ τὰ οὐράνια κάλλη, οὔπω δὲ κατείληφεν ἡ ζητητικὴ τοῦ ἀνθρώπου διάνοια, τί κατ' οὐσίαν ὁ οὐρανός ἐστιν ἢ ὁ ἥλιος ἢ ἄλλο τι τῶν φαινομένων ἐν τῇ κτίσει θαυμάτων, τούτου χάριν θροεῖται πρὸς τὴν θείαν ἐνέργειαν ἡ καρδία, ὅτι εἰ ταῦτα καταλαβεῖν οὐ χωρεῖ, πῶς τὴν ὑπερκειμένην τούτων καταλήψεται φύσιν;

5-21 cf Contra Eunom Vol I (Jaeger) p 235, 3-239, 11 12-13 Joh 1, 3 14-15 Isai 66, 2; cf Act 7, 50 16-18 cf De mortuis 513 A-D (Migne), fort contra Aristot De partt anim A 5, p 644 b 22-645 a 4

ER^a ΛYSΘ Σ PVT CN Syr 1 διὰ: ἀπὸ P(sscr διὰ)T Syr LXX ἐχώρη Σ ἡ om E(sscr E^2) πενία: δύναμις ER^{a}v 2 ἀόρατον Σ ante ἐν add δ' NC(eras) ἑαυτὴν N 3 ante μου eras 1 litt P αὐτῷ T 4 σημαίνει coll ante ἐπὶ ER^{a}Σv 5 ἅπασα PVCN αὐτοῖς N 6 τῶν om V(ins V^2 ut vid) θείας om SΘ 7 ὧν: ὡς P ὑπερκειμένης Y 7-8 τῆς— δυνάμεως om v 8 ἀναχώρητον P 9 αὐτῆς V ἑρμηνεύει coll ante 8 τῆς T 11 ὁ prom V τε om ER^{a}Tv 12 τῷ εὐαγγελίῳ: αὐτῷ Syr 14 ὅτι om ER^{a}v ante ἡ add οὐχὶ (scil sec Act 7, 50) Syr 15 πάντα om T ante τῆς add τὰ v ἔργον V 16 τὰ: τοῦ N ζιτικὴ R^a ζωτικὴ P 17 ὁ pr om PVTCN οὐρανός: ἄνθρωπός Nv ἐστιν coll ante ὁ pr ΛY ἢ om SΘ ὁ alt om V 18 ante ἐν eras 1 vel 2 litt E ἐν om V 20 λαβεῖν V πῶς: πρὸς NC(corr C^2)

Τάχα δέ τις καὶ ἄλλως μεταλαβὼν τὰ τῶν εἰρημένων αἰνίγματα οὐκ ἔξω τοῦ εἰκότος προάξει τὴν θεωρίαν· οἶμαι γὰρ οἶκον νοεῖσθαι τῆς νύμφης πᾶσαν τὴν ἀνθρωπίνην ζωήν, ταύτῃ δὲ τὴν χεῖρα τὴν πάντων τῶν ὄντων ποιητικὴν ἐνδημήσασαν πρὸς τὸ βραχύ τε καὶ οὐτιδανὸν τοῦ ἀνθρωπίνου βίου ἑαυτὴν συστεῖλαι διὰ τοῦ μετασχεῖν τῆς φύσεως ἡμῶν Κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας, ἐν ἡμῖν δὲ γενομένην θρόησιν ἐμποιῆσαι καὶ ξενισμὸν ταῖς ψυχαῖς· πῶς ὁ θεὸς ἐν σαρκὶ φανεροῦται; πῶς ὁ λόγος γίνεται σάρξ; πῶς ἐν παρθενίᾳ τόκος καὶ ἐν μητρὶ παρθενία; πῶς τῷ
1013 M. σκότει τὸ φῶς καταμίγνυται καὶ τῷ θανάτῳ ἡ ζωὴ κατακίρναται; πῶς χωρεῖ ἡ βραχεῖα τοῦ βίου τρυμαλιὰ τὴν περιεκτικὴν πάντων τῶν ὄντων χεῖρα ἐν ἑαυτῇ δέξασθαι, ᾗ πᾶς ὁ οὐρανὸς ἐκμετρεῖται καὶ ἡ γῆ πᾶσα καὶ τὸ ὕδωρ ἅπαν ἐμπεριέχεται; εἰκὸς τοίνυν τὴν τοῦ εὐαγγελίου χάριν διὰ τοῦ τῆς χειρὸς αἰνίγματος προφητικῶς ἡμῖν ὑπὸ τῆς νύμφης διασημαίνεσθαι· ὅτε γὰρ ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη ὁ κύριος, τὸ καθαρόν τε καὶ ἄϋλον τοῦ νυμφίου κάλλος καὶ τὴν τοῦ λόγου θεότητα καὶ τὴν τοῦ ἀληθινοῦ φωτὸς λαμπηδόνα διὰ τῆς τῶν ἐνεργειῶν χειρὸς ἐγνωρίσαμεν· χεῖρα γὰρ νοοῦμεν τὴν τῶν θαυμάτων ἀπεργαστικὴν αὐτοῦ δύναμιν,

7 Hebr 4, 15 9 cf I Tim 3, 16; cf Joh 1, 14 10 cf Luc 1, 34 11 cf Joh 1, 5; Luc 1, 79; II Cor 4, 6; cf Rom 6, 5; Joh 5, 24; II Cor 4, 10-11 12-13 cf Ps 94, 4 14 cf Isai 40, 12

ER^a ΛYSΘ Σ PVT CN Syr 1 ἄλλος N (ut vid) τῶν εἰρημένων om P(post τὰ sscr notam //) 2 προσάξει ER^av παρέξει V οἶμαι: οἱ μὲν NC(corr οἶμαι μὲν C^2) εἰ μὲν P 3 τῆς νύμφης νοήσεις (scil de coniect sua)P 4 ζωήν om R^a ταύτῃ ΛYSΘC Syr: ταύτην cett v τὴν utrumque: τῇ Λ(corr $Λ^2$)Y πάντων om v τῶν om Y ποιητικῇ Y 4-5 ἐνδευμητικὴν ποιητικὴν N(ευ inc) 6 τοῦ: τὸ Θ 7 κατὰ πάντα: καὶ πάντα τὰ V δὲ om V 8 γενομένου V ἐποίησε V 9 ὁ pr ER^aΣv: om cett 10 ἐν παρθενίᾳ: ἐκ παρθένου P καὶ—παρθενία om PVCNv τῷ: ἐν CN 11 τὸ om V καὶ: πῶς Syr 11-12 κατακιρνᾶται v 13 τῶν ὄντων ἁπάντων V ὁ om PVCN 14 ἐμμετρεῖται P ἅπαν om SΘ 15 ante τοῦ pr add διὰ Θ Syr 16 ὑπὸ: διὰ SΘ 17 ὅτϊ T 18 ante τὸ add τότε Syr 21 κατεργαστικὴν ER^av αὐτοῦ(sic) P om V(sscr m fort pr) coll post δύναμιν ΛY

δι' ἧς ἐζωοποιοῦντο μὲν οἱ νεκροὶ καὶ τῶν τυφλῶν αἱ ὄψεις ἀποκαθίσταντο καὶ τὸ τῆς λέπρας πάθος ἐφυγαδεύετο καὶ πᾶν εἶδος ἀνιάτου καὶ χαλεπῆς ἀρρωστίας ἀπεχώρει τῶν σωμάτων διὰ προστάγματος.

Προτεθείσης δὲ ἡμῖν τῆς διπλῆς ταύτης ἐπὶ τῇ χειρὶ θεωρίας, ὧν ἡ μὲν ὑποτίθεται τὴν θείαν φύσιν ἀκατάληπτον οὖσαν παντελῶς καὶ ἀνείκαστον διὰ μόνης τῆς ἐνεργείας γινώσκεσθαι, ἡ δὲ τὴν εὐαγγελικὴν χάριν προαναφωνεῖσθαι λέγει διὰ τῶν λόγων τούτων ὑπὸ τῆς νύμφης, ἐπὶ τῷ ἀκροατῇ ποιησόμεθα τὴν προσφυεστέραν τε καὶ μᾶλλον τοῖς ὑποκειμένοις ἁρμόζουσαν πρὸ τῆς ἑτέρας ἐκλέξασθαι. πλὴν ὅτιπερ ἂν νομισθῇ ψυχωφελέστερον εἶναι, γένοιτο ἂν ἡμῖν δι' ἑκατέρου τῶν εἰρημένων αὐτάρκης ἡ πρὸς τὸ ἀγαθὸν ὁδηγία· ἐκ μὲν γὰρ τοῦ γνῶναι, ὅτι τοῦ θεοῦ τὸ γνωστὸν κατὰ τὴν τοῦ Παύλου φωνὴν διὰ τῆς τοῦ κόσμου κτίσεως νοούμενον καθορᾶται, τῆς περὶ τῶν ἀκαταλήπτων πολυπραγμοσύνης φεισόμεθα, ὡς ἂν μὴ διὰ τοῦ φυσιολογεῖσθαι τὴν ἀνέφικτόν τε καὶ ἀνεκφώνητον φύσιν ὕλην λάβοι κατὰ τῆς ἀληθείας ἡ αἵρεσις· εἰ δὲ πρὸς τὸ εὐαγγέλιον βλέπειν τὸ αἴνιγμα τῆς χειρὸς ὑποθώμεθα, καὶ οὕτω βεβαιοτέρα ἡμῖν τῶν μυστικῶν δογμάτων ἡ πίστις γενήσεται διὰ

1 cf Matth 9, 18-30 parall; Joh 11, 11-44 2 cf Matth 8, 1-4 parall 14-16 cf Rom 1, 20

ER^a ΛYSΘ Σ PVT CN Syr 1 μὲν eras E om R^av τῶν om T τυφλῶν: πηρῶν PC(fort, eras et corr C^2) evan N 2 ἀπεκαθίσταντο ΛYPC evan N καὶ—ἐφυγαδεύετο om SΘ 3 ἅπαν V ἀνίατον(om καὶ alt)V 5 προστεθείσης Λ(corr $Λ^2$)YN(fort) ἐπὶ: ἐν C 6 ὑπετίθετο N 8 εὐαγγελικὴν: διὰ τοῦ εὐαγγελίου Syr 9 τούτων: τῶν V(corr V^2) evan N om v ἐπὶ: ὑπὸ T 10 ποιησώμεθα R^aPTN προφυεστέραν S(corr S^2)ΘP 11 προειρημένοις Syr πρὸς N τῆς om ER^av 12 νομισθῆναι Σ 15 τοῦ pr om ER^av διὰ: ἀπὸ v 16 τῶν om T 17 φεισώμεθα E(corr E^2)ΘP τοῦ: τοῦτο R^a τοῦ μὴ Θ τὸ C 17-18 φιλολογεῖσθαι T 18 λάβῃ T 19 εἰ codd v: ἐὰν Jaeger, sed cf exempla apud Liddell-Scott: εἰ B II 20 βλέπει S(corr S^1)Θ βλέπον v 21 ἡ(μῖν)corr ε ν Σ μυστικῶν: . . . θῶν N(litt ante θ evan) ἡ πίστις om P

τῆς προαναφωνήσεως τῶν δογμάτων προσλαβοῦσα τὸ ἀναμφίβολον, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Λόγος ιβʹ

Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου, (5, 5)
<αἱ> χεῖρές μου ἔσταξαν σμύρναν,
οἱ δάκτυλοί μου σμύρναν πλήρη.
ἐπὶ χεῖρας τοῦ κλείθρου
Ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου, (6)
ἀδελφιδός μου παρῆλθεν,
ἡ ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ.
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν,
ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου.
Εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει, (7)
ἐπάταξάν με, ἐτραυμάτισάν με,
ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ οἱ φύλακες τῶν τειχέων.

Οἱ τὴν διαπόντιον ἀποδημίαν κατ' ἐλπίδα πλούτου στελλόμενοι, ὅταν ἤδη τὴν ὁλκάδα τοῦ λιμένος ἀποσαλεύσωσι

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 προλαβοῦσα PV evan N 2 ἀμφίβολον N ἀναμφίλογον Σ post Ἰησοῦ add τῷ κυρίῳ ἡμῶν SV Syr ᾧ—αἰῶνας om S post δόξα add καὶ τὸ κράτος ΛYΘΣΤ post αἰῶνας add τῶν αἰώνων ΣPCN 3 post ἀμήν add τέλος ι· Θ^{2} (alt num legi nequit) add in marg τέλος ἐνταῦθα ἐστιν N^{2} (scil respiciens ad p 315, 3-14) add ἐτελειώθη λόγος δωδέκατος Syr 4 λόγος ΙΒ ΛYΣ^{2}(in marg sup)VTN: ΪΒ Θ(in marg post lemma) ιᾱ C^{2}(in marg) λόγος τρίτος καὶ δέκατος Syr ὁμιλία ΙΒ Sv τοῦ αὐτοῦ ὁμιλία ΙΒ ER^{a} τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος ϊβ Σ om tit PC 5 post ἐγὼ add τοῦ T 6 αἱ (cf infra p 347, 12) supplevi: καὶ Syr om codd v LXX σμύρνα N 7 οἱ(cf p 315, 5 et explic p 342, 11) ΣPVCN: om cett v LXX καὶ Syr (vel καὶ οἱ) 8 χεῖρας (cf p 315, 6 et explic 352, 12) Syr LXX: θύρα ΛY θύραν SΘ χεῖρα cett v κλείθρου: καιροῦ NC(corr C^{2}) 9 ἐγὼ ἤνοιξα Σ 10 ante ἀδελφιδός add καὶ Syr 11 ἡ om Σ LXX αὐτῷ P 12 ἐξεζήτησα T 14 τὴν πόλιν (om ἐν)T 15 post με pr add καὶ Syr post με alt iterat 14 οἱ φύλακες—15 ἐτραυμάτισάν με Λ 16 post θέριστρόν add μου ΛY Syr LXX, at cf explic p 359, 10 τειχῶν T post τειχέων add μου ΛY 18 ποιούμενοι Σ(in marg sup γρ στελλόμενοι Σ^{2}) ἤδη: ἴδωσι ΛYSΘ ἀποσαλεύωσιν C(corr C^{2}) evan N ἀποσαλεύουσιν Σ ἀποσαλεύουσαν ΛYSΘ

καὶ πρὸς τὸ πέλαγος στρέψῃ διὰ τῶν πηδαλίων τὴν πρῴραν
1016 M. ὁ τῶν οἰάκων ὑπερκαθήμενος, εὐχὴν ποιοῦνται τῆς ναυτιλίας προοίμιον θεὸν γενέσθαι καθηγεμόνα σφίσι τῆς εὐπλοίας αἰτούμενοι. τὸ δὲ κεφάλαιόν ἐστιν αὐτοῖς τῆς εὐχῆς πνεῦμα προσηνές τε καὶ πλόϊμον ἐμπεσεῖν τῷ ἱστίῳ πρὸς τὸν σκοπὸν τοῦ κυβερνήτου, κατὰ πρύμναν ἱστάμενον· οὗ καταθυμίως αὐτοῖς ἐπιπνέοντος ἡδεῖα μὲν ἡ θάλασσα γίνεται τοῖς ἠρεμαίοις κύμασι γλαφυρῶς ὑποφρίσσουσα, ἄλυπα δὲ τοῦ πελάγους τὰ πλάτη δι' εὐκολίας τῆς νεὼς ἐφιπταμένης καὶ ἐπολισθαινούσης τοῖς ὕδασι, πρὸ ὀφθαλμῶν δὲ ὁ πλοῦτος ὁ διὰ τῆς ἐμπορίας αὐτοῖς ἐλπιζόμενος ἤδη τῆς εὐπλοίας ἐγγυωμένης καὶ πρὸ τῆς πείρας τὴν εὐπορίαν. ἀλλὰ πρὸς ὅ τι βλέπων ἐντεῦθεν προοιμιάζομαι, δῆλον πάντως ἐστὶ τοῖς εὐμαθεστέροις τῶν ἀκροατῶν τὸ τῷ σκοπῷ τοῦ προοιμίου προκείμενον· μέγα πρόκειται τῷ λόγῳ τὸ πέλαγος τῆς τῶν θείων ῥητῶν θεωρίας, πολὺς δὲ διὰ τῆς ναυτιλίας ταύτης ὁ τῆς γνώσεως πλοῦτος ἐλπίζεται, ἡ δὲ ἔμψυχος αὕτη ναῦς, ἡ ἐκκλησία, ἐν παντὶ τῷ ἰδίῳ πληρώματι πρὸς τὸν πλοῦν τῆς ἐξηγήσεως βλέπει μετέωρος.

4-p 342, 8 cf Method Conv VII 1 p 70, 19-71, 6 15-16 cf ex. gr. Plat Resp 453 d

ER^{a} ΛYSΘ Σ PVT CN Syr 1 στρέψῃ ER^{a}v Syr: τρέψῃ ΛYSΘT τρέψει ΣC(corr τρέψωσι C^{2})N τρέψειεν P(corr ει ex η) στρέψωσι V 2 et οἱ et ὑπερκαθήμενοι PVCN ποιεῖται Y 3 γίνεσθαι v σφίσι: φησι ER^{a}PC(corr φασι C^{2})N φασι v 4 αὐτοῖς coll ante ἐστὶν Σ om CN 5 πλώϊμον VTN 6 ἱσταμένου v intellege ἱστάμενον τὸ πνεῦμα, cf ex. gr. Thucyd 2, 97 8 εἰρηναίοις PVCN ἐπιφρίσσουσα EΛ^{2}(ex ὑπο-)v ἐπισφρίσσουσα R^{a} ἐπαφρίζουσα T 9 ἄλυπα: λοιπὰ C(corr C^{2}) evan N τὰ πλάτη τοῦ πελάγους ΛY νεῶς ΛYSΘ νηὸς cett v 10 ante ἐφιπταμένοις (sic) add δ' C (eras et corr C^{2})N(fort, evan) ἐπολισθαινούσης Σ(-θεν-)T Syr: ἀπολισθαινούσης ER^{a}v καὶ ἐπολ. om cett (sscr καὶ ἀπολ. Λ^{2}) 11 ὁ alt om Λ(sscr Λ^{2})YSΘ αὐτῆς v 12 εὐπνοίας E(ut vid, corr E^{2}) ἐγνωμένης v ἐμπορίαν SΘV 12-13 τὴν—προοιμιάζομαι om v 14 τὸ om V 16 post δὲ add ὁ T 18 ναῦς: νοῦς P(sscr αῦς) ἡ alt om v ἐν: σὺν SΘ(συμ)Syr, fort recte παντὶ: τὶ R^{a} τῷ ἰδίῳ om PVCN 19 πλοῦν ΛY Syr: σκοπὸν SΘ πλοῦτον cett v

ἀλλ᾿ οὐ πρότερον ἅπτεται τῶν οἰάκων ὁ κυβερνήτης λόγος, πρὶν ἂν ἐκ κοινοῦ γένηται τοῦ πληρώματος τῆς νεὼς πρὸς τὸν θεὸν ἡ εὐχή, ὡς ἐπιπνεῦσαί τε ἡμῖν τὴν τοῦ ἁγίου πνεύματος δύναμιν καὶ ἀνακινῆσαι τῶν νοημάτων τὰ κύματα καὶ δι᾿ αὐτῶν εὐπλοοῦντα προαγαγεῖν δι᾿ εὐθείας τὸν λόγον, ἵνα οὕτω πελάγιοι διὰ τῆς θεωρίας γενόμενοι τὸν τῆς γνώσεως πλοῦτον ἐμπορευσώμεθα, εἴπερ ἔλθοι διὰ τῶν εὐχῶν ὑμῶν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τὸν λόγον πλησίστιον.

Ἀρχὴ δὲ γενέσθω τοῦ λόγου τῶν θεοπνεύστων ῥημάτων ἡ μνήμη ἐπὶ λέξεως ἔχουσα οὕτως· Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου· <αἱ> χεῖρές μου ἔσταξαν σμύρναν, οἱ δάκτυλοί μου σμύρναν πλήρη. ὅτι μὲν οὖν οὐκ ἔστιν ἄλλως ἐν ἡμῖν γενέσθαι τὸν ζῶντα λόγον (τὸν καθαρὸν λέγω καὶ ἀσώματον νυμφίον τὸν δι᾿ ἀφθαρσίας καὶ ἁγιότητος ἑαυτῷ τὴν ψυχὴν συνοικίζοντα), εἰ μή τις διὰ τοῦ νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς περιέλοιτο τὸ τῆς σαρκὸς παραπέτασμα καὶ οὕτως

1-5 sqq cf De virgin p 341, 3-5 (Vol VIII 1 Jaeger) 8 cf Odyss λ 7 = μ 149 (πλησίστιον) 10-12 Cant 5, 5 15-16 cf Col 3, 5 16 cf II Cor 3, 16; cf De Meletio p 861 B (Migne)

ER^a ΛYSΘ Σ PVT CN(inde a 7 εἴπερ deficit) Syr 1 ante λόγος add ὁ PE(ut vid, eras) 2 πρὶν: πλὴν N(ut vid) ἂν om v νεὼς ΛYSΘ νηὸς cett v 2-3 πρὸς τὸν θεὸν om v 3 ἡ om ΣVC sciss N ὥστε V ἐπιπνεῦσαί τε: ἐπιπνεύσεται YΛ (corr $Λ^2$) τε om P τὴν: τῇ R^a ante τοῦ add διὰ V 4 ἀνακαινίσαι ΘTC post τῶν add πνευματικῶν Σ 5 εὐπλοῦντα R^a(post -α eras 1 litt)P(sed corr)C(corr εὐπνοοῦντα C^2) .... ωοῦντα N(init evan) εὐπνοοῦντα v τὸν λόγον coll ante δι᾿ P 6 πελάγιοι coll post θεωρίας Σ διὰ τῆς: δι᾿ αὐτῆς T 7 πλοῦτον: λόγον P ἔλθῃ P 7-8 εἴπερ—πλησίστιον om V 8 ἡμῶν R^aS(sed corr) πλησίστιον ΛYSΘ: καὶ πλήσει τὸ ἱστίον ER^av(πλήσῃ) καὶ πλῆρες τὸ ἱστίον γένοιτο T om ΣPC de paraphr Syr non liquet 9 γενέσθαι R^a(sed corr)C(corr C^2) τοῦ λόγου γενέσθω T λόγου: πλοῦ ἡμῶν Syr conieci πλοῦ ἡμῖν, cf 10 Σ 10 ante ἡ add ἡμῖν Σ 11 αἱ supplevi (cf p 347, 12): καὶ Syr om codd v LXX οἱ: καὶ Syr 11-12 οἱ—σμύρναν om ER^a 12 οὖν om ER^aΘv ἄλλως coll post ἡμῖν ER^av 13 ἀσώματον: ἀσήμαντον ER^av ἅγιον Syr 14 νυμφίον coll ante 13 καὶ ΛY 15 τοῦ: τὸ V 16 περιέλοιτο (cf supra p 333, 3)Tv Syr: περιέλοι cett παρα(πέ)τ(ασμα) ex corr R^a καταπέτασμα SΘ

ἀνοίξοι τῷ λόγῳ τὴν θύραν, δι᾿ ἧς εἰς τὴν ψυχὴν εἰσοικίζεται, δῆλόν ἐστιν οὐ μόνον ἐκ τῶν θείων τοῦ ἀποστόλου δογμάτων ἀλλὰ καὶ ἐκ τῶν νῦν εἰρημένων παρὰ τῆς νύμφης· Ἀνέστην γάρ, φησίν, ἀνοῖξαι τῷ ἀδελφιδῷ μου διὰ τοῦ ποιῆσαι τὰς χεῖράς μου τῆς σμύρνης πηγὰς ἀφ᾿ ἑαυτῶν ῥεούσας τὸ ἄρωμα καὶ πλήρωμα τῶν δακτύλων δεῖξαι τὴν σμύρναν. τὸν γὰρ τρόπον, δι᾿ οὗ ἀνοίγεται τῷ νυμφίῳ ἡ θύρα, φησὶ διὰ τῶν εἰρημένων ὅτι διὰ τοῦ Συνταφῆναι αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον ἀνέστην· οὐ γὰρ ἂν ἐνήργησεν ἡ ἀνάστασις μὴ προκαθηγησαμένης τῆς ἑκουσίου νεκρότητος. ἐνδείκνυται δὲ τὸ ἑκούσιον ἡ ἐκ τῶν χειρῶν αὐτῆς ἀπορρέουσα τῆς σμύρνης σταγὼν καὶ τὸ πεπληρῶσθαι τοὺς δακτύλους αὐτῆς τοῦ ἀρώματος τούτου· οὐ γὰρ ἑτέρωθεν ἐγγενέσθαι τῇ χειρὶ λέγει τὴν σμύρναν (ἢ γὰρ ἂν ἐνομίσθη διὰ τούτου περιστατικὸν αὐτῇ καὶ ἀκούσιον συμβῆναι τὸ διὰ τῆς σμύρνης δηλούμενον), ἀλλ᾿ αὐτάς φησι τὰς χεῖρας (σημαίνει δὲ διὰ τῶν

5 sqq cf Ambros De Isaac (= Origen Comm) 6, 52, p 675, 20: '.. anima ... quae surgere iubebatur ait, cum aloen redoleret et murram, insignia sepulturae...'; cf supra p 189, 2-10; cf Joh 19, 39 8-9 Rom 6,4; cf Ambros l.l. p 677, 21: 'talis enim debet esse anima, quae verbum est receptura, ut moriatur mundo et consepeliatur in Christo' 10 cf Ambros l.l. p 677, 15: 'et in hoc ipso processus eius significatur, quod surrexit per vigorem atque virtutem'. 13 at Origen (cf Ambros l.l. p 677, 10): 'praesentia enim verbi hausit anima virtutem'; cf W. Jaeger 'Gregory of Nyssa and Macarius' (Leiden 1954) p 103-109 15 cf Aristot Eth Nic Γ1, p 1110 a 1-4 16 sqq cf Ambros l.l. p 677, 23 sqq: 'deinde ipsa ministeria operationum, id est manus et digiti .... mortificantur, quos digitos velut eminentia factorum nostrorum opera possumus aestimare'.

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἀνοίξοι $R^a$$E^2$(-οι corr in ras)v: ἀνοίξει SΘPVT ἀνοίξῃ ΛYΣ ἀνύξῃ C τῷ λόγῳ: αὐτῷ Syr εἰς om P συνοικίζεται SΘ 3 καὶ om v ἐκ om T ἀνέστη R^a 4 γάρ om PVC τοῦ: τὸ PC 5 τῆς om SΘ τῇ σμύρνῃ R^aΣPVC(corr C^2) 6 post καὶ add διὰ τοῦ Syr τῶν om Σ τὴν om PVC 8 τοῦ pr: τὸ ER^aPVv 9 βαπτισμοῦ ER^av εἰς τὸν θάνατον om V ἀνέστημεν V ἂν om E (adscr E^2) 11 ἡ om Λ(sscr $Λ^2$)Y coll post αὐτῆς SΘ 14 λέγει coll ante τῇ ΛYSΘ τὴν om PVC ἢ ΛY ἡ Σ διὰ τούτου om Θ τοῦτο ΛYS 15 τὸ om C(sscr m fort pr) 16 ἀλλ᾿ om V

1017 M. χειρῶν τὰς ἐνεργητικὰς τῆς ψυχῆς κινήσεις) ἀφ' ἑαυτῶν στάξαι τὴν σμύρναν, τὴν οἴκοθεν ἐκ προαιρέσεως τῶν σωματικῶν παθημάτων γινομένην νέκρωσιν διὰ τούτου σημαίνων, ἣν ἐν πᾶσι τοῖς δακτύλοις πεπληρῶσθαι λέγει, τὰ καθ' ἕκαστον εἴδη τὰ διῃρημένως δι' ἀρετῆς σπουδαζόμενα τῷ τῶν δακτύλων διερμηνεύων ὀνόματι· ὡς εἶναι πάντα τὸν νοῦν τῶν λεγομένων τοιοῦτον, ὅτι ἔλαβον δύναμιν ἀναστάσεως διὰ τοῦ νεκρῶσαι τὰ μέλη μου τὰ ἐπὶ τῆς γῆς ἑκουσίως μοι τῆς τῶν τοιούτων μελῶν ἐνεργηθείσης νεκρώσεως, οὐ παρ' ἄλλου ταῖς χερσὶν ἐντεθείσης τῆς σμύρνης ἀλλ' ἐκ τῆς ἐμῆς προαιρέσεως ἀπορρεούσης, ὡς καὶ πᾶσι τοῖς κατ' ἀρετὴν ἐπιτηδεύμασιν, ἅπερ δακτύλους ὠνόμασεν, ἀνελλιπῆ τὴν τοιαύτην ἐνορᾶσθαι διάθεσιν· ἔστι γὰρ ἐπὶ τῶν ἀτελῶς τὴν ἀρετὴν μετιόντων ἰδεῖν ἐνὶ μὲν αὐτούς τινι τεθνεῶτας πάθει ἐν ἑτέροις δὲ ζῶντας, καθάπερ ὁρῶμέν τινας νεκροῦντας μὲν ἐν ἑαυτοῖς τὸ ἀκόλαστον, ἂν οὕτω τύχῃ, τρέφοντας δὲ δι' ἐπιμελείας τὸν τῦφον ἢ ἕτερόν τι πάθος τὸ τῇ ψυχῇ λυμαινόμενον, οἷον τὸ φιλοχρήματον ἢ τὸ ὀργίλον ἢ τὸ φιλόδοξον ἢ ἄλλο τι τοιοῦτον, οὗ κακῶς ἐν τῇ ψυχῇ ζῶντος οὐκ ἔστι

7-8 cf Col 3, 5

ER^a ΛΥSΘ Σ PVT C Syr 1 τῆς ψυχῆς: τῶν χειρῶν V ante ἀφ' add τὸ P 3 παθημάτων om v γενομένην SΘ τοῦτο E(corr E^2) τούτων SΘ ἣν: τὴν ER^av 4 πεπληρωμένην R^aE^2(ex -ῶσθαι)v post λέγει add δὲ R^aE^2(sscr)v 5 διειρημένως VC(corr C^2) δι': διὰ τῆς SΘ super δι' ἀρετῆς sscr δι' αὐτῆς P τῷ: τὸ C(corr C^2) 6 τὸν om SΘ 7 τοῦ: τὸ V post νεκρῶσαι add με V 8 μου τὰ μέλη ΣT τοιούτων om PVC Syr 8-9 τῶν μελῶν τῶν τοιούτων ER^av 9 ἐνηργηθείσης Vv 9-11 ταῖς—ἀπορρεούσης om Syr 10 τῆς pr om R^a(sscr R^{a2}) 11 καὶ om Syr 12 τὴν om E(sscr E^2) ὁρᾶσθαι ER^aTΘ(sscr ἐν $Θ^1$)v 13 ἀτελῶς om v 14 τινι coll post πάθει T ἐν om Syr 15 ἐν om ER^aTCv 16 τὸ ἀκόλαστον coll ante 15 ἐν Σ ἂν οὕτω τύχῃ om Syr τύχῃ ΛΥSΘP(sscr οι): τύχοι cett v στρέφοντας S(ut vid) 17 ἢ om E(ins E^2)C(sscr C^2) τὴν ψυχὴν ER^aΘΣPv grammatici Attici praeferebant dativum, cf Schol Aristoph Nub 925 18 οἷον: ἢ T post τὸ tert add φιλόχρηστον καὶ v 19 τι om v κακῶς om Syr

πλήρεις τοὺς δακτύλους ἐπιδεῖξαι τῆς σμύρνης· οὐ γὰρ διὰ πάντων φαίνεται τῶν ἐπιτηδευμάτων ἡ τοῦ κακοῦ νέκρωσίς τε καὶ ἀλλοτρίωσις, πάντων δὲ πληρωθέντων τῶν τοιούτων δακτύλων τῆς νοηθείσης σμύρνης καὶ ἀνίσταται ἡ ψυχὴ καὶ ἀνοίγει τῷ νυμφίῳ τὴν εἴσοδον. διὰ τοῦτο τάχα καὶ ὁ μέγας Παῦλος καλῶς νοήσας τὴν τοῦ δεσπότου φωνὴν ἥ φησιν ὅτι οὐκ ἔστι φυῆναι στάχυν, ἐὰν μὴ προδιαλυθῇ τῷ θανάτῳ ὁ κόκκος, τοῦτο κηρύσσει τῇ ἐκκλησίᾳ τὸ δόγμα ὅτι χρὴ θάνατον τῆς ζωῆς καθηγήσασθαι, ὡς οὐκ ἐνδεχόμενον ἄλλως ἐν ἀνθρώπῳ τὴν ζωὴν γενέσθαι, εἰ μὴ διὰ θανάτου λάβοι τὴν πάροδον· διπλῆς γὰρ ἐν ἡμῖν οὔσης τῆς φύσεως, τῆς μὲν λεπτῆς τε καὶ νοερᾶς καὶ κούφης, τῆς δὲ παχείας καὶ ὑλικῆς καὶ βαρείας, ἀνάγκη πᾶσα ἀσύμβατον πρὸς τὴν ἑτέραν ἐν ἑκατέρᾳ τούτων τὴν ὁρμὴν εἶναι καὶ ἰδιάζουσαν· τὸ μὲν γὰρ νοερόν τε καὶ κοῦφον οἰκείαν ἔχει τὴν ἐπὶ τὸ ἄνω φοράν, τὸ δὲ βαρὺ καὶ ὑλῶδες ἀεὶ πρὸς τὸ κάτω ῥέπει καὶ φέρεται. ἐξ ἐναντίου τοίνυν γινομένης αὐτοῖς φυσικῶς τῆς κινήσεως οὐκ ἔστιν εὐοδωθῆναι τὸ ἕτερον μὴ ἀτονήσαντος τοῦ ἄλλου πρὸς τὴν κατὰ φύσιν φοράν. μέση δὲ ἀμφοῖν ἑστῶσα ἡ αὐτεξούσιος ἡμῶν δύναμίς τε καὶ προαίρεσις δι' ἑαυτῆς ἐμποιεῖ καὶ τόνον τῷ κάμνοντι καὶ

7-8 cf Joh 12, 24 9 sqq cf I Cor 15, 36/7 et 42/3

ER^a ΛΥSΘ Σ PVT C Syr 1 πλήρεις: στάξαντας Syr ἐπιδεῖξαι: ἐπιστάξαι ΛΥ 2 φαίνεται om E(in marg add E^2) τῶν om v 2-3 ἡ—πληρωθέντων om Y 3 ἀλλοίωσις P δὲ: γὰρ Syr 3-4 τῶν τοιούτων coll post δὲ Σ 4 τοιούτων om PVC Syr νοηθείσης: τοιαύτης Syr καὶ om T 7 ἥ om T(sscr m ut vid pr) φύναι PC φῆναι V ἐὰν: εἰ PVC 8 κηρύσσων PC 9 τῆς ζωῆς om P καθηγήγασθαι R^a καθειργήσασθαι C(ut vid, corr προκαθηγήσασθαι C^2) 10 ἐνδεχομένης Σ ἀνθρώποις Σ 11 post διὰ add τοῦ Σ λάβῃ P(sscr οι) οὔσης ἐν ἡμῖν Σ 12 τε om V καὶ alt om V κούφου Y 13 καὶ alt om V 14 πρὸς τὴν ἑτέραν om V καὶ om C 15 οἰκίαν Σ 16 τὸ pr: τὰ ER^av τε καὶ P 17 ῥέπει: βλέπει T ἀπεναντίας V γινομένοις R^a γενομένης SΘ αὐτῆς P 19 μέσην YV(fort corr) μέσον Λ 20 ἀμφοῖς V ἀμφὺς C(ut vid, corr C^2) ἡ corr in ras E^2 τε om T 21 αὐτῆς ΛΥ

ἀτονίαν τῷ κατισχύοντι· ἐν ᾧ γὰρ ἂν γένηται μέρει, τούτῳ δίδωσι κατὰ τοῦ ἄλλου τὰ νικητήρια. οὕτως ἐν τῷ εὐαγγελίῳ ἐπαινεῖται μὲν ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος (οὗτος γάρ ἐστι κατά γε τὸν ἐμὸν λόγον ἡ καλῶς τῶν ἐν ἡμῖν ἐπιστατοῦσα προαίρεσις· ἐπαινεῖται γὰρ ὅτι τρέφει τὴν οἰκετείαν τοῦ δεσπότου διὰ τῆς τῶν ἐναντίων νεκρώσεως· ἡ γὰρ ἐκείνων φθορὰ τροφή τε καὶ εὐεξία τῶν κρειττόνων ἐστίν), κατηγορεῖται δὲ ὁ κακὸς δοῦλος ἐκεῖνος ὁ διὰ τοῦ τοῖς μεθύουσι συνεῖναι πληγαῖς αἰκιζόμενος τὴν τοῦ θεοῦ οἰκετείαν· πληγὴ γάρ ἐστιν ὡς ἀληθῶς κατὰ τῶν ἀρετῶν
1020 M. ἡ τῆς κακίας εὐημερία. οὐκοῦν καλῶς ἔχει τὸν προφητικὸν ζηλώσαντας λόγον πρωῒαν ἑαυτοῖς ποιεῖν διὰ τοῦ ἀποκτεῖναι Πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς τοῦ ἐξολεθρεῦσαι ἐκ πόλεως κυρίου (ψυχὴ δὲ ἡ πόλις) πάντας τοὺς λογισμοὺς τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ὧν ὁ ὄλεθρος ζωὴ γίνεται τῶν ἀμεινόνων. οὕτως οὖν διὰ τοῦ θανάτου ζῶμεν, ὅταν τῶν ἐν ἡμῖν, καθώς φησιν ὁ προφήτης, τὸ μὲν ἀποκτείνῃ τὸ δὲ ζωοποιήσῃ ὁ λόγος ὁ εἰπὼν ὅτι Ἐγὼ ἀποκτενῶ καὶ ζῆν

3 cf Matth 24, 45 ~ Luc 12, 42 8-9 cf Matth 24, 48/9 ~ Luc 12, 45 13-15 Ps 100, 8 18 Deut 32, 39

ER^a ΛYSΘ Σ PVT C Syr 1 τῷ: τὸ R^a ᾧ γὰρ: ὥπερ SΘ ἂν om v 2 διδ̃ S(διδοῦσα?) τοῦ om Θ οὗτος P post οὕτω add καὶ Syr 3 φρόνιμος καὶ πιστὸς V 4 γάρ: δὲ T γε om ΛYSΘV λόγον: μὴ Y de Λ non liquet, corr Λ vel Λ^2 τῶν: τοὺς V 5 ante ἐπαινεῖται eras 2 litt, ut vid δι' C ante γὰρ add μὲν SΘ 6 οἰκετείαν EΛVT(corr -τίαν E^{2}Λ^2): ἱκετείαν P οἰκετίαν cett v 7 τροφῷ ut vid C(corr C^2) 8 δὲ: γὰρ Syr τοῦ: τὸ ΣT 10 οἰκετείαν E(corr -τίαν E^2)ΛYPV: οἰκετίαν cett v ὡς ἀληθῶς ἐστι T ὡς om P 12 ζηλώσαντες SΘ ποιεῖ Y τοῦ: τὸ V 14-15 ψυχὴ—ἀνομίαν: πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν (scil hactenus ipsa verba Ps 100, 8)· ψυχὴ δὲ ἡ πόλις πάντας τοὺς λογισμοὺς τοὺς ἐργαζομένους τὴν ἀνομίαν ἀποκτένουσα (scil explicatio)T probatus est scriba ille cum sagax tum audax 14 τοὺς λογισμοὺς om S(in marg adnot ψαλμ ρ̑)Θ post λογισμοὺς add in marg ἀποκτίννουσα C^2 (scil de T) 15 ὁ om v 17 τῶν: τὸν V φησιν om T ἀποκτείνει ΛYC(corr Λ^{2}C^2) ἀποκτενεῖ T 17-18 utrumque τὸ: τὸν R^{a}E^2(e τὸ)v 18 ζωοποιήσει Λ(corr Λ^2)YΣTC ὁ λόγος om Syr ὁ alt om T ὅτι om ER^{a}ΣTv 18-347, 1 ζωοποιήσω v

ποιήσω, ὡς καὶ ὁ Παῦλος ἀποθανὼν ἔζη καὶ ἀσθενῶν ἴσχυε καὶ δεδεμένος ἐνήργει τὸν δρόμον καὶ πτωχεύων ἐπλούτιζε καὶ πάντα κατεῖχεν ἔχων οὐδέν, Πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ ἰδίῳ σώματι περιφέρων καὶ πάντοτε τὴν ζωὴν αὐτοῦ ἐν ἑαυτῷ φανερῶν.

Ἀλλ' ἐπὶ τὸ προτεθὲν ἐπανέλθωμεν· ὅτι διὰ θανάτου ἡ ψυχὴ ἐκ τοῦ θανάτου ἀνίσταται (ἐὰν γὰρ μὴ ἀποθάνῃ, νεκρὰ διὰ παντὸς μένει καὶ τῆς ζωῆς ἀπαράδεκτος· ἐκ δὲ τοῦ ἀποθανεῖν ἐν ζωῇ γίνεται πᾶσαν ἀποθεμένη νεκρότητα), καὶ τοῦτο ἡμῖν ἐκ τοῦ προκειμένου ῥητοῦ βεβαιοῦται τὸ δόγμα οὕτως εἰπούσης τῆς νύμφης ὅτι Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου· αἱ χεῖρές μου ἔσταξαν σμύρναν, οἱ δάκτυλοί μου σμύρναν πλήρη. θανάτου δὲ σύμβολον εἶναι τὴν σμύρναν οὐκ ἄν τις ἀμφιβάλοι τῶν ταῖς θείαις ὡμιληκότων γραφαῖς. πῶς οὖν ὁ θάνατος ἡμᾶς ἐκ τοῦ θανάτου ἀνίστησιν, ἐπιζητεῖν οἶμαί τινας τὸν περὶ τούτου λόγον εὐκρινηθῆναι σαφέστερον. ἐροῦμεν τοίνυν ὅπως ἂν οἷόν τε ᾖ τάξιν τινὰ δι' ἀκολουθίας ἐπιθέντες τῷ λόγῳ. πάντα ὅσα ἐποίησεν ὁ θεὸς καλὰ λίαν εἶναι ὁ τῆς κοσμογενείας λόγος μαρτύρεται. ἓν δὲ τῶν λίαν καλῶν ἦν καὶ ὁ ἄνθρωπος, μᾶλλον δὲ πλεῖον

1-3 cf II Cor 6, 9/10 1 cf II Cor 12, 10 2 cf Act 20, 22-24; II Tim 4, 6/7 3-5 II Cor 4, 10 14-15 praeter locos supra ad p 343, 5 laudatos cf Tatian l.l. XXXIX 7-17 = p 185 19 cf Gen 1, 31

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὁ om Σ ἴσχυσε P ἐνίσχυε ER^{a}v 3 μηδὲν ἔχων(scil sec II Cor 6, 10) T 4 τῷ om P ἰδίῳ om ER^{a}Sv 4-5 καὶ—φανερῶν om Vv 5 αὐτοῦ: αὐτῶ P ἑαυτῷ: αὐτῶ C φανερῶν ΛYSΘΣT Syr: περιφέρων ER^a φέρων PC 6 τῶ προτεθέντι PC(corr C^2)V(προστ.) post διὰ add τοῦ ΣP 7 ἐάν: κἂν V ὡς ἂν v 8 ἀπαράδεκτον C (corr C^2) 9 ἐν ζωῇ: ἡ ζωὴ SΘ ζωὴ PVC νέκρωσιν ΛYSΘ 12 αἱ: καὶ Syr om T LXX, at cf supra p 342, 11 et lemma οἱ: καὶ Syr 13 σμύρνης πλήρης Vv(πλήρεις) 14 ἀμφιβάλλοι Λ(corr Λ^2)YPVv 15 ὁ om Σ ἡμᾶς coll post θανάτου ER^{a}Σv 16 εὐκρινηθῆναι R^{a}ΘΣv: συγκριθῆναι T εὐκριθῆναι cett(corr E^{2}Λ^{2}S^{2}C^2) 18 δι' ἀκολουθίας: καὶ ἀκολουθίαν Syr 19 λίαν om P ἐμαρτύρησεν T ἓν: ἐκ v 20 ἦν coll ante καλῶν PVC om T πλέον V 20-348, 1 πλεῖον coll post ἄλλων ΛYSΘ(πλείω)

τῶν ἄλλων κεκοσμημένος τῷ κάλλει· τί γὰρ ἂν ἕτερον οὕτως εἴη καλὸν ὡς τὸ τοῦ ἀκηράτου κάλλους ὁμοίωμα; εἰ δὲ πάντα καλὰ λίαν, ἐν δὲ τοῖς πᾶσιν ἢ καὶ πρὸ πάντων ὁ ἄνθρωπος ἦν, οὐκ ἦν πάντως ἐν τῷ ἀνθρώπῳ ὁ θάνατος· οὐ γὰρ ἄν καλόν τι ὁ ἄνθρωπος ἦν, εἴπερ εἶχεν ἐν ἑαυτῷ τῆς τοῦ θανάτου κατηφείας τὸν σκυθρωπὸν χαρακτῆρα. ἀλλὰ τῆς ἀϊδίου ζωῆς ἀπεικόνισμα ὢν καὶ ὁμοίωμα καλὸς ἦν ὡς ἀληθῶς καὶ λίαν καλὸς τῷ φαιδρῷ τῆς ζωῆς χαρακτῆρι καλλωπιζόμενος. ἦν δὲ αὐτῷ καὶ ὁ θεῖος παράδεισος διὰ τῆς εὐκαρπίας τῶν δένδρων βρύων ζωήν, καὶ ἡ ἐντολὴ τοῦ θεοῦ ζωῆς ἦν νόμος τὸ μὴ ἀποθανεῖν παραγγέλλουσα. ὄντος δὲ κατὰ τὸ μέσον τῆς τοῦ παραδείσου φυτείας τοῦ τὴν ζωὴν βρύοντος ξύλου, τί ποτε χρὴ τὸ ξύλον νοεῖν ἐκεῖνο οὗ ὁ καρπὸς ἡ ζωή, καὶ τοῦ θανατηφόρου δὲ ξύλου, οὗ καλὸν ἅμα καὶ κακὸν εἶναι τὸν καρπὸν ἀποφαίνεται ὁ λόγος, καὶ

2 cf Gen 1, 26/7   4 cf Sap Sal 2, 23/4; cf Orat catech cap 6   5-8 cf Method De resurr I 34 p 271, 7 sqq: . . . τελευταῖον τὸν ἄνθρωπον, προετοιμάσας ὡς οἰκίαν αὐτῷ καλλίστην τὸ πᾶν, μίμημα τῆς ἰδίας εἰκόνος ἐμφερὲς εἰς τὸν κόσμον εἰσήγαγεν, ἄγαλμα ὡς ἐν ναῷ καλῷ φαιδρὸν ταῖς ἑαυτοῦ χερσὶ κατασκευάσας. ἠπίστατο γὰρ ὅτι πάντως, ὅπερ ἂν τῇ ἑαυτοῦ τεχνήσηται χειρί, ἐξ ἀνάγκης ἔσται ἀθάνατον, ἅτε ἀθανασίας ἔργον; cf ibidem p 274, 5 sqq   9-10 cf Gen 2, 9   10-11 cf Gen 2, 16/17   12 cf Gen 2, 9 et 3, 3   12-p 350, 7 cf supra p 10, 13-11, 4

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἄλλων: καλῶν ER^{a}v ἂν om PVC 2 ὡς τὸ: ὥστε P ὡς C(ins τὸ C^2) ante ὁμοίωμα add ἀπεικόνισμα καὶ Syr 3 δὲ pr: δὴ ER^{a}C δὲ τὰ P ἐν: ἓν PV Syr εἰ C(corr C^2) τοῖς πᾶσιν: τῶν πάντων Syr ἢ om ΛYSΘT Syr πάντων: ἁπάντων ER^{a}ΛYC, fort recte 5 τι καλὸν SΘ ἦν coll ante ὁ PVC 7 ἀϊδίου: πηγῆς τῆς Syr (interpr ut vid) ὢν: ἦν PC καλὸς: καλῶς Λ(corr Λ^2)Y ὡς καλὸς T καλὸς C(ut vid, corr ut vid καλονῆς C^2, corr καλὸς C^3) 8 καλὸς: καλῶς C(corr C^2) 9 ante αὐτῷ add καὶ v θεῖος: βίος Syr 10 δένδρων: ξύλων PVC 10-11 ἐντολὴ coll post θεοῦ ER^{a}Σv 11 θεοῦ om P 12 τοῦ pr om Λ(sscr Λ^2)Y 13 τί Syr: ὅ τι codd v τὸ ξύλον coll ante χρὴ Θ post νοεῖν Σ 14 ὁ om ΛYSΘΣT ἡ om ER^{a}v καὶ—ξύλου: ἢ καὶ τὸ ξύλον Syr οὗ alt: ὃ Syr 14-15 καλὸν εἶναι καὶ κακὸν ἅμα V 15 εἶναι om Θ τὸν καρπὸν coll post λόγος T om Syr ὁ λόγος om v

αὐτοῦ κατὰ τὸ μέσον ὄντος τοῦ παραδείσου, ἀδυνάτου δὲ ὄντος ἐν τῷ μεσαιτάτῳ τοῖς δύο ξύλοις χώραν γενέσθαι; ὁπότερον γὰρ ἂν δῶμεν ἐξ ἀμφωτέρων ἐπέχειν τὸ μέσον, κατὰ πᾶσαν ἀνάγκην τὸ ἕτερον τῆς τοῦ μέσου χώρας πάντως ἐξείργεται· πρὸς γὰρ τὸ περιέχον ἡ ἀκριβὴς τοῦ μέσου θέσις
1021 M. καταλαμβάνεται, ὅταν ἴσοις ἁπανταχόθεν τοῖς διαστήμασιν ἀπέχῃ τοῦ πέρατος. ἐπειδὰν τοίνυν ἓν δι' ἀκριβείας ᾖ τοῦ κύκλου τὸ μέσον, οὐκ ἂν γένοιτο μηχανὴ τοῦ αὐτοῦ μένοντος κύκλου δύο κέντρα κατὰ τὸ μέσον χώραν εὑρεῖν· εἰ γὰρ ἕτερον παρατεθείη κέντρον τῷ προλαβόντι, πρὸς τοῦτο κατ' ἀνάγκην συμμετατεθέντος τοῦ κύκλου ἔξω τοῦ μέσου τὸ πρότερον γίνεται τῆς τοῦ κύκλου περιοχῆς τῷ δευτέρῳ κέντρῳ περιγραφείσης. ἀλλὰ μὴν ἐν τῷ μέσῳ φησὶν εἶναι τοῦ παραδείσου καὶ τοῦτο καὶ τοῦτο, καίτοι ἐναντίως πρὸς ἄλληλα κατὰ τὴν δύναμιν ἔχοντα, τό τε ζωοποιὸν λέγω ξύλον καὶ οὗ θάνατος ἦν ὁ καρπός, ὅπερ ἁμαρτίαν ὁ Παῦλος ὠνόμασεν εἰπὼν ὅτι Καρπὸς ἁμαρτίας ὁ θάνατος. νοῆσαι ἄρα προσήκει διὰ τῆς τῶν εἰρημένων φιλοσοφίας τοῦτο τὸ δόγμα ὅτι τῆς μὲν τοῦ θεοῦ φυτείας τὸ μεσαίτατόν ἐστιν ἡ ζωή, ὁ δὲ θάνατος ἀφύτευτος καθ' ἑαυτόν ἐστι καὶ ἄρριζος ἰδίαν οὐδαμοῦ χώραν ἔχων, τῇ δὲ στερήσει τῆς ζωῆς

17 Rom 6, 23   20 cf Sap Sal 1, 13/14   20-21 cf ex. gr. Basilius Quod deus non est auct mal PG 31, p 345 A (Migne)

ER^a ΛYSΘ Σ PVT C Syr 1 τὸ om SΘT ὄντως R^a 2 δύο om v γίνεσθαι ΛYSΘ 3 ὁποτέρῳ V γὰρ om T 4 πάντως om T 5 περιέχον: πᾶσχον V 6 ἴσοις: ἱστὰς v τοῦ διαστήματος S 9 κέντρων T εὑρεῖν χώραν Σ 10 παραθείη v ante κέντρον add τὸ PC(corr τι C^2) τούτω P 11 ἀνάγκης R^a(sed corr) μετατεθέντος P τοῦ κύκλου om T 13 κέντρῳ ΛYΣv: κύκλω E(in marg κέντρω E^2)R^a(in marg κέντρω)SΘ om PVTC de paraphr Syr non liquet 14 καὶ pr om T καὶ τοῦτο alt PCv: κἀκεῖνο VT om cett ἐναντία PC(corr C^2) 15 ζωοποιοῦν T 16 ἦν om SΘ ὁ pr coll ante θάνατος v 16-17 ὠνόμασεν ὁ Παῦλος ER^{a}Tv 18 προσήκει coll post εἰρημένων ΛYSΘ 19 τοῦ om Λ(sscr Λ^1 ut vid) θείου T(eras ι) φυτείας: σοφίας C μεσώτατον ER^a 19-20 ζωὴ ἐστὶν (om ἡ)T 20 καθ' ἑαυτόν: ὑπὸ θεοῦ Syr om v ἐστι coll ante ἀφύτευτος ER^{a}Σv 21 ὁμοῦ Λ(in marg οὐδαμοῦ Λ^2)Y

ἐμφυτεύεται, ὅταν ἀργήσῃ τοῖς ζῶσιν ἡ μετουσία τοῦ κρείττονος. ἐπεὶ οὖν ἐν τῷ μέσῳ τῶν θείων φυτῶν ἐστιν ἡ ζωή, τῇ δὲ ἀποπτώσει ταύτης ἐνυφίσταται ἡ τοῦ θανάτου φύσις, διὰ τοῦτο καὶ τὸ θανατηφόρον ξύλον ὁ τὸ δόγμα τοῦτο δι' αἰνιγμάτων φιλοσοφήσας ἐν τῷ μέσῳ εἶναι τοῦ παραδείσου λέγει, οὗ τὸν καρπὸν εἶπε σύμμικτον ἔχειν ἐκ τῶν ἐναντίων τὴν δύναμιν· τὸ γὰρ αὐτὸ καλόν τε εἶναι ἅμα καὶ κακὸν διωρίσατο, τῆς ἁμαρτίας οἶμαι διὰ τούτου τὴν φύσιν ὑπαινιττόμενος. ἐπειδὴ γὰρ πάντων τῶν διὰ κακίας ἐνεργουμένων ἡδονή τις καθηγεῖται πάντως καὶ οὐκ ἔστιν εὑρεῖν ἁμαρτίαν ἡδονῆς διεζευγμένην, ὅσα τε διὰ θυμοῦ καὶ ὅσα δι' ἐπιθυμίας γίνεται πάθη, τούτου χάριν καὶ καλὸς ὁ καρπὸς ὀνομάζεται κατὰ τὴν ἡμαρτημένην τοῦ καλοῦ κρίσιν τοῖς τὸ καλὸν ἐν ἡδονῇ τιθεμένοις τοιοῦτος δοκῶν. πονηρὸς δὲ μετὰ ταῦτα τῇ πικρᾷ τῆς βρώσεως ἀναδόσει εὑρίσκεται κατὰ τὴν παροιμιώδη φωνὴν ἥ φησι Μέλι τῶν χειλέων τῆς κακίας ἀποστάζειν, ὃ πρὸς καιρὸν μὲν λιπαίνει τὸν φάρυγγα, μετὰ ταῦτα δὲ πικρότερον χολῆς τοῖς κακῶς γλυκανθεῖσιν εὑρίσκεται. ἐπειδὴ τοίνυν ἀποστὰς τῆς τῶν ἀγαθῶν παγκαρπίας ὁ ἄνθρωπος τοῦ φθοροποιοῦ καρποῦ διὰ τῆς παρακοῆς ἐνεπλήσθη (ὄνομα δὲ τοῦ καρποῦ τούτου ἡ θανατοποιὸς ἁμαρτία), εὐθὺς ἐνεκρώθη τῷ κρείττονι

1-2 cf supra p 56, 7-10 et adnotat; cf Origen De princ I 2, 4 p 31, 9 sqq: 'verum quoniam futurum erat ut etiam deciderent aliqui a vita et mortem sibi ipsi consciscerent ex eo ipso, quod a vita deciderent (non enim aliud est mors quam a vita discedere) . . .' 16-19 Prov 5, 3/4

ERª ΛYSΘ Σ PVT C Syr 1 ἐμπεφύτευται T ἀργὴ ἢ S 2 ἐπεί: ἐπειδὴ v θείων: δύο SΘ 3 ταύτῃ v 5 τοῦ π. εἶναι ΛYSΘ 6 εἶπε om Θ 7 ἅμα om v 8 διὰ τούτου coll post φύσιν V δι' αὐτοῦ ΛYSΘ 9 ὑπαινισσόμενος Σ γὰρ om v 10-11 ἁμαρτίαν εὑρεῖν SΘT 11 καὶ ὅσα: ὅσα τε Σ 12 καὶ om PVTC ὁ om Σ 14 e καλὸν corr κακὸν Θ (sscr λὸν Θ²) 15 τῆς: τῇ v 16 προοιμιώδη v 17 ἀποστάζει (scil sec Prov 5, 3) ΛYSΘVT Syr (add ὅτι post 16 φησι) 18 φάρυγα E (eras γ alt) ΘΣ δὲ ταῦτα T πικροτέρα V 19 γλυκανθεῖς Y 21 τῷ καρπῷ τούτῳ Σ (corr Σ²) 22 ἡ om Y (sed sscr) φθοροποιὸς V

βίῳ τὴν ἄλογον καὶ κτηνώδη ζωὴν τῆς θειοτέρας ἀνταλλαξάμενος. καὶ καταμιχθέντος ἅπαξ τοῦ θανάτου τῇ φύσει συνδιεξῆλθε ταῖς τῶν τικτομένων διαδοχαῖς ἡ νεκρότης. ὅθεν νεκρὸς ἡμᾶς διεδέξατο βίος αὐτῆς τρόπον τινὰ τῆς ζωῆς ἡμῶν ἀποθανούσης· νεκρὰ γὰρ ἄντικρύς ἐστιν ἡμῶν ἡ ζωὴ τῆς ἀθανασίας ἐστερημένη. διὰ τοῦτο ταῖς δύο ταύταις ζωαῖς μεσιτεύει ὁ Ἐν μέσῳ τῶν δύο ζωῶν γινωσκόμενος, ἵνα τῇ ἀναιρέσει τῆς χείρονος δῷ τῇ ἀκηράτῳ τὰ νικητήρια. ὥσπερ τοίνυν τῷ ἀποθανεῖν τῇ ἀληθινῇ ζωῇ ὁ ἄνθρωπος εἰς τὸν νεκρὸν τοῦτον μετέπεσε βίον, οὕτως ὅταν ἀποθάνῃ
1024 M. τῇ νεκρᾷ ταύτῃ καὶ κτηνώδει ζωῇ, πρὸς τὴν ἀεὶ ζῶσαν ἀντιμεθίσταται, ὡς ἀναμφίβολον εἶναι ὅτι οὐκ ἔστιν ἐν τῇ μακαρίᾳ γενέσθαι ζωῇ μὴ νεκρὸν τῇ ἁμαρτίᾳ γενόμενον. οὗ χάριν ἐν τῷ αὐτῷ κατὰ τὸ μέσον ἑκάτερον τῶν ξύλων εἶναι ὑπὸ τοῦ λόγου πεφιλοσόφηται ὡς τοῦ μὲν φύσει ὄντος, τοῦ δὲ ἐπιγινομένου τῷ ὄντι διὰ στερήσεως· ἐκ γὰρ τοῦ αὐτοῦ ἐπὶ τοῦ αὐτοῦ διὰ μετουσίας τε καὶ στερήσεως ἡ ἀντιμετάστασις γίνεται καὶ ζωῆς καὶ θανάτου ἐπειδὴ ὁ νεκρωθεὶς τῷ ἀγαθῷ ζῇ τῷ κακῷ καὶ ὁ νεκρὸς ἐν κακίᾳ

1 cf Origen De princ I 8, 4 p 102, 12-104, 13 2-6 cf Athanas De incarn verbi p 101 D-104 (PG 25, Migne); cf etiam Contra Eunom Vol II (Jaeger) p 365, 32-366, 14 7 Habac 3, 2 13 cf Rom 6, 11

ERª ΛYSΘ Σ PVT C Syr 1 θείας P 5 ἡμῶν alt coll ante ἐστιν ΛYSΘT post 6 ζωὴ C 6 post ζωὴ add ἡ ΛY 6-7 ζωαῖς ταύταις T 7 ante ὁ add κατὰ τὴν φωνὴν τοῦ μακαρίου Ἀμβακοὺμ Syr (scil interpr) τῶν: τὸν Rª om V intellege ὁ γινωσκόμενος θεός, cf loc laud 9 ὥσπερ: ὅπερ V τῷ Tv Syr: διὰ τὸ ΛYSΘΣ τὸ ERªPVC 10 post οὕτω add καὶ Syr 13 γενέσθαι coll ante 12 ἐν T ante μὴ add εἰ T 14 τό: τὸν Λ (corr Λ²) Y 15 post μὲν add ἐκεῖ v 16 ἐπιγενομένου SV 16-17 ἐκ—στερήσεως om C 17 ante ἐπὶ add καὶ Syr ἐπὶ τοῦ αὐτοῦ correxi sequens Syr: ἐπὶ τὸ αὐτὸ codd v intellege: ἡ ἀντιμετάστασις γίνεται ἐκ τοῦ αὐτοῦ ξύλου ἐπὶ τοῦ αὐτοῦ καιροῦ (vel si mavis τόπου), at non ἐπὶ τὸ αὐτὸ τέλος μετουσίας: μεσιτείας V τε om ERªv τε καί: ἢ Syr 19 νεκρός: νεκρωθεὶς C ἐν: τῇ Syr

γενόμενος πρὸς τὴν ἀρετὴν ἀνεβίω. οὐκοῦν καλῶς πλήρεις δείκνυσι τῆς σμύρνης τὰς ἑαυτῆς χεῖρας ἡ νύμφη διὰ τῆς ἐν πάσῃ τῇ κακίᾳ νεκρότητος ἀνισταμένη πρὸς τὸ ἀνοῖξαι τῷ λόγῳ τὴν εἰς ἑαυτὴν εἴσοδον· ζωὴ δὲ ὁ λόγος ὃν εἰσοικίζεται.

Πρὸς τοσοῦτον δὲ μέγεθος ἐπαρθεῖσα διὰ τῶν θεωρηθέντων ἡμῖν ἡ πρὸς τὸν θεὸν ὁρῶσα ψυχὴ Οὔπω, καθώς φησιν ὁ Παῦλος, οὕτως ἔγνω καθὼς δεῖ γνῶναι, οὐδὲ λογίζεται ἑαυτὴν κατειληφέναι, ἀλλ' ἔτι πρὸς τὸ ὑπερκείμενον τρέχει Τοῖς ἔμπροσθεν ἑαυτὴν ἐπεκτείνουσα. ἡ γὰρ ἀκολουθία τῶν ἐφεξῆς λόγων ταῦτα νοεῖν περὶ αὐτῆς ὑποτίθεται· Ἐπὶ χεῖρας τοῦ κλείθρου ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἐπήγαγεν ὅτι Ἀδελφιδός μου παρῆλθεν, ἡ ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ. διδάσκει γὰρ διὰ τούτων ἡμᾶς ὅτι ἐπὶ τῆς πάντα νοῦν ὑπερεχούσης δυνάμεως εἷς καταλήψεώς ἐστι τρόπος οὐ τὸ στῆναι περὶ τὸ κατειλημμένον ἀλλὰ τὸ ἀεὶ ζητοῦντα τὸ πλεῖον τοῦ καταληφθέντος μὴ ἵστασθαι. ἡ γὰρ πλήρης γενομένη τῆς σμύρνης πᾶσι τοῖς τοῦ βίου ἐπιτηδεύμασιν, ἅπερ δακτύλους τροπικῶς ὀνομάζει, τὴν

4 cf Joh 14, 6 7-8 I Cor 8, 2 8-10 Phil 3, 13 12 Cant 5, 5/6 15-18 cf supra p 180, 1-7; 245, 11-247, 18; cf ex. gr. Vita Moys p 401 A/B (Migne) 19 sqq cf Ambros De Isaac (= Origen Comm) 6, 53 (p 677, 20 sqq); cf supra p 336, 12 et 343, 16

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἀνεβίου SΘ ἀνεβίωσεν ER^av 1-2 πλήρεις coll ante τὰς V(corr -ρης)v om ER^aC(add post σμύρνης in marg C^2) 2 τῆς pr om V τῇ σμύρνῃ v om R^a 3 τῇ om Tv 4 εἰς om Σ ἑαυτῆς ΣV αὐτὴν T ὃν: ὧν ΘP ἐν οἷς Σ 4-5 ὃν εἰσοικίζεται om Syr οἰκίζεται Σ 6 δὲ τοσοῦτον T 7 ἡ—ψυχὴ om Syr 8 Παῦλος: ἀπόστολος SΘ οὕτως om(scil sec I Cor 8, 2)ΛYSΘV Syr 9 ante ἑαυτὴν add καθ' ER^aTv τρέχει: βλέπει Σ 11 ἑαυτῆς ΣP 12 χεῖρας: θύρας Θ post κλείθρου add φησὶ γὰρ Syr 16 οὐ τὸ: τὸ μηδέποτε ER^av τὸ μὴ T τὸ tert: τὸν v 17 τῷ πλείονι R^aE^2(e τὸ πλέον ut vid)v τὸ πλέον ΣPVTC at cf ex. gr. p 347, 20 ἐν τῷ καταληφθέντι T κατειληφθέντος C(corr καταλειφθέντος C^2) καταλειφθέντος Λ(corr $Λ^2$)v 18 τῆς om PVC σμύρνη V

πρὸς τὸ κακὸν ἐπισημαίνουσα νέκρωσιν καὶ τὸ ἑκούσιον τῆς ἀρετῆς διὰ τοῦ οἴκοθεν ἀποστάξαι τῶν χειρῶν τὴν σμύρναν ἐνδειξαμένη ἅψασθαί φησι τὰς χεῖρας ἑαυτῆς τοῦ κλείθρου, τουτέστι τὰ ἔργα ἑαυτῆς ἐγγίσαι λέγει τῇ στενῇ καὶ τεθλιμμένῃ εἰσόδῳ ἧς τὸ κλεῖθρον ἐγχειρίζει τοῖς κατὰ Πέτρον ὁ λόγος. ἀνοίγει τοίνυν δι' ἑκατέρων ἑαυτῇ τῆς βασιλείας τὴν θύραν, διά τε τῶν χειρῶν δι' ὧν τὰ ἔργα δηλοῦται καὶ διὰ τοῦ κλείθρου τῆς πίστεως· δι' ἀμφοτέρων γὰρ τούτων, ἔργων τε λέγω καὶ πίστεως, ἡ κλεὶς τῆς βασιλείας ἡμῖν ὑπὸ τοῦ λόγου κατασκευάζεται. ὅτε τοίνυν ἤλπισε κατὰ τὸν Μωϋσέα γνωστῶς ἐμφανήσεσθαι αὐτῇ τοῦ ποθουμένου τὸ πρόσωπον, τότε παρῆλθε τὴν κατάληψιν αὐτῆς ὁ ζητούμενος. φησὶ γὰρ ὅτι Ἀδελφιδός μου παρῆλθεν, οὐ καταλιπὼν τὴν ἑπομένην αὐτῷ ψυχὴν ἀλλὰ πρὸς ἑαυτὸν ἐφελκόμενος· Ἡ ψυχὴ γάρ μού φησιν ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ. ὢ μακαρίας ἐξόδου ἐκείνης ἣν ἐξέρχεται ἡ τῷ λόγῳ ἑπομένη ψυχή. Κύριος φυλάξει τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου, φησὶν ὁ προφήτης. αὕτη ἐστὶν ὡς ἀληθῶς ἡ ὑπὸ τοῦ θεοῦ φυλασσομένη τοῖς ἀξίοις ἔξοδος ἅμα καὶ

5 cf Matth 7, 14 5-6 cf Matth 16, 19 9 cf Jac 2, 20 sqq 11-13 cf Exod 33, 13-22 16-17 cf Ambros l.l. p 678, 12: '... quia exivit anima in verbo eius, hoc est verbum eius secuta exivit de corpore ...' 17-18 Ps 120, 8

ER^a ΛYSΘ Σ PVT C Syr 1 κακὸν: καλὸν Λ(corr $Λ^2$)YSΘ(corr $Θ^2$) ἐπισημαίνουσαν EΛYΘ(S oblitt, eras ν alt EΛ) 2 τοῦ: τὸ ER^av οἴκοθεν om Syr χειρῶν: δακτύλων Syr 4 ἑαυτῆς αὐτῆς PVT 5 ante καὶ add τε ER^av 7 θύραν: χεῖρα T 8 δηλοῦνται ΛYSΘ τῆς iterat R^a δι' vel eras vel laes E 8-9 δι'—πίστεως om R^a 9 τε om T λέγω coll post πίστεως v 10 ἡμῖν Σ Syr: om P ἐν ἡμῖν cett v 11 μωσέα V 11 ἐμφανήσεσθαι ΛYSΣC(corr -νισθήσεσθαι $Λ^2C^2$ sscr S) ἐμφανίσεσθαι ER^aP ἐμφανισθήσεσθαι TΘ(-σθίσε-)ἐμφανισθῆναι Vv 12 ἑαυτῇ ER^av ποθουμένου: βασιλέως v 12-14 τὴν—παρῆλθεν om Y 13 ζητούμενος: ποθούμενος ER^av 14 καταλειπὼν C(corr C^2) 15 post ἐφελκόμενος add μᾶλλον Syr μου γάρ ΛYΘP φησιν om v 17 φυλάξαι ΛYSΘΣ 17-18 εἴσοδόν et ἔξοδόν mutato ordine, id est sec Ps 120, 8 ΛYSΘVT 18 ὁ προφήτης φησίν PV ὡς om P 19 ἅμα: τε ER^av

εἴσοδος γινομένη· ἡ γὰρ ἀπὸ τοῦ ἐν ᾧ ἐσμεν ἔξοδος τῶν
1025 M. ὑπερκειμένων ἀγαθῶν εἴσοδος γίνεται. ταύτην οὖν ἐξῆλθεν ἡ ψυχὴ τὴν ἔξοδον ὁδηγῷ κεχρημένη τῷ λόγῳ τῷ εἰπόντι ὅτι Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ θύρα, καὶ ὅτι Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, οὐδέποτε οὔτε τοῦ εἰσιέναι λήγων οὔτε τοῦ ἐξιέναι παυόμενος, ἀλλὰ πάντοτε διὰ προκοπῆς εἰς τὰ ὑπερκείμενα εἰσιὼν καὶ ἀεὶ τῶν κατειλημμένων ἔξω γινόμενος. οὕτω παρῆλθέ ποτε καὶ τὸν Μωϋσέα τὸ ποθούμενον ἐκεῖνο πρόσωπον τοῦ κυρίου καὶ οὕτως ἡ ψυχὴ τοῦ νομοθέτου ἀεὶ ἔξω ἐγίνετο τοῦ ἐν ᾧ ἦν ἑπομένη προϊόντι τῷ λόγῳ. τίς γὰρ οὐκ οἶδε τὰς ἀναβάσεις ἐκείνας ἃς ἀνέβη ὁ Μωϋσῆς, ὁ ἀεὶ μέγας γινόμενος καὶ μηδέποτε ἱστάμενος τῆς ἐπὶ τὸ μεῖζον αὐξήσεως; ηὐξήθη κατ' ἀρχὰς ὅτε τῆς τῶν Αἰγυπτίων βασιλείας ὑψηλότερον τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ ἐποιήσατο Μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· ηὐξήθη πάλιν ὅτε καταπονοῦντος τὸν Ἑβραῖον τοῦ Αἰγυπτίου θανατοῖ τὸν ἀλλόφυλον ὑπὲρ τοῦ Ἰσραηλίτου ἀγωνιζόμενος. νοεῖς δὲ πάντως ἐν τούτοις τὸν τῆς αὐξήσεως τρόπον μεταβαλὼν τὴν ἱστορίαν εἰς τροπικὴν θεωρίαν. πάλιν

4 Joh 14, 6 4-5 Joh 10, 9 8-9 cf Exod 33, 19-23 12 cf Exod 2, 11; cf Hebr 11, 24 14-16 Hebr 11, 25/6 17-18 cf Exod 2, 11/12; cf Act 7, 24

ER^a ΛYSΘ Σ PVT C Syr 1 γενομένη T om ER^{a}v ἡ γάρ: καὶ γὰρ ἡ ER^{a}v 4 ὅτι pr om Σ ἡ θύρα καὶ ἡ ὁδός ER^{a}Σv 5 ἐξελεύσεται καὶ εἰσελεύσεται Syr ante οὐδέποτε add de Joh 10, 9 καὶ νομὴν εὑρήσει T Syr οὐδέπο R^a om PVC οὔτε om ER^{a}v 6 ἐξιέναι et εἰσιέναι mutato ordine Syr οὐδὲ T παυόμενος om Syr πάντοτε: παύεται v 8 γενόμενος R^a (corr R^{a2}) τότε ER^{a}v καὶ om T μωσέα V 9 κυρίου: θεοῦ Σ 10 τοῦ νομοθέτου: αὐτοῦ Syr ἐγένετο P 11 προϊόντι: ὃν ἐζήτει Syr ante τις add εἴ YΛ(eras) ἐκείνας coll ante τὰς T 12 ὁ pr om ΣPVTC μωσῆς V ὁ alt om ΘV 14 ὅτε om T 15 ποιησάμενος T ante μᾶλλον add καὶ V post add δὲ PC εἵλετο V 16 ἔχειν coll post ἀπόλαυσιν Σ 17 post ηὐξήθη eras 3 litt Θ 18 θανατοῦ P ἐθανάτωσε V ἰ(σρα)ηλ Θ, fort recte 19 ἐν: ἐπὶ C 20 μεταλαβὼν ΛYSPV εἰς—θεωρίαν om P (θε)ωρίαν corr E^2 ut vid in ras

ἑαυτοῦ μείζων ἐγένετο ἀπεριήχητον τὴν ζωὴν φυλάσσων διὰ τῆς ἐν τῇ ἐρήμῳ φιλοσοφίας ἐν χρόνῳ πολλῷ. εἶτα τῷ πυρὶ τῷ ἐπὶ τῆς βάτου φωτίζεται. μετὰ τοῦτο καὶ τὴν ἀκοὴν ταῖς τοῦ φωτὸς ἀκτῖσι διὰ τοῦ λόγου περιαυγάζεται. γυμνοῖ πρὸς τούτοις τῆς νεκρᾶς περιβολῆς τὰς ἑαυτοῦ βάσεις, ἀναλίσκει τῇ ῥάβδῳ τοὺς Αἰγυπτίους δράκοντας, ἐξαιρεῖται τῆς τυραννίδος τοῦ Φαραὼ τὸ ὁμόφυλον, ὁδηγεῖται διὰ νεφέλης, διαιρεῖ τὸ πέλαγος, ὑποβρύχιον ποιεῖ τὴν τυραννίδα, γλυκαίνει τὴν Μερράν, ʼπαίει τὴν πέτραν, ἐμφορεῖται τῆς τῶν ἀγγέλων τροφῆς, τῶν σαλπίγγων ἀκούει, τοῦ καιομένου ὄρους κατατολμᾷ, τῆς ἀκρωρείας ἅπτεται, τὴν νεφέλην ὑπέρχεται, ἐντὸς τοῦ γνόφου γίνεται ἐν ᾧ ἦν ὁ θεός, τὴν διαθήκην δέχεται, ἥλιος γίνεται ἀπροσπέλαστον τοῖς προσεγγίζουσιν ἐκ τοῦ προσώπου τὸ φῶς ἀπαστράπτων. καὶ πῶς ἄν τις πάσας αὐτοῦ τὰς ἀναβάσεις καὶ τὰς ποικίλας θεοφανείας διεξέλθοι τῷ λόγῳ; ἀλλ' ὅμως ὁ τοσοῦτος, ὁ τοιοῦτος, ὁ ἐν τοσούτοις γενόμενος καὶ διὰ τοσούτων πρὸς τὸν θεὸν

1-2 cf Exod 3, 1 2 χρόνῳ πολλῷ cf Exod 2, 23; Act 7, 30 3-5 cf Exod 3, 2-5 6 cf Exod 7, 12 7-8 cf Exod 13, 21 8 cf Exod 14, 21 et 27/8 9 cf Exod 15, 25; cf Exod 17, 6 9 ἐμφορεῖται—10 τροφῆς cf Ps 77, 25 10 cf Exod 19, 16 et 19 10-11 cf Exod 19, 18; 24, 17 11 cf Exod 19, 20 11-12 cf Exod 24, 18 12 cf Exod 20, 21 13 cf Exod 31, 18; 24, 7; 34, 27/8; Deut 9, 10-12; ἥλιος κτλ.: cf Exod 34, 29-35

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐγίνετο T φυλάττων ER^{a}v 3-4 μετὰ—περιαυγάζεται om v 5 τῆς—περιβολῆς coll post βάσεις T ἑαυτοῦ τὰς P 7 τοῦ om PT τὸ: τὸν R^a 8 ποιεῖται V 9 μερὰν R^{a}Λ(corr Λ^2)Y Μαρράν v παίει correxi: πιαίνει Ev πιένει R^{a}Σ(-νη) πίνει cett Syr scil in libro pervetusto (fort in ipso αὐτογράφῳ) erat laes ΠΑΙΕΙ, quod per errorem legit scriba librarius ΠΙΝΕΙ. super lineam sscr aliquis AI, quas litteras scriba archetypi codd et ER^a et Σ voci corruptae πίνει inseruit. τῆς πέτρας ΛYSΘT Syr (ante τῆς add ἐκ) scil de coniectura sua 11 τῆς νεφέλης SΘ τῇ νεφέλῃ VC (corr C^2) 13 ἀπροσπέλαστον ΣPVTC: ἀπροσπέλαστος cett v Syr 14 ἐκ om v 15 ἄν τις coll ante καὶ ER^{a}Σv αὐτοῦ coll ante πάσας ΛYSΘ post ἀναβάσεις ER^{a}v αὐτῶν P τὰς pr om v post ποικίλας add αὐτοῦ PC 15-16 ποικίλας coll ante τῷ v 16 διεξέλθῃ CP(sscr η super οι) ἐξέλθοι v 17 τοσούτοις: τοιούτοις ΛYST τούτοις Θ γενώμενος C τοσοῦτον v τὸν om V

ὑψωθεὶς ἔτι ἀπλήστως τῆς ἐπιθυμίας ἔχει τοῦ πλείονος καὶ τοῦ κατὰ πρόσωπον ἰδεῖν τὸν θεὸν ἱκέτης γίνεται καίτοι μαρτυρήσαντος ἤδη τοῦ λόγου τῆς κατὰ πρόσωπον αὐτὸν ὁμιλίας ἠξιῶσθαι. ἀλλ' ὅμως οὔτε τὸ ὡς φίλον φίλῳ προσδιαλέγεσθαι οὔτε ἡ στόμα κατὰ στόμα γινομένη αὐτῷ πρὸς τὸν θεὸν ὁμιλία τῆς τῶν ἀνωτέρων αὐτὸν ἐπιθυμίας ἵστησιν, ἀλλ' Εἰ εὕρηκα χάριν, φησίν, ἐνώπιόν σου, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς. καὶ ὁ τὴν αἰτηθεῖσαν χάριν δώσειν ἐπαγγειλάμενος, ὁ εἰπὼν Ἔγνων σε παρὰ πάντας, παρέρχεται αὐτὸν ἐπὶ τοῦ θείου τόπου ἐν τῇ πέτρᾳ ὑπὸ τῆς θείας χειρὸς σκεπαζόμενον, ὥστε μόγις ἰδεῖν μετὰ τὴν πάροδον αὐτοῦ τὰ ὀπίσθια, διδάσκων, οἶμαι, διὰ τούτων ὁ λόγος ὅτι ὁ ἰδεῖν τὸν θεὸν ἐπιθυμῶν ἐν τῷ ἀεὶ αὐτῷ ἀκολουθεῖν ὁρᾷ τὸν ποθούμενον καὶ ἡ τοῦ προσώπου αὐτοῦ θεωρία ἐστὶν ἡ ἄπαυστος πρὸς αὐτὸν πορεία διὰ τοῦ κατόπιν ἕπεσθαι τῷ 1028 M. λόγῳ κατορθουμένη. οὕτω τοίνυν καὶ νῦν ἡ ψυχή, ὅτε ἀνέστη διὰ τοῦ θανάτου, ὅτε ἐπληρώθη τῆς σμύρνης, ὅτε προσήγαγε τῷ κλείθρῳ διὰ τῶν ἔργων τὰς χεῖρας καὶ εἰσοικίσασθαι τὸν ποθούμενον ἤλπισε, τότε ὁ μὲν παρέρχεται,

1-16 cf Vita Moys p 399 A-401 B (Migne) 3-4 cf Deut 34, 10 4 cf Exod 33, 11 5 cf Num 12, 8 7-8 Exod 33, 13 9 Exod 33, 17 9-12 cf Exod 33, 21-23

ER^a ΛΥSΘ Σ PVT C Syr 1 ἔχει coll ante τῆς ER^a v 3 μαρτυρήσαν R^a post κατὰ add τὸ C αὐτῶν Λ(corr Λ^2) Y αὐτοῦ ER^aTv 4 ἀξιῶσθαι Λ(corr Λ^2) Y ὡς om P φίλον: φίλος T om v 4-5 προδιαλέγεσθαι R^a 5 γενομένη PVC αὐτῷ ER^aVTv: αὐτοῦ cett, de Syr non liquet τὸν om ER^aVv 6 ἀνωτέρω $R^a$$E^2$(eras ν alt) ἐπιθυμίας om Λ(adscr in marg ante αὐτὸν Λ^2) Y 7 post εἴ add γε T φησίν coll ante εὕρηκα T ante χάριν Σv post σου PVC μοι om R^a 8 καὶ ὁ: ὁ δὲ Syr 9 ἔγνων: οἶδα LXX παρὰ πάντας: ἐπ' ὀνόματι Syr 10 τῇ om T 11 σκεπαζόμενος V μόλις T μετὰ om R^a 12 διδάσκει δέ V 13 αὐτὸν Λ(ut vid, corr Λ^2) YV 14 τὸν ποθούμενον ΣP: αὐτὸν Syr τὸ π. cett v αὐτοῦ om P 15 ante διὰ add πρόσω ER^av τοῦ: τὸ ER^av 16 νῦν om VT 17 ante τῆς add διὰ ΛYSΘ σμύρνας ΛY 18 τῷ κλείθρῳ om V post χεῖρας add ὅτε ἤνοιξε τὴν θύραν τῷ νυμφίῳ Syr 19 ἐσοικίσασθαι v τὸν ΣVv Syr: τὸ cett

ἡ δὲ ἐξέρχεται οὐκέτι μένουσα ἐν οἷς ἦν, ἀλλὰ τῷ λόγῳ ἐπὶ τὰ πρόσω προηγουμένῳ ἐφεπομένη.

Ὁ δὲ ἐφεξῆς λόγος μᾶλλον ἡμῖν βεβαιοῖ τὴν προθεωρηθεῖσαν διάνοιαν ὅτι οὐκ ἐν τῷ καταλαμβάνεσθαι τὸ μέγεθος τῆς θείας γνωρίζεται φύσεως ἀλλ' ἐν τῷ παριέναι πᾶσαν καταληπτικὴν φαντασίαν καὶ δύναμιν· ἡ γὰρ ἐκβᾶσα ἤδη τὴν φύσιν ψυχή, ὡς ἂν μηδενὶ τῶν συνηθῶν πρὸς τὴν γνῶσιν τῶν ἀοράτων κωλύοιτο, οὔτε ζητοῦσα τὸ μὴ εὑρισκόμενον ἵσταται οὔτε καλοῦσα τὸ ἀνεκφώνητον παύεται, φησὶ γὰρ ὅτι Ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. πῶς γὰρ ἂν εὑρεθείη ὃν μηνύει τῶν γινωσκομένων οὐδέν, οὐκ εἶδος, οὐ χρῶμα, οὐ περιγραφή, οὐ ποσότης, οὐ τόπος, οὐ σχῆμα, οὐ στοχασμός, οὐκ εἰκασμός, οὐκ ἀναλογία; ἀλλὰ πάσης καταληπτικῆς ἐφόδου ἐξώτερος ἀεὶ εὑρισκόμενος ἐκφεύγει πάντως τὴν τῶν ζητούντων λαβήν, διὰ τοῦτό φησιν Ἐζήτησα αὐτόν, διὰ τῶν ἐρευνητικῶν τῆς ψυχῆς δυνάμεων ἐν λογισμοῖς καὶ νοήμασι, καὶ πάντων ἐξώτερος ἦν τὸν προσεγγισμὸν τῆς διανοίας διαδιδράσκων. ὁ δὲ παντὸς γνωριστικοῦ χαρακτῆρος ἐξώτερος ἀεὶ εὑρισκόμενος πῶς ἂν διά τινος ὀνοματικῆς σημασίας περιληφθείη; τούτου χάριν ἐπινοεῖ

10 Cant 5, 6 18 sqq cf supra p 181, 19 sqq

ER^a ΛΥSΘ Σ PVT C Syr 1 ἡ: ὁ Λ(corr Λ^2) Y post ἐξέρχεται add μετ' αὐτὸν Syr μένουσαν Y τοῦ λόγου ER^av 2 προηγουμένῳ ΘΣPVT Syr: -μένου ER^av -μένως ΛYSC ἐφαπτομένη ER^av 5 τῆς—φύσεως: αὐτῆς ἡ θεία γνωρίζεται φύσις Syr γνωρίζεσθαι V 6 (κατα)ληπτ(ὴν) C^2 in ras 5 vel 6 litt 6-7 et ἐκστάσα et τῆς φύσεως Σ 8 post οὔτε add ἡ R^a τὸν C^2(e τὸ) μὴ εὑρισκόμενον: ποθούμενον Syr 9 τὸ: τὸν R^a (ἀν)έφικ(τον) C^2(eras ut vid εκφώνη) τὸ ἀνεκφώνητον: αὐτὸ Syr 11 ὃν: ὃ Vv ὃν μηνύει om Θ 13 πάσης om V 14 et ἐξώτερος et εὑρισκόμενος S(corr bis ς e ν) Syr(ut vid): et ἐξώτερον et εὑρισκόμενον cett v πάντων R^a(sed corr) om Syr 15 αὐτὸν coll ante ἐζήτησα Ev om R^a 16 ἐρευνητικῶν ΣV Syr (ut vid): εὑρητικῶν v εὑρετικῶν cett(C^2 corr -ετι- in ras 5 vel 6 litt) ψυχῆς om T(sscr) ante ἐν add καὶ Σ 17 πάντως P (sed corr)v 18 ἀποδιδράσκων PVC γνωστικοῦ ΛYP 20 ὀνοματικῆς E(corr -στι- E^2) R^aYΘ(in marg adnot στ Θ^2): ὀνομαστικῆς cett v περιληφθῇ PVC

μὲν παντοίαν ὀνομάτων δύναμιν εἰς τὴν τοῦ ἀφράστου ἀγαθοῦ σημασίαν, ἡττᾶται δὲ πᾶσα φραστικὴ λόγου δύναμις καὶ τῆς ἀληθείας ἐλάττων ἐλέγχεται. διό φησιν ὅτι ἐγὼ μὲν ἐκάλουν ὡς ἐδυνάμην ἐπινοοῦσα φωνὰς ἐνδεικτικὰς τῆς ἀφράστου μακαριότητος, ὁ δὲ κρείττων ἦν τῆς τῶν σημαινομένων ἐνδείξεως. οἷον δὴ ἐποίει πολλάκις καὶ ὁ μέγας Δαβὶδ μυρίοις ὀνόμασι τὸ θεῖον καλῶν καὶ ἡττᾶσθαι τῆς ἀληθείας ὁμολογῶν· Σὺ γάρ, φησίν, ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός, καὶ ἰσχὺς καὶ στερέωμα καὶ καταφυγὴ καὶ δύναμις καὶ βοηθὸς καὶ ἀντιλήπτωρ καὶ κέρας σωτηρίας καὶ τὰ τοιαῦτα. καὶ πάλιν ὁμολογεῖ ὅτι τὸ ὄνομα αὐτοῦ ἐν πάσῃ τῇ γῇ οὐχὶ γινώσκεται ἀλλὰ θαυμάζεται· Ὡς θαυμαστὸν γάρ, φησί, τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. οὕτω φησὶ καὶ πρὸς τὸν Μανωὲ ὁ περὶ τοῦ παιδὸς αὐτῷ χρηματίσας, ὅτε ἠρωτήθη περὶ τοῦ ὀνόματος, ὅτι θαυμαστόν ἐστι τοῦτο καὶ κρεῖττον ἢ ὥστε ὑπ' ἀνθρωπίνης ἀκοῆς χωρηθῆναι. διὰ τοῦτο καὶ ἡ ψυχὴ τὸν λόγον καλεῖ μὲν ὡς δύναται, δύναται δὲ οὐχ ὡς βούλεται· βούλεται γὰρ πλεῖον ἢ δύναται. οὐ μὴν οὐδὲ θελῆσαι τοσοῦτον δύναται,

8-9 Ps 85, 15 10-11 cf Ps 17, 2/3; 45, 2 13-14 Ps 8, 2 14-16 cf Judic 13, 18; cf Contra Eunom Vol II (Jaeger) p 177, 5-12

ER^a ΛYSΘ Σ PVT C Syr 1 παντοίαν: πᾶσαν Syr ἀγαθοῦ om Syr 2 πᾶσα om Θ περιφραστικὴ T ante λόγου add τοῦ C 3 ὅτι om ER^{a}v 4 ἠδυνάμην ΣPTC^2(ex εἰδ-) 5 ἀφ·ράστου S(eras 1 litt) ἀφθάρτου VC 6 ποιεῖ ER^{a}v πολλάκις coll post 7 Δαβὶδ v om Syr 7 ἡττῆσθαι TC^2(ex -είσθαι) 8 ὁ θεὸς: κύριε ὁ θεὸς LXX κύριε (vel ὁ κύριος) Syr οἰκτείρμων v 9-10 ἀλήθεια καὶ ἰσχύς μου καὶ δύναμίς μου καὶ καταφυγή μου καὶ στερέωμά μου, βοηθός Syr 10 καὶ alt om ER^{a}Pv βοήθεια SΘ 11 τὰ: ἄλλα πολλὰ Syr 12 τὸ om v οὐχὶ—14 γῇ om Λ(in marg sup add Λ^2)YΘPVC ὅτι—13 φησί: ὅτι τὸ ἀληθινὸν ὄνομα αὐτοῦ οὐ γινώσκει· φησὶ γὰρ ὅτι Κύριε κύριος ἡμῶν οὐκ ἔστι γνωστὸν τὸ ὄνομά σου ἀλλὰ θαυμαστὸν Syr (id est om 12 ἐν πάσῃ τῇ γῇ) 15 αὐτὸν SΘ αὐτοῦ Pv 16 τοῦτο coll post κρεῖττον ΛY ὑπὸ τῆς v ἀνθρωπίνης om SΘ 16-17 ἀνθρωπίνῃ ἀκοῇ (om ὑπ') V 17 post καὶ add νῦν Syr καλεῖ μὲν τὸν λόγον T 18 δύναται alt om T δὲ om P ὡς alt: ὃ V 19 πλεῖον ΛY: πλέον cett v post πλέον add τί T θελῆσαι—δύναται: τοσοῦτον θελήσεται ER^{a}v

ὅσον ἐκεῖνός ἐστιν, ἀλλ' ὅσον βουληθῆναι ἡ προαίρεσις δύναται. ἐπεὶ οὖν ἀνέφικτός ἐστιν ὁ καλούμενος τῇ τοῦ καλοῦντος ὁρμῇ, διὰ τοῦτό φησιν· Ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου.

Ὅσα δὲ τοῖς εἰρημένοις ἡ νύμφη προστίθησι, κἂν
1029 M. σκυθρωποτέραν κατὰ τὸ πρόχειρον ἔχῃ τὴν ἔνδειξιν, ἀλλ' ἐμοὶ δοκεῖ πρὸς τὸν αὐτὸν σκοπὸν βλέπειν καὶ τῆς τῶν ὑψηλοτέρων ἀναβάσεως ἔχεσθαι· φησὶ γὰρ ὅτι Εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει, ἐπάταξάν με, ἐτραυμάτισάν με, ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ οἱ φύλακες τῶν τειχέων. ταῦτα γὰρ ἴσως δόξει τισὶν ὀδυρομένης μᾶλλον ἤπερ εὐφραινομένης εἶναι τὰ ῥήματα, τὸ Ἐπάταξαν καὶ Ἐτραυμάτισαν καὶ Ἦραν τὸ θέριστρον· τῷ δὲ ἀκριβῶς ἐπεσκεμμένῳ τὴν τῶν λεγομένων διάνοιαν μεγαλαυχουμένης ἐπὶ τοῖς καλλίστοις εἰσὶν αἱ φωναί. οὑτωσὶ δὲ γένοιτ' ἂν ἡμῖν καταφανὲς τὸ λεγόμενον· μικρὸν πρὸ τούτων ἐν τοῖς κατόπιν καθαρεύειν αὐτὴν παντὸς προκαλύμματος ὁ λόγος μαρτύρεται, ἐν οἷς φησιν ἐκ προσώπου τῆς νύμφης ὅτι Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; ἐνταῦθα δὲ πάλιν ἀφῃρῆσθαι αὐτῆς λέγει τὸ θέριστρον. περιβόλαιον δὲ νυμφικόν ἐστι τὸ θέριστρον συγκαλύπτον μετὰ τῆς

8-11 Cant 5, 7 17 cf supra p 327, 14 sqq 19 Cant 5, 3 20-360, 1 cf Ambros De Isaac (= Origen Comm) 6, 55 (p 679, 9 sqq): 'bene quidem quasi sponsa veniebat cum pallio, quo obnueret caput, cum sponsus occurreret. sicut Rebecca' etc.

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐκεῖνό ΛYSΘVv 3 ante ἐκάλεσα add ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν Syr 4 μου om VC 5 κἂν om Syr 6 ἔχει R^a(corr R^{a2})YΣPVC(corr C^2) ἔχοι Λ (ut vid, corr Λ^2) 7-8 ὑψηλοτέρας (om τῶν) V ἀναβάσεων (om τῆς) Syr 8 ὅτι om ER^{a}v 9 φύλακες: φυλάσσοντες T post με alt add καὶ Syr 10 με: καὶ C(corr C^2) ante ἀπ' add μου P Syr ἀπ'—13 θέριστρον om C 11-12 μᾶλλον—εὐφραινομένης om Syr 12 post ἐπάταξαν add με ΛYSΘPT Syr 13 post ἐτραυμάτισαν add με SΘT Syr post θέριστρον add μου Syr 15 post φωναὶ add αὗται PVC οὑτωσὶ SΘT: οὕτως εἰ ΛYΣ οὕτως ER^{a}v ἵνα PVC δ' ἂν γένοιτο ER^{a}v 18 οἷς: ᾧ ER^{a}v 19 ἐνδύσωμαι EYΣ(corr E^{2}Y^2) 20 ἀφηρεῖσθαι R^{a}Λ(corr Λ^2)YΣV ἀφαιρεῖσθαι T ἑαυτῆς T λέγει αὐτῆς ER^{a}v περιβόλαιον—21 θέριστρον om PC

κεφαλῆς καὶ τὸ πρόσωπον, καθὼς περὶ τῆς Ῥεβέκκας λέγει ἡ ἱστορία. πῶς οὖν ἡ γυμνωθεῖσα παντὸς περιβλήματος ἔτι τὸ θέριστρον ἔχει ὅπερ νῦν αὐτῆς ἀφαιροῦνται οἱ φύλακες; ἢ δῆλον διὰ τῶν εἰρημένων ἐστίν, ὅσον ἀπ' ἐκείνου πάλιν ἐπὶ τὸ ὑψηλότερον διὰ προκοπῆς ἀνελήλυθεν; ἡ γὰρ ἀπεκδυσαμένη τὸν παλαιὸν χιτῶνα καὶ πάσης περιβολῆς καθαρεύσασα τοσοῦτον ἑαυτῆς γίνεται καθαρωτέρα, ὡς συγκρίσει τῆς ἄρτι γενομένης αὐτῇ καθαρότητος μὴ δοκεῖν ἀποδεδῦσθαι τὸ περιβόλαιον, ἀλλ' εὑρεῖν τι πάλιν μετὰ τὴν γύμνωσιν ἐκείνην περὶ ἑαυτὴν ὃ ἀποθῆται. οὕτως ἡ πρὸς τὸ θεῖον ἄνοδος τοῦ ἀεὶ εὑρισκομένου τὸ περὶ αὐτὴν παχύτερον δείκνυσιν. διὰ τοῦτο συγκρίσει τῆς νῦν καθαρότητος ἡ προγενομένη τοῦ χιτῶνος ἐκείνου γύμνωσις ὡς κάλυμμα πάλιν περιαιρεῖται παρὰ τῶν εὑρισκόντων αὐτήν. οὗτοι δέ εἰσιν οἱ φύλακες οἱ κυκλοῦντες τὴν πόλιν (ψυχὴ δὲ ἡ πόλις) οἱ διὰ τοῦ πατάξαι καὶ τραυματίσαι περιελόντες τὸ θέριστρον, ὧν ἔργον ἐστὶ τὸ φυλάσσειν τὰ τείχη τῆς πόλεως. ὅτι μὲν οὖν ἀγαθόν τί ἐστιν ἡ τοῦ θεριστρου περιαίρεσις, ὥστε ἐλεύθερον τοῦ προκαλύμματος τὸν ὀφθαλμὸν ἀπαραποδίστως ἐνατενίζειν τῷ ποθουμένῳ κάλλει, οὐκ ἄν τις ἀμφιβάλοι

1 cf Gen 24, 65

ER^a ΛYSΘ Σ PVT C Syr 1 ante περὶ add καὶ ER^av τὴν ῥεβέκκαν V 1-2 ἡ ἱστορία λέγει Σ 2 ἡ alt om C(sscr m fort pr) 3 ἔχοι ΛY ἀφαιροῦνται αὐτῆς PVC 4 ἢ EΣv ἀλλὰ Syr post δῆλον add ὅτι ΛY 5-6 ἀποδυσαμένη T 6 παλαιὸν om Σ καθαρεύουσα P 8 ἀπεδεδύσθαι E(sscr κ super ε pr E^2) ἀπεκδύσασθαι R^a ἀπεκδεδῦσθαι v 10 αὐτὴν PVTCv ἀποθῆται v: ἀπόθηται ΣPVT ἀποθεῖται R^aSΘCE^2(ex ἀπω-) τὸν θεὸν T 11 τὸ: τι v ἑαυτὴν ΣVTC 11-12 παχύ περ ἐνδείκνυσι v 12 et add τῇ ante συγκρίσει et coll τῇ συγκρίσει post καθαρότητος ER^av 13 προγενομένη ΣT Syr: προσγενομένη ΛYSP προσγινομένη ΘVC προγεγραμμένη ER^av 14 αὐτῇ V 15 ἐν τῇ πόλει C^2(corr e τὴν πόλιν)Syr 16 οἱ: σοι Λ(sscr ἧς $Λ^2$)Y ἧς ER^av et post πατάξαι et post τραυματίσαι add αὐτὴν Syr 17 τὸ: τοῦ V 18 τί om ΛYSΘ ἡ om C(add C^2) προαίρεσις V 19 post ἐλευθέρων (sic) add ὄντων S τοῦ om Σ τῶν ὀφθαλμῶν Λ(corr $Λ^2$)YS ἀπαρεμποδίστως PVC^2(ex -αποδ-) 20 ἀτενίζειν PVC(corr C^2) ἀμφιβάλλοι ΣPv

πρὸς τὸν ἀπόστολον βλέπων, ὃς τῇ δυνάμει τοῦ πνεύματος τὴν τοῦ καλύμματος περιαίρεσιν ἀνατίθησι λέγων· Ὅταν δὲ ἐπιστρέψῃ πρὸς κύριον περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν. ὅτι δὲ τὸ τοῦ ἀγαθοῦ παρασκευαστικὸν καὶ αὐτὸ πάντως ἐστὶν ἀγαθόν, οὐκ ἄν τις ἀμφιβάλοι τῶν ἐπισταμένων πρὸς τὸ ἀκόλουθον βλέπειν. εἰ τοίνυν ἀγαθὸν ἡ τοῦ καλύμματος περιαίρεσις, ἀγαθὸν ἂν εἴη πάντως καὶ ἡ πληγὴ καὶ τὸ τραῦμα δι' ὧν κατορθοῦται ἡ περιαίρεσις. ἀλλ' ἐπειδὴ κατὰ τὴν πρόχειρον ἔννοιαν ἀηδία τις ἐμφαίνεται τοῖς ῥήμασι τούτοις (ἄλγημα γὰρ ἐνδείκνυται
1032 M. ἡ φωνὴ τοῦ Ἐπάταξάν με καὶ Ἐτραυμάτισάν με), καλῶς ἂν ἔχοι κατανοῆσαι πρῶτον τῆς ἁγίας γραφῆς τὴν τῶν τοιούτων ῥημάτων χρῆσιν, εἴ που πρὸς τὸ κρεῖττον αὐτῶν τὴν μνήμην πεποίηται, εἶθ' οὕτω θεωρῆσαι τῶν ἐνταῦθα λεγομένων τὴν δύναμιν.

Πῶς ῥύεται ἡ σοφία τὴν τοῦ νέου ψυχὴν ἀπὸ θανάτου; τί συμβουλεύει ποιεῖν, ἵνα μὴ ἀποθάνῃ ὁ νέος; αὐτῆς ἀκούσωμεν τῆς σοφίας· Ἐὰν πατάξῃς αὐτόν, φησί, ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ· σὺ μὲν γὰρ ῥάβδῳ πατάξεις αὐτόν, τὴν δὲ ψυχὴν αὐτοῦ ῥύσῃ ἐκ θανάτου. ἔοικε τοίνυν ἀθανασίαν ἑρμηνεύειν ἡ τοῦ Ἐπάταξάν με λέξις, καθὼς ὁ λόγος φησὶν ὅτι Ἐὰν πατάξῃς τῇ ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ, καὶ ὅτι οὐκ ἔστιν ἄλλως ῥυσθῆναι τὴν ψυχὴν ἐκ θανάτου ἐὰν μὴ παταχθῇ

2-4 II Cor 3, 16/7 18-20 Prov 23, 13/4

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἀπόστολον: Παῦλον Syr 2 τοῦ om R^a 4 τὸ alt om PV 4-5 προπαρασκευαστικὸν Σ 5 οὐκ: οὐδὲ τοῦτο V ἀμφιβάλλοι R^aE^2(adscr λ alt)ΣPv 5-6 οὐκ—βλέπειν: δῆλον τοῖς ὀφθαλμῷ καθαρῷ βλέπουσιν Syr 7 ἀγαθὸν pr: ἀγαθῶν R^a(corr pr m ut vid) 8-9 ἡ προαίρεσις ΣV τὸ ἀγαθόν Syr 11 post καὶ add τοῦ v με alt om ΣPVC 12 ἔχει v πρῶτον κατανοῆσαι ΛYSΘΣ post πρῶτον add ἐπὶ C^2 13 εἴ που: εἴπερ V 14 πεποίηνται SPC(corr C^2) 16 post πῶς add οὖν Syr νέου: νυμφίου V 16-17 πῶς—συμβουλεύει om Y 17-18 ἀκούσομεν V(sed corr)C(corr C^2) 18-19 ἐὰν—ἀποθάνῃ om SΘ 18 φησὶν coll post ῥάβδῳ ER^av om PVC 21 ἐπάταξάν με Syr: ἐπάταξαν ER^aPVCv ἐπάταξε cett 22 τῇ om Σ et om καὶ ὅτι et add τοίνυν post ἔστι Syr 23 τὴν om T τὴν ψυχὴν om Syr post ἐκ add τοῦ ER^av θανάτου om R^a(adscr in fine lin pr m ut vid) ταχθῇ P

τῇ ῥάβδῳ. καλὸν ἄρα τὸ παταχθῆναι διὰ τῶν εἰρημένων ἡμῖν ἀποδέδεικται, διότι καλόν ἐστιν ὡς ἀληθῶς τὸ ἐκ θανάτου τὴν ψυχὴν ῥυσθῆναι. οὕτω ποιεῖν καὶ τὸν θεὸν ὁ προφήτης φησὶ διὰ τοῦ ἀποκτέννειν ζωοποιοῦντα καὶ διὰ τοῦ πατάσσειν ἰώμενον· Ἐγὼ γάρ φησιν ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι. διὰ τοῦτο καὶ ὁ μέγας Δαβὶδ οὐχὶ πληγὴν εἶπεν ἀλλὰ παράκλησιν ἐκ τῆς τοιαύτης γίνεσθαι ῥάβδου, λέγων Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν· δι᾽ ὧν γίνεται ἡ τῆς θείας αὐτῷ τραπέζης ἑτοιμασία καὶ ὅσα κατὰ τὸ ἀκόλουθον περιέχει ἡ ψαλμῳδία· καὶ τὸ ἐπὶ τῆς κεφαλῆς ἔλαιον καὶ ὁ τοῦ ποτηρίου ἄκρατος, ὁ τὴν νηφάλιον μέθην ἀπεργαζόμενος, καὶ ὁ καλῶς αὐτὸν καταδιώκων ἔλεος καὶ ἡ ἐν τῷ οἴκῳ τοῦ θεοῦ μακροβίωσις. εἰ οὖν ταῦτα παρέχει ἡ γλυκεῖα ἐκείνη πληγὴ κατά τε τὴν παροιμιώδη διδασκαλίαν καὶ κατὰ τὴν τοῦ προφήτου φωνήν, ἀγαθὸν ἄρα ἐστὶ τὸ παταχθῆναι τῇ ῥάβδῳ, ἀφ᾽ ἧς ἐστιν ἡ τῶν τοσούτων ἀγαθῶν εὐθηνία.

Μᾶλλον δὲ τὸ παρεθὲν πρὸ τῶν εἰρημένων διεξετάσωμεν· παρῆλθε τὴν νύμφην ὁ λόγος ἀνέφικτος τῇ λαβῇ τῆς ποθούσης

5-6 Deut 32, 39   8-9 Ps 22, 4   9-14 cf Ps 22, 5/6   12 ad νηφάλιον μέθην cf supra p 156, 16-20 et 308, 12-311, 7   15-17 cf ex. gr. Basil Quod deus non est auct mal p 337 B (PG 31, Migne)

ER^a ΛYSΘ Σ PVT C Syr   1 post τῇ add θείᾳ Syr   ante διὰ add ὡς Syr   2 ὡς ἀληθῶς om Syr   3 post θανάτου et iterat et del 361, 23 ἐὰν—2 ἀληθῶς R^a τὴν ψυχὴν om T   4 τοῦ: τοῦτο R^a (sed eras -το)   ἀποκτέννειν ER^aΘΣ: ἀποκτένειν ST ἀποκταίνειν P ἀποκτενεῖν Λ(corr -κτεινειν Λ^2)YVC^2(in ras) ἀποκτείνειν v   5-6 καὶ—πατάξω iterat Syr (scriba per dittogr)   6 κἀγὼ: καὶ ἐγὼ Σ καὶ C   ante διὰ add καὶ Syr   8 γενέσθαι T   9 post γίνεται add καὶ SΘv   ἡ om PVCv   τῆς om v   αὐτοῦ ΣS (ut vid)   αὐτῷ coll ante τῆς V post 10 τραπέζης T om v   10 τὸ om Λ(sscr Λ^2)Y   11 καὶ alt eras Λ   ante τοῦ add ἐπὶ PVC   12 νυφάλιον P νυμφάλιον R^a ἐργαζόμενος ER^av   13 αὐτὴν Θ   14 περιέχει PVC   15 κατά—καὶ om V   16 ἄρα om P eras C   17 ἧς: οὗ ER^av   ἡ om ER^av   τοιούτων Vv   18 παρ . . εθὲν E (eras 2 litt)   πρὸ: διὰ ΛY   πρὸ τῶν εἰρ.: τῶν προειρημένων PVC ἐνταῦθα Syr   ἐξετάσωμεν ΛYTv   19 ante παρῆλθε add ὧν ΛYSΘ   τῇ νύμφῃ v   ἀνέφικτος om Λ(add in marg Λ^2)Y   ποθουμένης T

γενόμενος· παρῆλθε δὲ οὐχ ὥστε καταλιπεῖν ἣν παρέδραμεν, ἀλλ᾽ ὥστε μᾶλλον αὐτὴν πρὸς ἑαυτὸν ἐπισπάσασθαι· φησὶ γὰρ ὅτι Ἡ ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ. ἐξέρχεται τοίνυν πρῶτον ἀπὸ τοῦ ἐν ᾧ ἦν ἡ ψυχὴ καὶ οὕτως ὑπὸ τῶν φυλασσόντων τὴν πόλιν εὑρίσκεται· Εὕροσαν γάρ με, φησίν, οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει. εἰ μὲν οὖν ἢ Κίνδυνοι ᾅδου εὗρον αὐτὴν ἢ λησταῖς αὐτὴν εὑρῆσθαι ἔλεγε, χαλεπὸν ἦν τὸ τῶν τοιούτων αὐτὴν εὕρημα γενέσθαι (Ὁ γὰρ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ), εἰ δὲ οἱ φύλακες αὐτὴν εὑρίσκουσιν οἱ κυκλοῦντες ἐν τῇ πόλει, μακαριστὴ πάντως ἐστὶ τῆς τοιαύτης εὑρέσεως· ὁ γὰρ ὑπὸ τοῦ φύλακος εὑρεθεὶς ὑπὸ λῃστῶν κλαπῆναι οὐ δύναται. τίνες οὖν εἰσιν οἱ φύλακες; τίνες ἄλλοι ἢ πάντως οἱ ὑπηρέται τοῦ φυλάσσοντος τὸν Ἰσραήλ, τοῦ διὰ τῆς

7 Ps 114, 3; cf Ps 117, 10-12   8-10 Joh 10, 10   14-p 364, 3 cf Ps 120, 4-8

ER^a ΛYSΘ Σ PVT C Syr   1 γινόμενος Y   οὐχὶ ΛYSΘ   ante καταλιπεῖν add καὶ ER^av   καταλειπεῖν ΣC(corr C^2)   ἣν παρέδραμεν om Syr   2 ἑαυτὴν C   ἐπισπᾶσθαι ΛY   3 ὅτι om ΛY   ἐν om Σ   αὐτοῦ om Θ   4 πρῶτον om R^av Syr   ὑπὸ: ἀπὸ v   5 φυλάκων τῆς πόλεως Syr   τὴν πόλιν om T   γάρ om P   5-6 φησὶ μὲ v   6 τὴν πόλιν (om ἐν) ER^av   ἢ: οἱ ΛYv   6-7 ἢ—λησταῖς: θλῖψις καὶ ὀδύνη εὗρον αὐτὴν ἢ κίνδυνοι ᾅδου ἢ λησταί Syr   7 ηὗρον Σ εὕροσαν (scil sec Ps 114, 3) VTC   λησταὶ Y Syr (v.s.) λῃστὰς v   αὐτὴν alt—ἔλεγε om Syr   αὐτὴν alt: ἑαυτὴν T   εὑρῆσθαι ER^aΘT: ηὑρῆσθαι ΛYS ἠυρεῖσθαι Σ εὑρήσεσθαι PVC εὑρέσθαι v   ἔλεγε correxi: λέγει codd v, scil per haplogr ε om   id est: interpres Syr verba de Ps 114, 3 allata sua sponte amplificavit nec non verba ἢ—λέγει emendare conatus est, cum intellexisset formam λέγει abhorrere a sententia irreali. Gregorius per scripturam exempla verbi εὑρίσκειν ad usum suum apta vestigans non invenit nisi unicum locum Ps 114, 3, quem spectatis fort versibus 10-11 Ps 117 coniunxit cum Joh 10, 8 sqq. et ante 6 ἢ nonnulla verba om (cf Syr) et subjectum verbi λέγει esse ὁ λόγος coniecit Jaeger.   8 τῶν om ER^av   αὐτὴν om V   εὕρημα ER^aVTv: εὕρεμα cett   εὕρεμα αὐτὴν ΛYSΘΣ   10 οἱ pr om T   11 τὴν πόλιν (om ἐν) T   πάντων Y   εὑρήσεως v   12 τοῦ om Σ   (τῶν) φυλάκων Syr   λῃστοῦ Syr   post λῃστῶν add πάντως V   13 τίνες ἄλλοι om V   τίνες ἄλλοι ἢ: δῆλον ὅτι Syr (fort = V)   14 οἱ om V   τοῦ φυλ.: οἱ φυλάσσοντες v   τοῦ φύλακος τοῦ Syr

φυλακῆς τὴν δεξιὰν χεῖρα σκεπάζοντος, τοῦ ἀπὸ παντὸς κακοῦ τὴν ψυχὴν φυλάσσειν πεπιστευμένου, ὃς καὶ εἰσόδου
1033 M. καὶ ἐξόδου γίνεται φύλαξ; ἐκεῖνός ἐστιν ὁ φύλαξ τῆς πόλεως περὶ οὗ φησιν ὅτι Ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. τὰ τοίνυν Λειτουργικὰ πνεύματα, τὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, ἐνδείκνυται διὰ τῶν φυλάκων ὁ λόγος τῶν κυκλούντων τὴν πόλιν. ψυχὴ δέ, καθὼς εἴρηται, ἡ πόλις ἐστί, τὸ τοῦ θεοῦ οἰκητήριον. παρὰ τούτων οὖν εὑρέθη, φησίν, ἡ ψυχή, ὡς εὑρέθη ποτὲ παρὰ τοῦ καλοῦ ποιμένος τὸ πρόβατον, ἐφ' οὗ πᾶσαι τῶν ἀγγέλων αἱ χορεῖαι πρὸς εὐφροσύνην συνεκινήθησαν κατὰ τὴν τοῦ κυρίου φωνήν. οὕτως εὑρέθη ποτὲ καὶ ἡ δραχμὴ ὑπὸ τοῦ λύχνου, ἐφ' ᾗ χαίρουσι πάντες οἱ φίλοι τε καὶ οἱ γείτονες. τοιοῦτον εὕρημα καὶ Δαβίδ, ὁ δοῦλος τοῦ κυρίου, γίνεται, καθὼς ἡ ψαλμῳδία φησὶν ἐκ προσώπου τοῦ θεοῦ ὅτι Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. ὃς ἐπειδὴ κτῆμα τοῦ εὑρόντος ἐγένετο, ἀκούσωμεν οἵων ἀξιοῦται· Ἡ χείρ μου, φησίν, συναντιλήψεται αὐτῷ καὶ ὁ βραχίων μου

4-5 Ps 126, 1 5-7 Hebr 1, 14 8 cf supra p 360, 15 9 cf II Cor 6, 16 ~ Lev 26, 12; I Cor 3, 16; cf supra p 168, 18 10-14 cf Luc 15, 4-10 16-17 Ps 88, 21 18-p 365, 3 Ps 88, 22-24

ER[a] ΛYSΘ Σ PVT C Syr 1 σκέποντος v 2 φυλάσσοντος (om πεπιστευμένου) Syr 2-3 εἴσοδος καὶ ἔξοδος V 3 γίνεται om v ἐκεῖνός—φύλαξ om E (add in marg E vel E[2]) 4 ὅτι om T ante πόλιν add τὴν YΛ (eras) 5 πνεῦμα E (corr E[2]) Θ τὰ alt om ΛYTC (add C[2]) 6 κληρονομεῖς R[a] (sed corr) 7 σωτηρίαν: βασιλείαν T 8 ἡ πόλις: ὁ λόγος v 9 τὸ om Λ (sscr Λ[2]) YT τούτω E (corr E[2]) οὖν om P ηὑρέθη ΛYΣC (corr C[2]) 9-10 φησὶν coll post ψυχὴ ΛY 10 ηὑρέθη ΛYΣC (corr C[2]) ποτὲ om PVC 11 οὗ ex corr C[2] ἀγελῶν v αἱ om R[a]ΘT 12 ἐκινήθησαν T 13 ηὑρέθη ΛYΣC (corr C[2]) post ποτὲ add φησὶ P ἡ: ἣν Θ om T δραγμὴ ΘP ᾗι corr in ras Λ[2] 14 οἱ alt om T εὕρημα T: εὕρεμα cett v 15 ante Δαβίδ add ὁ ER[a]SΘv ὁ: ὃς PV ὡς C post δοῦλος add μὲν V ὁ—κυρίου om Syr post καθὼς add καὶ ER[a]v 15-16 φησὶν coll ante ἡ T post θεοῦ PVC 17 μου alt om P ὃς: ὡς C (corr C[2]) 18 ἐγίνετο Θ οἷαν R[a] (sed corr) οἷον Σ ὧν SΘ 19 αὐτοῦ T

κατισχύσει αὐτόν· οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ καὶ υἱὸς ἀνομίας οὐ κακώσει αὐτόν, καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι· καὶ ὅσα ἄλλα ὁ τῆς εὐλογίας περιέχει κατάλογος. οὐκοῦν καλόν ἐστι τὸ εὑρεθῆναι ὑπὸ τῶν κυκλούντων τὴν πόλιν, τὴν ψυχήν, ἀγγέλων. οὕτω γὰρ νοεῖν ὁ μέγας Δαβὶδ ὑποτίθεται λέγων Παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς. οὐκοῦν ἡ εἰποῦσα ὅτι οἱ φύλακές με ἐπάταξαν, προσθήκην τινὰ γεγενῆσθαι αὐτῇ τῆς ἐπὶ τὸ ἄνω προκοπῆς ἐκαυχήσατο. εἰ δὲ καὶ ἐν τραύματι γεγενῆσθαι λέγει, τὸν ἐν βάθει γενόμενον αὐτῇ διὰ τῆς θείας ῥάβδου τύπον τῷ λόγῳ παρίστησιν· οὐ γὰρ ἐπιπολαίως τῆς πνευματικῆς ῥάβδου τὴν ἐνέργειαν ἐφ' ἑαυτῆς δέχεται, ὡς μὴ ἐπιγνωσθῆναι τὸν τόπον ἐν ᾧ τὴν ῥάβδον ἐδέξατο, ἀλλ' ἐπίσημος διὰ τοῦ τραύματος γίνεται ἡ πληγὴ ᾗ ἐγκαυχᾶται ἡ νύμφη. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· ἡ θεία ῥάβδος ἐκείνη καὶ ἡ παρακλητικὴ βακτηρία, ἡ διὰ τοῦ πατάσσειν ἐνεργοῦσα τὴν ἴασιν, τὸ πνεῦμά ἐστιν, οὗ καρπὸς τά τε ἄλλα τῶν ἀγαθῶν ὅσα ὁ Παῦλος

7-8 Ps 33, 8 17 cf Ps 22, 4 17-18 cf Deut 32, 39 19-p 366, 2 cf Gal 5, 22

ER[a] ΛYSΘ Σ PVT C Syr 1-2 οὐκ—αὐτόν om v 2 κακώσει EPVTC Syr: προσθήσει τοῦ κακῶσαι (scil sec alt rec LXX) R[a]E[2]ΛYSΘΣ 3 τοὺς pr om V τοὺς ἐχθροὺς αὐτοῦ om Σ 3-4 post τροπώσομαι add καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ (scil de Ps 88, 25) PVC 5 τὸ om v 5-6 ὑπὸ τῶν κυκλούντων coll ante ἀγγέλων V τὴν πόλιν τὴν ψυχήν ER[a]v: ἐν τῇ πόλει, τῇ ψυχῇ Syr (fort recte, sed cf supra p 364, 8) ἐν τῇ ψυχῇ πόλει V τὴν ἐν τῇ ψυχῇ πόλει T (super -ει sscr ϊν) τὴν ἐν τῇ ψυχῇ πόλιν cett 7 ante ἄγγελος add ὁ Vv 8 τῶν: τὸν R[a] αὐτῶν E (corr E[2]) ἡ om PVC 10 αὐτῆς Vv 10-11 αὐτῇ—γεγενῆσθαι om T 11 τραύμασι Θ τὸ E (corr E[2]) et τὴν et γενομένην v 12 ante τῦπον (sic) add τὸν R[a] τύπτων YΛ (fort, corr Λ[2]) 13 ἐπιπόλαιον ER[a]Tv de paraphr Syr non liquet ἐ . . . φ' E (exp et eras 3 vel 4 litt) 14 τόπον ER[a]v Syr (ut vid): τύπον cett (sed P corr) 15 γίνεται TC: γίνεται δείκνυται YΛ (eras γίνεται) δείκνυται cett v de paraphr Syr non liquet 16 post ᾗ add τινι V τοιούτων C (corr C[2]) 19 τε om P post ἄλλα add ἐστὶ ΛYSΘT ὅσας C (eras -ς) ὁ om Vv

ἠρίθμησε, καὶ μετὰ τῶν ἄλλων ἡ παιδαγωγὸς τῆς ἐναρέτου πολιτείας ἐγκράτεια. οὕτω γὰρ καὶ Παῦλος, ὁ τῶν τοιούτων πληγῶν στιγματίας, τοῖς τραύμασι τούτοις ἐπαγαλλόμενος ἔλεγεν ὅτι Τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματί μου περιφέρω, δεικνὺς τὴν ἐν παντὶ κακῷ ἀσθένειαν, δι' ἧς ἡ κατὰ Χριστὸν δύναμις ἐν ἀρετῇ τελειοῦται. καλὸν οὖν καὶ τὸ τραῦμα διὰ τῶν εἰρημένων ἡμῖν ἀναπέφηνε, δι' οὗ γέγονεν αὐτῇ τοῦ θερίστρου ἡ περιαίρεσις, ὥστε ἀνακαλυφθῆναι τὸ τῆς ψυχῆς κάλλος μηκέτι ἐπισκοτοῦντος τοῦ ἐπιβλήματος.

Ἀλλ' ἐπαναλάβωμεν πάλιν ἀνακεφαλαιωσάμενοι τὴν τῶν εἰρημένων διάνοιαν· ἡ πρὸς τὸν θεὸν ὁρῶσα ψυχὴ καὶ τὸν ἀγαθὸν ἐκεῖνον πόθον τοῦ ἀφθάρτου κάλλους ἀνα-
1036 M. λαμβάνουσα ἀεὶ νέαν τὴν πρὸς τὸ ὑπερκείμενον ἐπιθυμίαν ἔχει οὐδέποτε κόρῳ τὸν πόθον ἀμβλύνουσα. διὰ τοῦτο πάντοτε τοῖς ἔμπροσθεν ἐπεκτεινομένη οὐ παύεται καὶ ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἐξιοῦσα καὶ πρὸς τὸ ἐνδότερον εἰσδυομένη ἐν ᾧ οὔπω ἐγένετο καὶ τὸ πάντοτε θαυμαστὸν αὐτῇ καὶ μέγα φαινόμενον κατώτερον ποιουμένη τοῦ ἐφεξῆς διὰ τὸ περικαλλέστερον πάντως εἶναι τοῦ προκατειλημμένου τὸ ἀεὶ εὑρισκόμενον, καθὼς καὶ ὁ Παῦλος καθ' ἡμέραν ἀπέθνησκεν, ἐπειδὴ πάντοτε πρὸς καινήν τινα μετῄει ζωὴν νεκρὸς ἀεὶ τῷ παρῳχηκότι γινόμενος καὶ λήθην τῶν προδιηνυσμένων ποιούμενος. διὰ τοῦτο καὶ ἡ πρὸς τὸν νυμφίον τρέχουσα νύμφη

4-5 Gal 6, 17; cf II Cor 4, 10 (περιφέρω) 5-6 cf II Cor 12, 9 11-14 cf Origen De princ I 3, 8 = p 62, 15-63, 3 20 cf I Cor 15, 31 21-23 cf Phil 3, 10-13

ER^{a} ΛYSΘ Σ PVT C Syr 1 ἀπηρίθμησε ΛYSΘ obstat claus 2 post καὶ add ὁ T 3 ἐπαγγόμενος R^{a} ἐπαγγελλόμενος P 4 μου om PVC 7 ἐναπέφηνε YΘPVT 8 ἡ coll ante τοῦ ΛY περιαίρεσιν R^{a} 9 ante τὸ add αὐτῇ ER^{a}v τὸ τῆς ψυχῆς om Θ post ψυχῆς add αὐτῆς Syr ἐπισκοποῦντος Λ(corr Λ^{2}) Y 10 ἐπανακεφαλαιωσάμενοι C 13 πρὸς τὸ ὑπερκείμενον om Syr 14 κόρον τοῦ πόθου λαμβάνουσα T πάντοτε om P 16 ἐξοιοῦσα R^{a} ἀξιοῦσα Y τὸ: τὸν ER^{a}v 17 καὶ alt om C (sscr C^{2}) 19 εἶναι πάντως ΛY 21 μετίη C(corr C^{2}) μετείη v 22 γενόμενος R^{a}ΛYP προδιηνυσμένων ER^{a}v Syr: διηνυσμένων cett

στάσιν τινὰ τῆς ἐπὶ τὸ μεῖζον προκοπῆς οὐχ εὑρίσκει· παραδείσους ποιεῖ ῥοῶν διὰ στόματος ἀρώματα ῥέοντας, τροφὴν ἑτοιμάζει τῷ δεσπότῃ τῆς κτίσεως τοῖς ἰδίοις αὐτὸν δεξιουμένη καρποῖς, πηγάζει κήπους, φρέαρ γίνεται ὕδατος ζῶντος, ὅλη καλὴ καὶ ἄμωμος δείκνυται κατὰ τὴν μαρτυρίαν τοῦ λόγου. πάλιν ὑπὲρ ταῦτα γενομένη αἰσθάνεται μεγαλοπρεπέστερον προσιόντος τοῦ λόγου, πληρουμένου κατὰ τὴν κεφαλὴν τῆς δρόσου καὶ τῶν τῆς νυκτὸς ψεκάδων τῶν ἐν τοῖς βοστρύχοις γινομένων, νίπτεται τοὺς πόδας, τὸν χιτῶνα ἐκδύεται, σμύρναν διὰ τῶν χειρῶν ἀποστάζει, προσάγει τῷ κλείθρῳ τὰς χεῖρας, ἀνοίγει τὴν εἴσοδον, ζητεῖ τὸν μὴ καταλαμβανόμενον, φωνεῖ τὸν ἀνέφικτον, εὑρίσκεται ὑπὸ τῶν φυλάκων, δέχεται ἐφ' ἑαυτῆς τὴν πατάσσουσαν ῥάβδον, μιμεῖται τὴν πέτραν περὶ ἧς φησιν ὁ προφήτης ὅτι Ἐπάταξε πέτραν καὶ ἐρρύησαν ὕδατα. ὁρᾷς εἰς ὅσον ἀνέδραμεν ὕψος ἡ νύμφη· διὰ τοῦτο πατασσομένη ὥσπερ ἡ ἀκρότομος ὑπὸ τοῦ Μωϋσέως, ἵνα καθ' ὁμοιότητα ἐκείνης καὶ αὕτη πηγάσῃ τοῖς διψῶσι τὸν

2 cf Cant 4, 13/14; cf supra p 281, 2-291, 15 3-4 cf Cant 4, 16; cf supra p 303, 3-305, 13 4-5 cf Cant 4, 15; cf supra p 291, 16-293, 20 5 cf Cant 4, 7 8-9 cf Cant 5, 2 9-10 cf Cant 5, 3 10-11 cf Cant 5, 5 11-14 cf Cant 5, 6/7 15-16 Ps 77, 20 17 cf Exod 17, 6; Deut 8, 15; Ps 113, 8

ER^{a} ΛYSΘ Σ PVT C Syr 1 ante στάσιν sscr ἐπειδὴ C^{2} 2 παραδείσου C(sscr -ς C^{2}) post διὰ add τοῦ V ἀρώματος ΣP ῥέοντα Y 3 κτήσεως Y 4 πηγάζει κήπους coll post 5 ζῶντος S(corr S^{2}) 5 καλὴ om R^{a} καὶ om VC(sscr C^{2}) καὶ ἄμωμος om Syr 5-8 κατὰ—κατὰ corr in ras 1 lin T^{2} 6 γινομένη Θ 7 μεγαπρεπέστερον E(sscr λο E^{2}) προσιόντος Λ(corr προϊό. Λ^{2}) YSΘΣ Syr: προϊόντος cett v 8 πληρουμένης P Syr(add antea καὶ) κατὰ τὴν: τῆς Syr τὴν om P κεφαλῆς P Syr 9 ἐν: ἐπὶ P γινομένω Y γενομένων S 10 διὰ: ἀπὸ vel om Syr sed cf explicat p 343, 16 sqq: scil τὸ νεκρῶσαι fit διὰ τῶν ἔργων vel δι' ἀρετῆς 12 post εἴσοδον add τῷ νυμφίῳ, ἐξέρχεται μετὰ τὸν παρερχόμενον Syr (cf additam. ad p 356, 18 et 357, 1) τὸν pr: τὸ ER^{a}T 13 ἐφ': ἀφ' C(corr C^{2}) 15 ἐπάταξαν C ἔρρυσαν v 16 οἷον Syr ὕψος ἀνέδραμεν ΣT 17 ex ὑπὸ corr ἐπὶ Λ^{2} μωσέως V μωσέος Λ μωυσέος YT 18 αὐτὴ ΛSΘΣPTC Syr αὐτὴν Y πηγάσει R^{a}ΛYΣ τοῖς διψῶσι καὶ αὐτὴ πηγάσῃ T

λόγον ἐκ τῆς πληγῆς ἀνομβρήσαντα. εἶτα ἐπὶ τούτοις γυμνοῖ τὸ κάλλος τῆς ὄψεως τῶν φυλάκων αὐτῆς περιελόντων τὸ θέριστρον. ταῦτά ἐστιν ἃ κατὰ τὸν τόπον τοῦτον ἡμεῖς καταλαβεῖν ἠδυνήθημεν. φθόνος δὲ οὐδεὶς γενέσθαι τινὶ παρὰ τοῦ ἀποκαλύπτοντος τὰ κεκρυμμένα μυστήρια ψυχωφελεστέραν τινὰ θεωρίαν ἐν τοῖς προκειμένοις.

Ἴσως δὲ φήσει τις καὶ τοῦ Ἠσαΐου τὴν ὀπτασίαν ἔχειν τινὰ πρὸς τὰ προκείμενα ῥητὰ κοινωνίαν· ἐκείνην λέγω τὴν ὀπτασίαν, ὅτε ἀποθανόντος τοῦ λεπροῦ βασιλέως ἑωρακέναι φησὶ τὸν ἐπὶ τοῦ ὑψηλοῦ τε καὶ ἐπηρμένου θρόνου μεγαλοπρεπῶς προκαθήμενον, οὗ σχῆμα μὲν καὶ εἶδος καὶ μέγεθος ἰδεῖν οὐκ ἐχώρησεν (ἦ γὰρ ἂν εἶπε πάντως, εἴπερ ἐχώρησε, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ὧν εἶδεν ἐποίησε πτέρυγας ἀριθμήσας καὶ στάσιν καὶ πτῆσιν διηγησάμενος), φωνῆς δὲ μόνης ἀκηκοέναι φησίν, ὅτε ἐπήρθη τὸ ὑπέρθυρον ὑπὸ τῆς τῶν Σεραφὶμ ὑμνῳδίας καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ καὶ δι' ἑνὸς τῶν Σεραφὶμ ἐπεβλήθη τῷ στόματι τοῦ προφήτου διάπυρος ἄνθραξ, οὗ γενομένου οὐ τὰ χείλη μόνον ἀλλὰ καὶ ἡ ἀκοὴ πρὸς τὴν τοῦ λόγου ὑποδοχὴν καθαρίζεται. ὡς γὰρ

2-3 cf Ambros De Isaac (= Origen Comm) 6, 55 (p 679, 16 sqq): 'tulerunt ei pallium quaerentes, si verum decorem nudae virtutis adferret'. nota bene explicationem Origenis spectare ad virtutem, Gregorii ad contemplationem mysticam, sed Gregorium illam prorsus negare noluisse. 7-19 cf Isai 6, 1-8 9 λεπροῦ βασιλέως: cf II Paralip 26, 19-23

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐκ—ἀνομβρήσαντα om Syr πληγῆς ΘΣT: πηγῆς cett v ἀνομβρήσασα PVC sed ad sens. intransit. cf supra p 321, 11 2 γυμνοῦται Syr post ὄψεως add αὐτῆς Syr περιαιρόντων PVC 3 τρόπον V 3-4 ἡμεῖς coll ante ἠδυνήθημεν ΛYSΘPVC (ἡμᾶς, corr C^2) post ἠδυν. T 4 καταλαμβάνειν PC ἐδυνήθημεν Θ οὐδεῖ Λ (sscr -ς Λ^2) Y γενέσθω P 6 τινά: τὴν ER^{a}v ἐν om Σ ἐν τοῖς προκειμένοις om Syr post προκειμένοις add εὑρεῖν P 7 φήσι E (sscr ε E^2) R^a φησὶ PC φήσειέν VT τις coll post δέ ER^{a}v 8 ῥήματα T 10 τε om VT 12 μέγεθος καὶ εἶδος ER^{a}v ἂν om Θ 12-13 ἦ—ἐχώρησε om PVC 13 (εἴπ)ερ corr in ras E^2 ἰδεῖν P ἴδεν C (ut vid, corr C^2) 15 ὅτε: ὅτι Y ὑπέρθερον Y 16 σεραφεὶμ E (corr E^2) ΣC ἐνεπλήσθη PVC 17 σεραφεὶμ EΣ ἐνεβλήθη PC 19 ὑποδοχήν: ὑπακοὴν SΘ

ἐνταῦθα παταχθῆναι λέγει καὶ τραυματισθῆναι παρὰ τῶν φυλάκων ἡ νύμφη καὶ οὕτω γυμνωθῆναι τῆς τοῦ θερίστρου περιβολῆς, οὕτω κἀκεῖ ἀντὶ μὲν τοῦ θερίστρου τὸ ὑπέρθυρον
1037 M. αἴρεται, ὥστε ἀνεμπόδιστον αὐτῷ γενέσθαι τῶν ἐν τοῖς ἀδύτοις τὴν θεωρίαν, ἀντὶ δὲ τῶν φυλάκων τὰ Σεραφὶμ ὀνομάζεται, ἀντὶ δὲ τῆς ῥάβδου ὁ ἄνθραξ. ἀντὶ δὲ τῆς πληγῆς ἡ καῦσις. κοινὸν δὲ τὸ πέρας ἐπί τε τῆς νύμφης καὶ ἐπὶ τῆς τοῦ προφήτου ψυχῆς ἡ καθαρότης ἐστίν. ὡς οὖν ὁ προφήτης διὰ τοῦ ἄνθρακος οὐχὶ ἀλγύνεται καιόμενος, ἀλλὰ δοξάζεται λαμπρυνόμενος, οὕτω καὶ ἐνταῦθα ἡ νύμφη, οὐκ ὀδύνην ἐκ τῆς πληγῆς αἰτιᾶται, ἀλλ' ἐπικαυχᾶται τῇ τῆς παρρησίας προσθήκῃ ἐν τῇ ἀφαιρέσει τοῦ προκαλύμματος, ὃ θέριστρον ὁ λόγος ὠνόμασεν.

Ἔστι δέ τινα καὶ ἄλλην διάνοιαν ἐν τοῖς προκειμένοις εὑρεῖν οὐδὲν τῶν τεθεωρημένων ἀπᾴδουσαν· ἡ γὰρ ἐξελθοῦσα ψυχὴ ἐν τῷ λόγῳ αὐτοῦ καὶ ζητοῦσα μὲν τὸν οὐχ εὑρισκόμενον, ἀνακαλοῦσα δὲ τὸν τῇ σημασίᾳ τῶν ὀνομάτων ἀνέφικτον διδάσκεται παρὰ τῶν φυλάκων ὅτι τοῦ ἀνεφίκτου ἐρᾷ καὶ τοῦ ἀκαταλήπτου ἐφίεται. δι' ὧν τρόπον τινὰ πλήσσεται καὶ τραυματίζεται τῇ ἀνελπιστίᾳ τοῦ ποθουμένου ἀτελῆ τε καὶ ἀναπόλαυστον τοῦ καλοῦ τὴν ἐπιθυμίαν νομίσασα. ἀλλὰ περιαιρεῖται τὸ τῆς λύπης θέριστρον διὰ τοῦ μαθεῖν ὅτι τὸ ἀεὶ προκόπτειν ἐν τῷ ζητεῖν καὶ τὸ μηδέποτε τῆς

11-12 cf II Cor 3, 12/13 20-21 cf supra p 137, 4-138, 18

ER^a ΛYSΘ Σ PVT C Syr 4 αὐτὸν Λ (corr Λ^2) YC (fort, eras et corr C^2) τῶν: τὴν S (ut vid) τὸν V 5 σεραφεὶμ E (corr E^2) Σ 6 ὁ om Σ δὲ alt om P 7 κοινὴν Y τὸ om Θ 9 διά: ὑπὸ C τοῦ: τῆς P οὐχί: οὐκ PVC 11 αἰτιᾶται: δέχεται Syr 12 ἐν om ER^{a}v διὰ τῆς ἀφαιρέσεως Syr 14 τινὰ coll post ἄλλην ER^{a}v om Syr 15 προτεθεωρημένων SΘ τῆς προτεθεωρημένης Syr ἀποδέουσαν Σ 16 αὐτῶ P οὐχὶ P 17 ἀνακυκλοῦσα ER^{a}Λ^2 (corr in ras) ἀναλίσκουσα P τῆς σημασίας E (corr E^2) 19 ὧν: ὃν ΛYC (corr C^2) 20 τοῦ om V eras et corr in ras τῆς καταλήψ (scil -εως) C^2 ποθουμένου om PVC 21 καλοῦ: ἄλλου ER^{a}Λ^2 (e καλοῦ) v 22 τοῦ: τὸ ΘP 23 τὸ pr: τοῦ T προκόπτον YSΘP (fort, certe legi nequit) ante ἐν add χρὴ P τὸ alt: τῶ P (corr e τὸ) C (corr C^2) om T

ἀνόδου παύεσθαι τοῦτό ἐστιν ἡ ἀληθὴς τοῦ ποθουμένου ἀπόλαυσις τῆς πάντοτε πληρουμένης ἐπιθυμίας ἑτέραν ἐπιθυμίαν τοῦ ὑπερκειμένου γεννώσης. ὡς οὖν περιείλετο τῆς ἀνελπιστίας τὸ θέριστρον καὶ εἶδε τὸ ἀόριστόν τε καὶ ἀπερίγραπτον τοῦ ἀγαπωμένου κάλλος ἐν πάσῃ τῇ ἀϊδιότητι τῶν αἰώνων κρεῖττον ἀεὶ εὑρισκόμενον, ἐν σφοδροτέρῳ τείνεται πόθῳ καὶ μηνύει τῷ ἀγαπωμένῳ διὰ τῶν τῆς Ἱερουσαλὴμ θυγατέρων τὴν τῆς καρδίας διάθεσιν, ὅτι τὸ ἐκλεκτὸν τοῦ θεοῦ βέλος ἐν ἑαυτῇ δεξαμένη διὰ τῆς κατὰ τὴν πίστιν ἀκίδος βέβληται τὴν καρδίαν ἐν τῷ καιρίῳ δεξαμένη τὴν τῆς ἀγάπης τοξείαν. θεὸς δέ ἐστιν ἡ ἀγάπη, κατὰ τὴν Ἰωάννου φωνήν, ᾧ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος ιγ'

Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλήμ, (5, 8)
ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ,
ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, ἀπαγγείλατε αὐτῷ,

4-7 cf De beatitud p 1269 D(Migne) 7-11 cf Cant 5, 8; cf infra p 377, 13-378, 21; cf Cant 2, 5/6; cf supra p 127, 7-129, 19 11-12 cf I Joh 4, 8

ER^a ΛYSΘ Σ PVT C Syr 1 τουτέστιν ER^aC(corr E^2C^2)v ἡ om PV 2 πληρούσης P(sscr πεπληρωμένης) 3 περιείλατο ΥΣPTC 4 ἴδε EC^2(ex εἶδεν)v ἀόριστόν: ἀνέλπιστον ER^av 4-5 τε καὶ ἀπερίγραπτον om Syr 5 κάλλους PT εὐιδιότητι P 6 τῶν αἰώνων om SΘ post ἀεὶ add τὸ P 7 τείνεται (cf infra p 383, 9) ER^av Syr: γίνεται cett τῆς om C(add C^2) 9 τοῦ θεοῦ βέλος coll post δεξαμένη T βέλος τοῦ θεοῦ ER^aPv αὐτῇ Θ 12 πρέπει om S ἡ om ER^aΣTCv καὶ τὸ κράτος om SPVC τὸ om Σ 13 τῶν αἰώνων om SPTC ἀμήν om P post ἀμήν add ἐτελειώθη λόγος τρίτος καὶ δέκατος Syr 14 λόγος ιγ R^a(in marg)ΛΥ$Σ^2$(in marg)VT: ϊγ Θ ιβ C(an C^2?) τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος ιγ Σ λόγος τέταρτος καὶ δέκατος Syr ὁμιλία ιγ Sv τοῦ αὐτοῦ ὁμιλία ιγ ER^a om tit P 16 ἀγροῦ: δρυμοῦ ER^a 17 post μου cum alt recensione LXX et hic et infra 374, 19 add τί codd v neque hic neque illic habet Syr. in explicatione non invenitur (cf etiam supra lin 7: καὶ μηνύει). ἀπαγγείλατε P(super α tert sscr ε)C Syr LXX (cod Sin, nota bene om τί): ἀπαγγείλητε ER^aΛYSΘΣ(-ται)v LXX(cett codd) ἀπαγγελῆτε V ἀπαγγελεῖτε T

ὅτι τετρωμένη ἀγάπης εἰμὶ ἐγώ.
Τί ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; (9)
τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς;
Ἀδελφιδός μου λευκὸς καὶ πυρρός, (10)
ἐκλελοχισμένος ἀπὸ μυριάδων·
Κεφαλὴ αὐτοῦ χρυσίον κεφάζ, (11)
βόστρυχοι αὐτοῦ ἐλάται, μέλανες ὡς κόραξ,
Ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα [ὑδάτων (12)
λελουμέναι ἐν γάλακτι
καθήμεναι ἐπὶ πληρώματα ὑδάτων.

Ὁ διὰ Μωϋσέως μὲν νομοθετήσας τὰ τοῦ νόμου μυστήρια, πληρώσας δὲ δι' ἑαυτοῦ ὅλον τὸν νόμον καὶ τοὺς προφήτας, καθὼς ἐν τῷ εὐαγγελίῳ φησὶν ὅτι Οὐκ ἦλθον καταλῦσαι
1040 M. τὸν νόμον, ἀλλὰ πληρῶσαι, ὁ τῇ μὲν ἀναιρέσει τῆς ὀργῆς συνεξαλείψας τὸν φόνον, τῷ δὲ ἀφανισμῷ τῆς ἐπιθυμίας συνεξελὼν τῆς μοιχείας τὸ ἄγος, οὗτος ἐκβάλλει τοῦ βίου καὶ τὴν ἐκ τῆς ἐπιορκίας κατάραν τῇ ἀπαγορεύσει τοῦ ὅρκου πεδήσας ἐν ἀπραξίᾳ τὸ δρέπανον· οὐ γάρ ἐστι δυνατὸν ὅρκου γενέσθαι παράβασιν μὴ ὄντος ὅρκου. διό φησιν

13-14 Matth 5, 17 14-15 cf Matth 5, 22 15-16 cf Matth 5, 28 18 cf Zach 5, 1-4

ER^a ΛYSΘ Σ PVT C Syr 1 εἰμὶ om R^aΘ ἐγώ om ΣT ἐγώ εἰμι v 2 τί—γυναιξίν om ΘP σου om VC ante ἡ add ἀπὸ ἀδελφιδοῦ ER^aΛΥΣVTCv LXX add ἀπὸ ἀδελφιδῶν Syr at cf p 379, 3 et 380, 9 ἡ: ὦ v 3 τί—ἀδελφιδοῦ om v σου om PVC ἀδελφιδῶν Syr οὕτως coll post ἡμᾶς ER^a ὥρκισα ὑμᾶς ΛΥC(corr C^2) 4 καὶ om P πυρός Θ(sscr ρ alt $Θ^1$)V 6 κηφάζ ΘT Κεφὰς v ··· φάζ C(corr in ras 3 litt κε C^2) καὶ φαζ LXX 8 ante ὀφθαλμοὶ add οἱ codd praeter SΘ at cf p 393, 12 πληρώματος PV(πρηρ-) 10 πληρώματος PV 11 μωϋσέος ΛYST μωσέως PV μὲν om Σ 12 δι' αὐτοῦ P(sed corr) διὰ τοῦ υἱοῦ V 14 ἀφαιρέσει P 15 φόβον R^aE^2(e φόνον) δὲ om P 16 συνεξελαύνων ER^av ante τοῦ add ἐκ T 18 ἐν ἀπραξίᾳ om Syr ἀκρασία Λ(corr $Λ^2$)Y post ἀπραξία eras 2 litt (σι ut vid)E post δρέπανον add ὃ εἶδεν ὁ μακάριος Ζαχαρίας Syr ἔσται V

Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ κυρίῳ τοὺς ὅρκους σου. ἐγὼ δὲ λέγω σοι, φησί, μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ θεοῦ, μήτε ἐν Ἱεροσολύμοις, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως, μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι ποιῆσαι τρίχα λευκὴν ἢ μέλαιναν. ἔστω δὲ ὑμῶν ὁ λόγος τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ διαβόλου ἐστίν. ἡ δὲ διὰ τοῦ Ἄισματος τῶν Ἀισμάτων ἐπὶ τελειότητι μεμαρτυρημένη ψυχὴ καὶ περιελομένη μὲν τῆς καρδίας τὸ κάλυμμα ἐν τῇ ἀπεκδύσει τοῦ παλαιοῦ χιτῶνος, τοῦ δὲ προσώπου τὸ θέριστρον ἀποβαλοῦσα, ὅπερ νοοῦμεν πᾶσαν διστάζουσάν τε καὶ κραδαινομένην διάνοιαν, ὥστε καθαρῶς τε καὶ ἀναμφιβόλως πρὸς τὴν ἀλήθειαν βλέπειν, ὁρκίζει τὰς θυγατέρας Ἰερουσαλὴμ οὔτε κατὰ τοῦ θείου θρόνου, ὃν οὐρανὸν ὀνομάζει ὁ λόγος, οὔτε κατὰ τῶν τοῦ θεοῦ βασιλείων, οἷς ὄνομά ἐστιν Ἱεροσόλυμα, οὐ μὴν οὐδὲ κατὰ

1-8 Matth 5, 33-37 9-10 cf II Cor 3, 15/16 10 cf Col 2, 11; 3, 9; cf supra p 327, 14-329, 14 9-13 cf Origen De princ I 1, 2 (p 18, 9-19)

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὅτι: τί V τοῖς om v 2 ante κυρίῳ add τῷ ER^aVv δὲ alt om v σοι om TC φησί coll ante λέγω T om SΘ 3 et corr in ras (ὀμο)'σαι· μή(τε) et sscr ὅλως E^2 post ὅτι add ὁ ΛY 4 post θεοῦ add μήτε ἐν τῇ γῇ· ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ (scil de Matth 5, 35) ΛYSΘSyr quae verba Gregorius ut explicationi suae minus apta omisisse videtur (cf infra 14-16; 374, 9-10. at cf additam. Syr ad lin 10). similitudinem quae est inter γῆν et ἀγρόν fugit. Ἰερουσαλήμ ER^aTP(sscr οις)v 5 ὀμόσεις ER^aΛYv om Θ δύναται C(corr C^2) 6 ante τρίχα add μίαν (scil de Matth 5, 36) C^2(sscr) Syr τρίχαν V μέλαινα Θ ἔσται ΛY ὁ λόγος ὑμῶν T 7 περισσότερον ER^av 8 διαβόλου: πονηροῦ Syr (sec Matth 5, 37) διὰ τοῦ: δι'αὐτοῦ Λ(corr $Λ^2$) 9 καὶ om T μὲν om SΘPVC 10 καρδίας: ψυχῆς v 11 δὲ: τε ER^av θερίστρου τὸ πρόσωπον ΛYSΘ 12 διαστάζουσάν YΛ(ut vid, corr $Λ^2$) 13 τε om ΛYSΘΣT πρὸς τὴν ἀλήθειαν om T 14 ὁρκίζεται P 15 post λόγος add οὔτε κατὰ τῆς γῆς ἢ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ ὀνομάζεται Syr (interpres sua sponte ut vid, cf supra 4) τοῦ om PTv θεοῦ: θείων T 16 Ἰερουσαλήμ ER^aP(sscr α)v ἱερώτατον V οὐ μὴν om P Syr οὐδὲ T: οὔτε cett v

τῆς κεφαλῆς τῆς τιμίας, ἧς αἱ τρίχες οὔτε λευκαὶ οὔτε μέλαιναι γενέσθαι δύνανται, ἀλλ' ἐπὶ τὸν ἀγρὸν μεταφέρει τὸν ὅρκον κατὰ τῶν ἐν αὐτῷ δυνάμεων τὸν ὁρκισμὸν ἐπάγουσα ταῖς νεάνισι λέγουσα· Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. ὅτι μὲν οὖν ἡ δι' ὅλου μαρτυρηθεῖσα εἶναι καλὴ καὶ παντὸς καθαρεύουσα μώμου οὐδὲν φθέγγεται τῶν περιττῶν, ὃ τῆς τοῦ διαβόλου μερίδος ἐστίν, ἀλλ' ἐκ τοῦ θεοῦ ποιεῖται τὸν λόγον, παρ' οὗ κατὰ τὸν Μιχαίαν εἴ τι ἀγαθόν ἐστι καὶ εἴ τι καλὸν καὶ παρὰ ταῦτα οὐδέν, παντὶ δῆλόν ἐστι τῷ διὰ τῆς δεσποτικῆς μαρτυρίας διδαχθέντι τὰ προσόντα τῇ νύμφῃ πλεονεκτήματα. ἦ γάρ; ἀφεῖσα πάντα τὰ ἀπηγορευμένα εἴδη τοῦ ὅρκου καὶ μήτε τὴν βασιλεύουσαν πόλιν μήτε τὸν θρόνον τοῦ μεγάλου βασιλέως ὅρκιον ταῖς νεάνισι ποιησαμένη (διὰ τούτου γὰρ παιδευόμεθα πόσον ἀπέχειν ἡμᾶς χρὴ τοῦ κατατολμᾶν τοῦ θεοῦ ἐν τοῖς ὅρκοις, ὅτι οὔτε τὸν θρόνον οὔτε τὴν πόλιν ἐν τῷ ὅρκῳ παραλαμβάνειν ἐπιτρεπόμεθα) φεισαμένη τε πρὸς τούτοις τῆς κεφαλῆς τῆς τιμίας, ἣν ἐν τοῖς ἐφεξῆς χρυσῆν εἶναι διαγράφει τῷ λόγῳ, ἧς αἱ τρίχες οὔτε λευκαί εἰσιν οὔτε μέλαιναι (πῶς γὰρ ἂν ἢ μελανθείη χρυσὸς ἢ πρὸς τὸ λευκὸν εἶδος μεταχρωσθείη;); πάντως, ὅτι τοιοῦτόν τινα προτείνει τὸν

1-2 et 18-21 cf Cant 5, 11 4-5 Cant 5, 8 6-7 cf Cant 4, 7 9 cf Zach 9, 17

ER^a ΛYSΘ Σ PVT C Syr 1 τὴν κεφαλὴν C(corr C^2) 2 μέλαναι YP μέλανες C μὲν φέρει CP(μὲν fort e corr) 3 ὁρκισμὸν: ὅρκον Λ(corr $Λ^2$)YSΘ 4 ταῖς—λέγουσα om P 5 ἐν ταῖς alt iterat R^a om v ἀγροῦ: δρυμοῦ v 5-6 μὲν οὖν: δὲ Syr 6 οὖν om V 6-7 καὶ—μώμου om Syr 7 μώμου om P 9 Μιχαίαν: ζαχαρίαν ΛYSΘ scil correxit archetypus codd ΛYSΘ lapsum memoriae Gregorii, cf supra p 217, 10 10 καὶ—οὐδέν om Syr 11 διὰ: παρὰ ER^av διδαχθέντα Y διαταχθέντι V προόντα P 12 ἦ γάρ; scripsi: ἦ γὰρ sensu affirmativo Syr ἡ γὰρ vel ἣ γὰρ codd v (γ)ὰρ e corr C vel C^2 ἀφήσασα T 13 τὰ εἴδη (sic) coll ante 12 τὰ Σ 14 ὅρκον TC 14-15 ποιησαμένη coll ante ταῖς SΘ 15 τοῦτο P ὁπόσον Σ 15-16 ἡμᾶς ἀπέχειν PVTC 16 ὅτι: ὅτε Σ 17 ἐν om PVC 19 ἑξῆς Σ 20 μελαναί PC(ut vid, corr C^2) 21 ἂν om ΣPV 22 πάντως: πῶς P

ὁρκισμὸν ταῖς παρθένοις, ὃς οὔτε τῷ εὐαγγελικῷ μάχεται νόμῳ καὶ ἐπαίνου γίνεται τοῖς ὀμωμοκόσιν ὑπόθεσις κατὰ τὴν τοῦ προφήτου φωνὴν ἥ φησιν ὅτι Ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὥστε τὴν τῶν λεγομένων διάνοιαν μὴ ἔξω εἶναι τοῦ ναὶ οὔ, ᾧ πιστοῦσθαι βούλεται τὴν ἀλήθειαν ὁ εὐαγγελικὸς νόμος λέγων Ἔστω δὲ ὑμῶν ὁ λόγος
1041 M. τὸ ναὶ [ναὶ καὶ τὸ οὒ] οὔ. εἰ τοίνυν ἐν τοῖς ὁρκίοις ὀνόμασι κωλύεται μὲν ὁ θρόνος τοῦ βασιλέως παραλαμβάνεσθαι, κωλύεται δὲ καὶ ἡ πόλις ἐν ᾗ τὰ βασίλεια, κωλύεται δὲ ὡσαύτως καὶ ἡ ἀληθινὴ κεφαλὴ πρὸς τὴν τοῦ ὅρκου παράληψιν, μόνον δὲ τὸ ναὶ καὶ τὸ οὒ συγκεχώρηται δι' ἀμφοτέρων κατὰ τὸ ἴσον τῆς ἀληθείας ἐν τῷ ναὶ θεωρουμένης, δῆλον ἂν εἴη ὅτι καὶ νῦν ὁ ταῖς νεάνισιν ἐπαγόμενος ὁρκισμὸς παρὰ τῆς νύμφης περὶ τὴν τοῦ ναὶ διάνοιαν ἀναστρέφεται, ὅπου χρὴ ἐρηρεισμένην ἡμῶν εἶναι τὴν τῆς ψυχῆς συγκατάθεσιν. ἔχει δὲ ἡ λέξις οὕτως· Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, ἀπαγγείλατε αὐτῷ ὅτι τετρωμένη ἀγάπης εἰμὶ ἐγώ.

3-4 Ps 62, 12 6-7 Matth 5, 37 5 et 7 et 11-12 nota bene Tatiani Διὰ τεσσάρων praebuisse utrumque et ναί et οὔ semel (cf versio Arabica ed Ciasca et versio antiqua Germanica cod Liège. vide v. Plooij: 'A primitive text of the Diatessaron', Leiden 1923, p 38)

ER^a ΛΥSΘ Σ PVT C Syr 1 οὔτε: οὐχὶ ER^av 2 ἐπαίνων T ὠμοκόσιν P 3 τοῦ om ΛΥ ὅτι om ΛΥSΘ ἐπαινηθήσεται v 4 post αὐτῷ add τουτέστιν ἐν τῷ ναὶ καὶ οὔ Syr(scil interpres) et τῆς et διανοίας T 5 τοῦ: τὸ TE(corr E^2) ναὶ οὔ correxi: ναὶ καὶ οὔ Syr διπλοῦ E^2(ex-οῦν ut vid)R^aΣv διπλοῦ ναιὸν V διπλοῦν ναί TC(eras -ν) διπλοῦ ναί cett 6 ὁ λόγος om VT 7 τὸ pr: τοῦ P ναὶ καὶ τὸ οὒ delevi, cf lin 5 ὀνόμασι ΣPVC: νοήμασι cett v de paraphr Syr non liquet 8 παραλαμβάνεσθαι om SΘ 10 πρὸς: περὶ v ὁρκισμοῦ V 11 δὲ om P et ναὶ et οὒ bis V 12 post ναὶ add οὒ Λ(sscr καὶ Λ^2)YS add καὶ οὒ Θ 13 ὅρκος ER^a(uterque adnot in marg ὁρκισμὸς)v 14 ἀναγράφεται ER^av 17 ἐν ταῖς alt om v 18 ἀπαγγείλατε Syr: τί ἀπηγγείλατε P τί ἀπαγγελῆτε V τί ἀπαγγείλητε cett τί ἀπαγγελεῖτε v 19 εἰμὶ ἐγώ (cf supra 371, 1) PV Syr: ἐγώ ER^av εἰμί cett

Ταῦτα δὲ τεθεώρηται μὲν ἤδη καὶ ἐν τοῖς φθάσασιν ὡς ἡ ἀκολουθία τῶν νοημάτων ὑπέβαλεν, εἰρήσεται δὲ καὶ νῦν διὰ βραχέων τὰ εὑρισκόμενα. ἀμετάθετόν τι πρᾶγμα τὸν ὅρκον εἶναί φησιν ὁ ἀπόστολος βεβαιοῦντα δι' ἑαυτοῦ τὴν ἀλήθειαν καὶ πάσης αὐτὸν ἀντιλογίας εἶναι πέρας ὁρίζεται εἰς τὴν τῶν ἐγνωσμένων βεβαίωσιν. ἐπάγει τοίνυν τὸν ὁρκισμὸν ταῖς παρθένοις ἡ νύμφη ὥστε ἀπαράβατον φυλαχθῆναι αὐταῖς τὸ λεγόμενον. ἀλλ' ἐπειδὴ πᾶς ὅρκος κατὰ τοῦ μείζονος γίνεται καθώς φησιν ὁ ἀπόστολος (οὐ γὰρ ἄν τις ὅρκιον ποιήσαιτο τὸ ἑαυτοῦ ἀτιμότερον), σκοπῆσαι προσήκει, τί ταῖς νεάνισιν ἐν τῷ ὅρκῳ παρὰ τῆς νύμφης μεῖζον προτείνεται. Ὥρκισα, φησίν, ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. τί οὖν τὸ ὑπὲρ ἡμᾶς ἐν τούτοις ἐστίν; ἀγρὸν γὰρ τὸν κόσμον διὰ τῆς τροπικῆς σημασίας νοεῖσθαι οὐκ ἀμφιβάλλομεν οὕτω τοῦ κυρίου καὶ ὀνομάσαντος τὸν κόσμον καὶ ἑρμηνεύσαντος. αἱ τοίνυν πολλαὶ δυνάμεις τε καὶ ἰσχύες τοῦ κόσμου τίνες εἰσίν, αἱ τῷ ὅρκῳ προκείμεναι, ἃς χρὴ μείζονας ἡμῶν νομισθῆναι, ἵνα ἰσχὺν λάβῃ πρὸς βεβαίωσιν τῆς ἀληθείας ὁ ὅρκος κατὰ τῶν μειζόνων γινόμενος; οὐκοῦν

3-6 et 8-9 cf Hebr 6, 16-18 12-20 cf supra p 132, 5-134, 9
16-17 cf Matth 13, 31 et 38

ER^a ΛΥSΘ Σ PVT C Syr 1 δὲ: δὴ ΛΥ ἐν om S 2 ἀκολουθία: ἀλήθεια T ῥημάτων S(corr pr m ut vid) ὑπέλαβεν P ἐνέβαλεν ER^av εὑρήσεται Λ(corr Λ^2)ΥΘ 3 καὶ om SΘ καὶ νῦν om T βραχέως V 4 αὐτοῦ ER^av 5 αὐτὸν om V 5-6 εἶναι coll post ὁρίζεται ER^av 6 ἐγγυωμένων ἀλήθειαν T 9-10 οὐ—ἀτιμότερον om Syr 10 ὅρκον v ποιήσαι R^aPV(-ῆ-) ποιήσῃ C τὸ om Ev post τό(sic) add τι V post σκοπῆσαι add δὴ T 11 τί: εἰ ER^a ταῖς νεάνισιν coll ante τί T om Syr 12 μείζων ER^a post μεῖζον add ἡμῶν Syr ὑμᾶς φησὶν ER^av post φησί add γὰρ Syr ὑμᾶς om V θυγατέρες ΛΥΣΤ Syr: ὦ θυγατέρες cett v 13 ante Ἰερουσαλήμ add τῆς V ἐν ταῖς alt om v 14 τί—ἐστίν om Syr ὑμᾶς P γὰρ om P 15 τροπικῆς σημασίας: προσηκούσης λέξεως V 16 καὶ pr om T τὸν κόσμον om T 17 τοίνυν: τῶ νῦν E (corr E^2) τε om ER^aΛ(add Λ^2)PVCv καὶ om C 18 ante τῷ add ἐν T προσκείμεναι P 19 λογισθῆναι PVC 20 ὁ om PC γενόμενος ER^aVCv

ἀναγκαῖον ἂν εἴη παραθέσθαι πρὸς τὴν σαφήνειαν τῶν προκειμένων ἑτέραν ἔκδοσιν ἑρμηνευτικὴν τῶν ῥητῶν ἔχουσαν οὕτως· Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, κατὰ τῶν δορκάδων καὶ κατὰ τῶν ἐλάφων τοῦ ἀγροῦ. διδασκόμεθα τοίνυν διὰ τῶν ὀνομάτων τούτων, ἐν τίνι ἐστὶν ἡ τοῦ κόσμου τούτου ἰσχὺς καὶ ἐν τίνι ἡ δύναμις, ἃ πρὸς βεβαίωσιν τῆς ἀληθείας διὰ τοῦ ὅρκου παραλαμβάνεται. δύο ἐστὶ τὰ τῷ θεῷ προσοικειοῦντα τὸν ἄνθρωπον· ἓν μὲν τὸ ἀπλανὲς τῆς περὶ τὸ ὄντως ὂν ὑπολήψεως, ὡς μὴ ταῖς ἠπατημέναις ὑπονοίαις εἰς ἐθνικάς τε καὶ αἱρετικὰς περὶ τοῦ θείου δόξας ἐκφέρεσθαι, ὅπερ ἐστὶν ὡς ἀληθῶς τὸ ναί, ἕτερον δὲ ὁ καθαρὸς λογισμὸς πᾶσαν ἐμπαθῆ διάθεσιν τῆς ψυχῆς ἐξορίζων, ὅπερ οὐδὲ αὐτὸ τοῦ ναὶ ἠλλοτρίωται. τῆς τοίνυν διπλῆς ταύτης τῶν ἀγαθῶν ἕξεως, ὧν ἡ μὲν πρὸς τὸ ὄντως ὂν ἀναβλέπειν ποιεῖ, ἡ δὲ φυγαδεύει τὰ πάθη τὰ τὴν ψυχὴν λυμαινόμενα, ἡ τῶν δορκάδων τε καὶ τῶν ἐλάφων μνήμη διὰ συμβόλων γνωρίζει τὴν δύναμιν· τούτων γὰρ ἡ μὲν ἀπλανῶς ὁρᾷ, ἡ δὲ βρωτικήν τινα καὶ ἀναλωτικὴν τῶν θηρίων δύναμιν ἔχει. τοῦτο τοίνυν προτείνει ταῖς παρθένοις ἡ νύμφη τὸ ναί· τό τε εὐσεβῶς δεῖν πρὸς τὸ θεῖον βλέπειν

16-19 cf supra p 141,3-142, 8

ER^a ΛYSΘ Σ PVT C Syr 1 εἴη: εἶναι Σ παραθέσθαι om PVC 2 post ἑτέραν add εἰπεῖν VC^2(in marg) post ἔκδοσιν add καὶ P ἑρμηνευτικῆς Y(del -ς) ῥημάτων ΛYSΘ 4 post κατὰ pr add τα(sic)R^a τῶν pr: τὸν E(corr E^2) κατὰ alt om T ἀγροῦ corr in ras E^2 5 διδασκώμεθα Σ τούτων om SΘ 6 ἃ: ἣ PVC 7 διὰ τοῦ: δι' T 8 εἰσὶ S οἰκειοῦντα v 9 τοῦ ὄντως ὄντος C(corr C^2) ὥστε ER^av 10 πεπλανημέναις T εἰς om C αἱρετικὰς: ἑταιρικὰς T 10-11 περὶ τοῦ θείου om SΘ 12 ἕτερον δὲ: τὸ δ' ἕτερον ER^av ὁ om PVC ante πᾶσαν add ὁ ER^av (διά)θεσι(ν) corr in ras E(pr m ut vid) 13 ἐξωρίζων Σ ἐξορκίζων V οὐδὲ αὐτὸ: οὐδ' ἀπὸ v 15 post ὂν (sic) add ἀγαθὸν V τὰ πάθη om PV πάθει Σ 16 τῇ ψυχῇ V λυμαινόμεν C τε om ER^av τῶν alt om Σ ἐλάφων: δορκάδων S 17 μνήμη om V 17-18 ἀπλανῶς ἡ μὲν T 18 ὁρῶσα C(adscr -ν C^2) δὲ om S(add m fort pr) 19 θηρίων: παθῶν V ἔχει om T(add in marg) προτείνεται SΘ

1044 M. καὶ τὸ καθαρῶς ἐν ἀπαθείᾳ παρατρέχειν τὸν βίον. ὧν κατορθουμένων τὸ ἀμετάθετον πρᾶγμα ἐν ἡμῖν βεβαιοῦται τὸ ναί. οὗτος γάρ ἐστιν ὁ τὴν ἀλήθειαν πιστούμενος ὅρκος, ὃν Πᾶς ὁ ὀμνύων ἐν αὐτῷ ἐπαινεῖται, καθώς φησιν ὁ προφήτης· ἀληθῶς γὰρ ὁ ἐν τοῖς δύο τούτοις τὸ ἀσφαλὲς ἐν ἑαυτῷ κατορθώσας ἔν τε τῷ λόγῳ τῆς πίστεως, ὅταν ἀπλανῶς πρὸς τὴν ἀλήθειαν βλέπῃ, καὶ ἐν τῷ τρόπῳ τῆς ζωῆς, ὅταν παντὸς καθαρεύῃ τοῦ ἐκ πονηρίας μολύσματος, οὗτος ὀμνύει τῷ κυρίῳ μὴ ἀναβῆναι ἐπὶ κλίνης στρωμνῆς, μὴ δοῦναι ὕπνον τοῖς ὀφθαλμοῖς αὐτοῦ μηδὲ νυσταγμὸν τοῖς βλεφάροις, ἕως οὗ εὕρῃ ἐν ἑαυτῷ τόπον τῷ κυρίῳ σκήνωμα τοῦ ἐν αὐτῷ οἰκοῦντος γενόμενος.

Εἰ τοίνυν ἐσμὲν καὶ ἡμεῖς τῆς ἄνω Ἰερουσαλὴμ τέκνα, ἀκούσωμεν τῆς διδασκάλου, πῶς ἔστιν ἰδεῖν τὸν ποθούμενον. τί οὖν φησιν; ἐὰν ὅρκιον ἑαυτοῖς τοῦτο ποιήσωμεν τὸ ἐν ταῖς δυνάμεσιν εἶναι τῶν διορατικῶν δορκάδων καὶ ἐν ταῖς ἰσχύσεσι τῶν ἀφανιστικῶν τῆς κακίας ἐλάφων, ἔστι διὰ τούτων ἰδεῖν τὸν καθαρὸν νυμφίον, τὸν τῆς ἀγάπης τοξότην, καὶ εἰπεῖν πρὸς αὐτὸν τὴν ἑκάστου ψυχὴν ὅτι Τετρωμένη ἀγάπης εἰμί. καλὰ δὲ εἶναι τῆς ἀγάπης τὰ τραύματα καὶ παρὰ τῆς Παροιμίας ἐμάθομεν ᾗ φησιν Αἱρετὰ μὲν τοῦ φίλου τὰ τραύματα, κακὰ δὲ τῆς ἔχθρας καὶ τὰ φιλήματα.

4 Ps 62, 12 9-12 cf Ps 131, 3-5 13 cf Gal 4, 26 18-20 cf supra p 127, 7-129, 16 21-22 Prov 27, 6 (Gregorius ecdosi valde diversa usus esse videtur)

ER^a ΛYSΘ Σ PVT C Syr 1 τὸ om ER^aΘv ἀπαθείᾳ: ἅπασιν V 3 οὗτως Y ὅρκος om T 4 ὁ pr om v 5 ὁ om Λ(sscr Λ^2) Y 6 ἐν pr om Σ 7-8 (τῆ)ς ζωη(˜ς): επι ···· E(eras et corr E^2) 8 ante παντὸς add ἐκ T μολυσμοῦ V 9 οὗτως C(corr C^2) ὄμνυσι ΣPVTC μὴ—στρωνῆς om V κλίνην P 10 μηδὲ: μήτε T 11 οὗ om T ἐν om VC αὐτῶ ΛYPT om C 12 et τῷ et οἰκοῦντι (scil sec Ps 131, 5)ER^av Syr, fort recte γενώμενος C(corr C^2)γινόμενος T γενόμεθα V 13 ἄνω om Syr 14 post ἀκούσωμεν add in marg τοίνυν V διδασκαλίας PT post διδασκάλου add νύμφης ER^aΣΛ^2(sscr)v 15 ἐὰν om Θ ἐὰν ὅρκιον: ἐνόρκιον ER^a αὐτοῖς ΛY 16 διορατικῶν om T 17 ante διὰ add δὲ PVC 17-18 ἰδεῖν coll ante διὰ T 22 καλὰ ut vid E(corr E^2) καὶ om ΣTC

τίς δὲ ὁ φίλος οὗ τὰ τραύματα τῶν φιλημάτων τοῦ ἐχθροῦ προτιμότερα, παντὶ δῆλόν ἐστι τῷ μὴ ἀγνοοῦντι τὰ τῆς σωτηρίας μυστήρια. φίλος μὲν γάρ ἐστιν ἀληθινός τε καὶ βέβαιος ὁ καὶ ἐχθροὺς γενομένους ἡμᾶς τοῦ ἀγαπᾶν μὴ παυσάμενος, ἐχθρὸς δὲ ἄπιστός τε καὶ ἀνήμερος ὁ μηδὲν ἠδικηκότας ὑπαγαγὼν τῷ θανάτῳ. τραῦμα τοῖς πρωτοπλάστοις ἐδόκει ἡ διὰ τῆς ἐντολῆς γενομένη τοῦ κακοῦ ἀπαγόρευσις (τραῦμα γὰρ ἐνομίσθη τοῦ ἡδέος ἡ ἀλλοτρίωσις), φίλημα δὲ ἡ πρὸς τὸ ἡδὺ καὶ εὐφανὲς προτροπή. ἀλλ' ἔδειξεν ἡ πεῖρα ὅτι τὰ νομιζόμενα τοῦ φίλου τραύματα τῶν φιλημάτων ἦν τοῦ ἐχθροῦ λυσιτελέστερά τε καὶ αἱρετώτερα. ἐπεὶ οὖν συνέστησεν ἑαυτοῦ τὴν ἀγάπην ὁ καλὸς ἐραστὴς τῶν ἡμετέρων ψυχῶν, δι' ἣν καὶ Ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, διὰ τοῦτο ἀντερασθεῖσα ἡ νύμφη τοῦ ἀγαπήσαντος δείκνυσιν ἐν ἑαυτῇ ἐγκείμενον διὰ βάθους τῆς ἀγάπης τὸ βέλος, τουτέστι τὴν τῆς θεότητος αὐτοῦ κοινωνίαν· ἡ γὰρ ἀγάπη ἐστὶν ὁ θεός, καθὼς εἴρηται, ἡ διὰ τῆς κατὰ τὴν πίστιν ἀκίδος τῇ καρδίᾳ ἐγγενομένη. εἰ δὲ χρὴ καὶ ὄνομα τοῦ βέλους εἰπεῖν τούτου, ἐροῦμεν ὃ παρὰ τοῦ Παύλου ἐμάθομεν ὅτι τὸ βέλος τοῦτό ἐστι Πίστις δι' ἀγάπης ἐνεργουμένη.

4 cf Col 1, 21; Eph 2, 4/5; Rom 5, 10 7 cf Gen 2, 17 9 cf Gen 3, 6 12-14 Rom 5, 8 15-18 cf supra p 127, 9-17 20-21 Gal 5, 6

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὁ PT: om cett v οὗ: τοῦ Λ(corr Λ^2)Y 2 προτιμότερα: αἱρετώτερα PVC ἐστι om C 3 τε om PVTC 4 ἡμᾶς om T 5 ἄσπιστός ut vid Σ τε om SΘ 6 ἠδικηκότας coll post τραῦμα ΛY ὑπάγων T 8 τραύματα ΛYC ἡ coll ante τοῦ v 9 ἀφανὲς V εὐφρανὲς P(sscr γρ ἐμφανὲς)T ἐμφανὲς ER^{a}v ἐμπαθὲς Λ^2(corr ex εὐφανὲς) 10 post φίλου add τὰ V 11 ἐχθροῦ: κόρου SΘ τε om ER^{a}VTv 12 συνέστηκεν P ἑαυτὸν V τὴν ἀγάπην om V 13 ἣν PTC Syr: ὧν cett v ὄντων om v Χριστὸς om Syr, fort recte 15 post διὰ add τοῦ C 16 τὴν om C(sscr C^2) 17 ἀγάπη γάρ(om ἡ)Θ καθὼς om P 18 τὴν om R^{a}PV ἐγγινομένη VT εἰ: ἡ Y 19 καὶ om T τοῦτο ΛYSΘΣ τούτου εἰπεῖν v εὕροιμεν ER^a εὕρομεν v 20 Παύλου: βέλους PVC τὸ om P 21 διενεργουμένη (om ἀγάπης) SΘ

Ἀλλὰ ταῦτα μὲν ἐχέτω ὡς ἄν τῳ δοκῇ, ἴδωμεν δὲ καὶ τὴν παρὰ τῶν παρθένων προσαχθεῖσαν ἐρώτησιν τῇ διδασκάλῳ· Τί ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; τί ἀδελφιδός
1045 M. σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς; τοιαύτην δέ μοί τινα δοκεῖ περιέχειν ἡ ῥῆσις διάνοιαν, καθὼς ἡ ἀκολουθία τῶν προεξητασμένων εἰκάζειν δίδωσιν· ἐπειδὴ γὰρ εἶδον αἱ παρθένοι τὴν καλὴν ἔξοδον τῆς ψυχῆς, τῆς νύμφης, ὅτε προσεφύη τῷ λόγῳ ἡ εἰποῦσα ὅτι Ἐξῆλθεν ἡ ψυχή μου ἐν λόγῳ αὐτοῦ, καὶ ἔγνωσαν ὅτι ἐζήτει ἐξελθοῦσα τὸν διὰ σημείων οὐχ εὑρισκόμενον καὶ ἐκάλει βοῶσα τὸν οὐχ ὑπακούοντα τοῖς ὀνόμασι, διὰ τοῦτό φασι· πῶς ἐπιγνῶμεν αὐτὸν ἡμεῖς τὸν μηδενὶ σημείῳ γνωριστικῷ εὑρισκόμενον, ὃς οὔτε ὑπακούει καλούμενος οὔτε κρατεῖται ζητούμενος; περίελε τοίνυν καὶ σὺ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων τὰ θέριστρα, ὅπερ ἐποίησαν ἐπὶ σοὶ οἱ τῆς πόλεως φύλακες, ἵνα τις γένηται ἡμῖν ὁδηγία πρὸς τὸ ζητούμενον. εἰπὲ τί ἐστιν ὁ ἀδελφιδός σου, καθ' ὅ ἐστιν ἐν τῷ λόγῳ τῆς φύσεως· δὸς ἡμῖν ἔφοδον τῆς ἐπιγνώσεως αὐτοῦ διὰ γνωριστικῶν

3-4 Cant 5, 9 7-9 cf supra p 353, 15-357, 2 9-11 cf supra p 357, 3-359, 4

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐχέτω ὡς ἄν τῳ δοκῇ E(δοκεῖ)R^a(ἂν τῷ)VΛ^2: ἐχέτω ὡς ἂν τῷδε δοκῇ SΘY(τόδε, sic fort et Λ) ἐχέτω ὡς αὐτῷ δοκεῖ ΣvP(ὡσὰν αὐτῷ) ἐχέτωσαν τὸ δοκεῖν TC (corr C^2) 2 προαχθεῖσαν SΘ τῇ: τῷ Y 3 post σου add ἀπὸ ἀδελφιδοῦ (scil sec text vulg LXX) Vv Syr 4 ὅρκισα ὑμᾶς C(corr C^2) δέ: γάρ Syr 4-5 μοί τινα δοκεῖ PVC: μοι δοκεῖ τινα ΛYSΘ τινά μοι δοκεῖ ER^{a}Σ τινα δοκεῖ μοι Tv 5 ante διάνοιαν eras 1 litt T post καθὼς add καὶ Syr 6-7 εἶδον coll post παρθένοι ER^{a}v 7 τῆς alt om v 8 ἡ pr om SΘP εἰποῦσαι Θ ἐξῆλθεν coll post μου (scil sec Cant 5,6) ΛY Syr 9 ἔγνωσα ΛY 10 οὐχ pr: οὐκ C 11 ὑπακούσαντα v φησί P 12 ἡμεῖς αὐτὸν Θ γνωριστικῶς ΛYSΘ γνωστικῷ P 13 ὡς C 14 καὶ σὺ om P 14-15 τὸ θέριστρον ὅπερ P(sscr tris α) 15 ὥσπερ Syr σοῦ ΛYSΘΣT φύλακες τῆς πόλεως T 16 ante ἡμῖν add καὶ Syr ἡμῖν om Θ τὸ: τὸν PVC τί E(corr τίς E^2)R^{a}ΣT: τίς cett v post τί add ἐστι τὸ ζητούμενον εἰπὲ τίς T 17 ὁ om Vv post σου add ut vid ἀπὸ ἀδελφιδοῦ Syr (evan) καθώς VT τῶ λόγω τῆς in ras ut vid Σ intellege ἔστιν (εἰπεῖν) 18 αὐτοῦ om V γνωστικῶν P

τινων τεκμηρίων, σὺ ἡ τοῦ καλοῦ πληρωθεῖσα καὶ διὰ τοῦτο γενομένη καλὴ ἐν γυναιξί· γνώρισον ἡμῖν τὸ ζητούμενον· δίδαξον ἡμᾶς δι' ὧν εὑρίσκεται σημείων ὁ μὴ ὁρώμενος, ὡς μηνῦσαι αὐτῷ περὶ τοῦ βέλους τῆς ἀγάπης, ᾧ μέσην τέτρωσαι τὴν καρδίαν διὰ τῆς γλυκείας ὀδύνης τὸν πόθον ἐπαύξουσα.

Κρεῖττον δ' ἂν εἴη πάλιν τὴν αὐτὴν ῥῆσιν ἐπαναλαβεῖν ἐπὶ λέξεως, ὡς ἂν ἐφαρμοσθείη τοῖς ῥητοῖς ἡ ἐκτεθεῖσα διάνοια· Τί ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς; ἀκούσωμεν τοίνυν τῆς ἀκριβῶς περιελομένης τὸ θέριστρον καὶ ἀνακεκαλυμμένῳ τῷ τῆς ψυχῆς ὀφθαλμῷ βλεπούσης πρὸς τὴν ἀλήθειαν. πῶς ὑπογράφει αὐταῖς τὸ ζητούμενον; πῶς ζωγραφεῖ τῷ λόγῳ τοῦ ποθουμένου τὸν χαρακτῆρα; πῶς ὑπ' ὄψιν ἄγει ταῖς παρθένοις τὸν ἀγνοούμενον; ἐπειδὴ γὰρ τοῦ Χριστοῦ τὸ μὲν κτιστόν ἐστι τὸ δὲ ἄκτιστον (λέγομεν δὲ ἄκτιστον μὲν εἶναι αὐτοῦ τὸ ἀΐδιόν τε καὶ προαιώνιον καὶ ποιητικὸν πάντων τῶν ὄντων, κτιστὸν δὲ τὸ κατὰ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν συσχηματισθὲν τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν. μᾶλλον δὲ δι' αὐτῶν τῶν θείων ῥημάτων τὴν περὶ τούτου διάνοιαν βέλτιον ἂν εἴη παραθέσθαι τῷ λόγῳ·

11-13 cf II Cor 3, 13-16 16-20 cf ex. gr. Ad Theophil p 120, 16-121,15; Antirrh adv Apolin p 170, 22-171,16 (Vol III 1 Jaeger); Contra Eunom Vol II (Jaeger) p 65,19-66, 9 19-20 cf Phil 3, 21

ERª ΛYSΘ Σ PVT C Syr 1 τεκμηρίων: σημείων ΛSΘ σημάτων Y post τεκμηρίων add σημείων Σ ἡ om ERªv 2 γινομένη P τὸ: τὸν PVC 3 ante δίδαξον add καὶ ERªv ὁ om T μὴ ὁρώμενος: ἀόρατος v 4 μενύησαι αὐτὴ T ᾧ: ὡς ΛYSΘ μέσην: ἐν T μέσω ERªv 5 τετρῶσαι SΘ 8 ἐφαρμοσθῇ C ἐφαρμόσοι ERªv ἡ coll ante τοῖς ERªv 9 post σου add ἀπὸ ἀδελφιδοῦ v Syr ἡ om Σ 10 σου om ΛYPVC ἀ(πὸ) corr in ras C² ὥρκισα Σ(sscr -ς Σ²) 11 τοίνυν om T 11-12 ἀνακεκαλυμμένης v 15 τὸν: τὸ V 16 post τοῦ add μὲν Λ(eras)Y ἄκτιστόν . . . κτιστόν mutato ordine ERªv ἐστι om P λέγωμεν E(corr E²) δὲ alt om T 17 μὲν om ΛYVv αὐτὸ T 18 ὄντων: νοητῶν Σ 18-19 ὑπὲρ ἡμῶν: ἡμετέραν T 19 οἰκονομίαν om V 20 δι' om ΛY 21 διάνοιαν om P

ἄκτιστον λέγομεν τὸν ἐν ἀρχῇ ὄντα λόγον καὶ ἀεὶ πρὸς τὸν θεὸν ὄντα καὶ θεὸν ὄντα λόγον, τὸν δι' οὗ τὰ πάντα ἐγένετο καὶ οὗ χωρὶς τῶν γεγονότων ἔστιν οὐδέν, κτιστὸν δὲ τὸν σάρκα γενόμενον καὶ ἐν ἡμῖν σκηνώσαντα, οὗ καὶ σαρκωθέντος ἡ ἐμφαινομένη δόξα δηλοῖ, ὅτι Θεὸς ἐφανερώθη ἐν σαρκί, θεὸς δὲ πάντως ὁ μονογενής, ὁ ἐν τοῖς κόλποις ὢν τοῦ πατρός, οὕτως εἰπόντος τοῦ Ἰωάννου ὅτι Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, καίτοι τὸ φαινόμενον ἄνθρωπος ἦν, ἀλλὰ τὸ δι' αὐτοῦ γνωριζόμενον Δόξαν φησὶν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας) ἐπειδὴ τοίνυν τὸ μὲν ἄκτιστον αὐτοῦ καὶ προαιώνιον καὶ ἀΐδιον ἄληπτον μένει καθ' ὅλου πάσῃ φύσει καὶ ἀνεκφώνητον, τὸ δὲ διὰ σαρκὸς ἡμῖν φανερωθὲν δύναται ποσῶς καὶ εἰς γνῶσιν ἐλθεῖν, τούτου χάριν πρὸς ταῦτα ἡ διδάσκαλος βλέπει καὶ περὶ τούτων ποιεῖται τὸν λόγον ὅσα δύναται γενέσθαι
1048 M. χωρητὰ τοῖς ἀκούουσιν. λέγω δὲ Τὸ μέγα τῆς εὐσεβείας μυστήριον, δι' οὗ ὁ θεὸς ἐφανερώθη ἐν σαρκί, ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων καὶ τῷ δουλικῷ προσωπείῳ διὰ σαρκὸς συναναστραφεὶς τοῖς ἀνθρώποις, ὃς ἐπειδὴ ἅπαξ πρὸς ἑαυτὸν διὰ τῆς ἀπαρχῆς ἐπεσπάσατο τὴν ἐπίκηρον τῆς σαρκὸς φύσιν, ἣν διὰ τῆς ἀφθόρου παρθενίας ἀνέλαβεν, ἀεὶ τῇ ἀπαρχῇ συναγιάζει τὸ κοινὸν τῆς φύσεως φύραμα διὰ

1-3 cf Joh 1, 1-3 4 cf Joh 1, 14 5-6 I Tim 3,16 6-7 cf Joh 1, 18 7-10 Joh 1, 14 16-17 I Tim 3, 16 17-19 cf Phil 2, 6/7 22 cf Rom 11, 16

ERª ΛYSΘ Σ PVT C Syr 1 post ἄκτιστον add μὲν T λόγον om T post καὶ add τὸν V 1-2 ὄντα λόγον—θεὸν alt om v 2 καὶ θεὸν ὄντα om PVTC λόγον om ΘV Syr τὸν om T 3 χωρὶς ἐγένετο οὐδὲν τῶν γεγονότων (om ἔστιν)V οὐδέν ἐστι P 4 ante σάρκα add κατὰ TC 5 ἐμφαινομένη: θεία φαινομένη T ante θεὸς add ὁ ΛYSΘ, fort recte, cf infra 17 6 δὲ om ERªv ὢν om SΘ 7 τοῦ om T 10 παρὰ πατρός om C πλήρη Vv 12 μένει: μὲν ERªv om PVC 13 ἐς v 14 post ταῦτα add ἀεὶ ERªv ἡ corr in ras E² βλέπει: λέγει Σ 16 δὲ: δὴ T 17 ὁ pr om C, cf supra 5 ὁ alt: ὃς ERª 18 προσώπῳ ΛYSΘVTC 20 ἀρχῆς C ἐπεσπάσατο coll ante διὰ ERªv τὴν: τὸν Rª τὸ S 21 φύσιν om SΘ διὰ: ἐκ T ἀνελάβομεν V 22 τῇ ἀπαρχῇ: τῇ ἀφθαρσίᾳ v om Syr(scr ἁγιάζει) φύραμα om v

τῶν ἑνουμένων αὐτῷ κατὰ τὴν κοινωνίαν τοῦ μυστηρίου τρέφων τὸ ἑαυτοῦ σῶμα, τὴν ἐκκλησίαν, καὶ καταλλήλως τὰ ἐμφυόμενα διὰ τῆς πίστεως αὐτῷ μέλη τῷ κοινῷ σώματι ἐναρμόζων εὐπρεπὲς τὸ πᾶν ἀπεργάζεται εἰς ὀφθαλμοὺς καὶ στόμα καὶ χεῖρας καὶ τὰ λοιπὰ μέλη πρεπόντως τε καὶ ἁρμοδίως διατιθεὶς τοὺς πιστεύοντας. οὕτω γάρ φησιν ὁ Παῦλος ὅτι Ἓν μέν ἐστι σῶμα, πολλὰ δὲ μέλη. Τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, ἀλλ' ἔστι τις καὶ ὀφθαλμὸς ἐν τῷ σώματι μὴ καταφρονῶν τῆς χειρὸς καὶ κεφαλή τις ὢν οὐκ ἀπωθεῖται τοὺς πόδας, ἀλλὰ συγκέκραται πρὸς ἑαυτὸ τῇ ποικιλίᾳ τῶν ἐνεργειῶν ἅπαν διὰ τῶν μελῶν τὸ σῶμα, ἵνα μὴ στασιάζῃ πρὸς τὸ ὅλον τὰ μέρη. ταῦτα δὲ δι' αἰνιγμάτων προθεὶς τὰ νοήματα ἐπὶ τὸ σαφέστερον προάγει τὸν λόγον εἰπὼν ὅτι Ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ ἀποστόλους καὶ προφήτας καὶ διδασκάλους καὶ ποιμένας Πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. καὶ πάλιν Αὐξήσωμεν, φησίν, εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, ὁ Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον

1-2 cf Eph 5, 29-32   7-15 I Cor 12, 12-28   7-8 Rom 12, 4   12 στασιάζῃ: cf Plat Resp 556 e   15-20 Eph 4, 11-13   20-p 383,3 Eph 4,15/16

ER^a ΛΥSΘ Σ PVT C Syr 1 ἐννοουμένων V οἰκονομίαν T 2 καὶ om P καταλλήλοις P 3 ἐκφυόμενα PVv αὐτοῦ v μέλει P 4 ἐς v 5 μέρη v τε om ER^{a}v 6 ἁρμοζόντως P διατεθεὶς VT 8 πρᾶξιν ΛΥSΘΣPC Syr: τάξιν cett v 10 τὸν πόδα P om C 11 ἑαυτὸν P ἑαυτὰ V ἑαυτῷ C(corr C^2) 12 μέλη ER^{a}v δὲ om V 13 προσθεὶς ER^{a}PVv νοή(ματα) corr in ras EΘ 14 προσάγει P 15 ante ἀποστόλους add πρῶτον(scil de I Cor 12, 28) PVC καὶ ποιμένας om Θ 17 μέχρι—20 Χριστοῦ om V 17 καταντήσομεν ΘT 19 υἱοῦ τοῦ om Vv post θεοῦ add καὶ Syr 21 αὐτὸν: Χριστὸν Syr τά: διὰ v ὁ om SΘPC ὁ Χριστός: καὶ Syr χ(ριστο)ς fort ex corr Θ 22 τὸ om Vv

διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ. οὐκοῦν ὁ πρὸς τὴν ἐκκλησίαν βλέπων πρὸς τὸν Χριστὸν ἄντικρυς βλέπει τὸν ἑαυτὸν διὰ τῆς προσθήκης τῶν σῳζομένων οἰκοδομοῦντα καὶ μεγαλύνοντα. ἡ τοίνυν ἀποθεμένη τῶν ὀμμάτων τὸ θέριστρον καθαρῷ τῷ ὀφθαλμῷ τὸ ἄφραστον ὁρᾷ τοῦ νυμφίου κάλλος καὶ διὰ τοῦτο τρωθεῖσα τῷ ἀσωμάτῳ καὶ διαπύρῳ βέλει τοῦ ἔρωτος· ἐπιτεταμένη γὰρ ἀγάπη ὁ ἔρως λέγεται, ᾧ οὐδεὶς ἐπαισχύνεται ὅταν μὴ κατὰ σαρκὸς γένηται παρ' αὐτοῦ ἡ τοξεία, ἀλλ' ἐπικαυχᾶται μᾶλλον τῷ τραύματι ὅταν διὰ τοῦ βάθους τῆς καρδίας δέξηται τὴν τοῦ ἀΰλου πόθου ἀκίδα. ὅπερ δὴ καὶ αὐτὴ πεποίηκε ταῖς νεάνισι λέγουσα ὅτι Τετρωμένη ἀγάπης εἰμὶ ἐγώ.

Ἡ τοίνυν εἰς τοσοῦτον τελειότητος προελθοῦσα, ἐπειδὴ ἔδει καὶ ταῖς παρθένοις ὑποδεῖξαι τοῦ νυμφίου τὸ κάλλος, οὐκ ἐκεῖνο λέγει ὃ ἦν ἐν ἀρχῇ (οὐδὲ γὰρ οἷόν τε ἦν δυνάμει λόγων φανερωθῆναι τὸ ἄρρητον), ἀλλὰ πρὸς τὴν διὰ σαρκὸς
1049 M. γενομένην ἡμῖν θεοφάνειαν χειραγωγεῖ τὰς παρθένους (ὅπερ δὴ καὶ ὁ μέγας Ἰωάννης πεποίηκεν, Ὃ μὲν ἦν ἀπ' ἀρχῆς σιωπήσας, Ὃ δὲ ἑωράκαμεν καὶ ἀκηκόαμεν καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ἀληθείας τοῦτο

5 cf supra p 256,15   8-10 cf Origen Comm Prolog p 67,1 sqq   11-12 cf supra p 128,1-3   20-22 I Joh 1, 1   21 σιωπήσας: cf Joh 3,12

ER^a ΛΥSΘ Σ PVT C Syr 1 κατ' ἐνέργειαν om T 2 τὴν om PVC 2-3 ποιεῖται τοῦ σώματος αὐτοῦ εἰς οἰκοδομὴν ἐν ER^{a}v 4 τὸν pr om P 5 οἰκονομοῦντα P 6 ante τῶν add ἀπὸ PVC 7 (ἄφ)ρασ(τον)corr in ras ut vid E ἄκρατον V 8 (τοῦ)το τρωθεῖσα om R^a ἀσωμάτῳ καὶ om Syr (δια)πύρῳ om P ἀπείρῳ V(corr διαπείρῳ) 9 ante ἀγάπη add ἡ R^a ὁ om v ᾧ: ὡς SΘ ὃν PVC ὃ T 10 γίνηται ΛΣ γίνεται ΥPV super παρ' sscr περὶ P 11 τοῦ om ΛΥSΘ 12 ἄϋλον τοῦ V 13 αὐτὴ ΛΥPTC 14 εἰμὶ ἐγώ ΛΥ Syr (ut vid): ἐγώ SΘ εἰμί cett v 15 ἐς v τοσοῦτον ER^{a}ΣTv Syr: τοῦτο cett 16 ἔδει om P ἐπιδεῖξαι Vv ὑποδεῖναι R^a 17 ἦν pr om SΘ ἦν alt: ἐν T 18 λόγου ER^{a}Tv λέγων V 19 γεγενημένην Θ 20 ἦν coll post ἀρχῆς ER^{a}v

μετ' ἐπιμελείας διηγησάμενος). φησὶν οὖν πρὸς αὐτὰς ἡ νύμφη· Ἀδελφιδός μου λευκὸς καὶ πυρρός, ἐκλελοχισμένος ἀπὸ μυριάδων. κεφαλὴ αὐτοῦ χρυσίον κεφάζ, βόστρυχοι αὐτοῦ ἐλάται, μέλανες ὡς κόραξ, οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων λελουμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώματα ὑδάτων. σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικά, χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη, χεῖρες αὐτοῦ τορευταί, χρυσαῖ, πεπληρωμέναι θαρσεῖς, κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου, κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι, τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς. εἶδος αὐτοῦ ὡς Λίβανος ἐκλεκτός, ὡς κέδροι, φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία. οὗτος ἀδελφιδός μου καὶ οὗτος πλησίον μου, θυγατέρες Ἰερουσαλήμ. ταῦτα γὰρ πάντα, δι' ὧν ἡ τοῦ κάλλους γέγονεν ὑπογραφή, οὐ τῶν ἀοράτων τε καὶ ἀκαταλήπτων τῆς θεότητός ἐστιν ἐνδεικτικὰ ἀλλὰ τῶν κατ' οἰκονομίαν φανερωθέντων, ὅτε ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη τὴν ἀνθρωπίνην ἐνδυσάμενος φύσιν, δι' ὧν κατὰ τὸν ἀποστολικὸν λόγον καὶ τὰ ἀόρατα αὐτοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶται διὰ τῆς τοῦ ἐκκλησιαστικοῦ κόσμου κατασκευῆς φανερούμενα. κόσμου γὰρ κτίσις ἐστὶν ἡ τῆς ἐκκλησίας κατασκευή, ἐν ᾗ

2-13 Cant 5, 10-16 19 cf Rom 1, 20 20 cf Eph 3, 10; cf Origen in Joh I, 4 (p 7, 29-34): κόσμος τῆς ἐκκλησίας

ER^a ΛYSΘ Σ PVT C Syr 1 μετ': δι' ER^{a}v οὖν om V 2 πυρρὸς καὶ λευκός ΣΛ (expunx λευκός) Y (add καὶ post λευκός) post πυρρὸς ad καὶ ut vid Syr (evan) ἐκλελόχισμαι Y 3 κηφάζ R^{a}Θ κηφάς TE (ut vid, corr -ζ E^2) Κεφάς v 4-13 οἱ—Ἰερουσαλήμ om V 4-5 ἐπὶ—καθήμεναι om C (in marg add λελουμέναι—καθήμεναι C^2) 5 πληρώματος P ῥεύματα Syr ὑδάτων om ΛY post γάλακτι add καὶ Syr 6 πληρώματος P Syr ante σιαγόνες add αἱ Σ 6-13 σιαγόνες—Ἰερουσαλήμ om P 8 τορνευταί S 9 ἐλάτινον R^a ἐπὶ: ἀπὸ T 11 κέδρος ΛYSΘ 12 γλυκασμοὶ v 13 οὗτος: οὕτως R^a αὐτὸς ΛYSΘ μου om Λ (sscr Λ^2) YSΘT γὰρ eras E om R^{a}v 15 τε om T 16 τῆς om SΘ 17-18 τὴν—φύσιν om Syr (scil interpres) 18 τόν: τὸ V λόγον om V 20 φανερούμενος P

κατὰ τὴν τοῦ προφήτου φωνὴν καὶ οὐρανὸς κτίζεται καινός (ὅπερ ἐστὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως καθὼς ὁ Παῦλός φησι) καὶ γῆ καινὴ κατασκευάζεται, Ἡ πίνουσα τὸν ἐπ' αὐτὴν ἐρχόμενον ὑετόν, καὶ ἄνθρωπος πλάσσεται ἄλλος, ὁ διὰ τῆς ἄνωθεν γεννήσεως ἀνακαινιζόμενος κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν, καὶ φωστήρων φύσις ἑτέρα γίνεται, περὶ ὧν φησιν ὅτι Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, καὶ Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, καὶ ἀστέρες πολλοί, οἱ ἐν τῷ στερεώματι τῆς πίστεως ἀνατέλλοντες. καὶ οὔπω τοῦτο θαυμαστόν, εἰ πλήθη ἄστρων ἐστὶν ἐν τῷ καινῷ τούτῳ κόσμῳ ὑπὸ τοῦ θεοῦ ἀριθμούμενα καὶ ὀνομαζόμενα, ὧν τὰ ὀνόματα ὁ ποιητὴς τῶν τοιούτων ἄστρων ἐν τοῖς οὐρανοῖς ἀπογεγράφθαι λέγει (οὕτω γὰρ ἤκουσα τοῦ δημιουργοῦ τῆς καινῆς κτίσεως πρὸς τοὺς ἰδίους αὐτοῦ φωστῆρας λέγοντος ὅτι Τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς), οὐ τοῦτο τοίνυν μόνον τῆς καινῆς κτίσεώς ἐστι τὸ παράδοξον ὅτι ἄστρων πλῆθος ἐν αὐτῇ δημιουργεῖται παρὰ τοῦ λόγου, ἀλλ' ὅτι καὶ ἥλιοι πολλοὶ κτίζονται ταῖς τῶν ἀγαθῶν ἔργων ἀκτῖσι τὴν οἰκουμένην φωτίζοντες οὕτως εἰπόντος τοῦ ποιητοῦ τῶν τοιούτων ἡλίων· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ Τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος. ὥσπερ τοίνυν ὁ πρὸς τὸν

1 et 3 cf Isai 65, 17 2 Col 2, 5 3-4 Hebr 6, 7 4-5 cf I Cor 15, 47-49; 5-6 cf Col 3, 10 7 Matth 5, 14 8 Phil 2, 15 10-12 cf Ps 146, 4 15 Luc 10, 20 20-21 Matth 5, 16 21-22 Matth 13, 43

ER^a ΛYSΘ Σ PVT C Syr 1 καὶ om V ante οὐρανὸς add ὁ Sv 3 ante γῆ add ἡ T 4 αὐτῇ ΛYP αὐτῆς SΘΣ πλάττεται P 6 αὐτόν ER^{a}v Syr (ut vid, evan): om cett καὶ om Σ ἑτέρα φύσις T 7 ὅτι om V 8 καὶ pr om P 9 οἱ om SΘV 10 οὔπω: οὕτω P ἀστέρων ΛYSΘ εἰσίν T ἐν om R^a 12 ὁ ποιητὴς coll post ἄστρων T ἀστέρων ΛYSΘ 13 ἀπογράφεσθαι SΘ 14-15 πρὸς—λέγοντος om SΘ 15 γέγραπται ΛYSΘPV 16 καινῆς om SΘ 17 πλήθη C ἑαυτῇ V 18 παρά: ὑπὸ C πολλοὶ ἥλιοι v 18-19 ταῖς coll post ἔργων T 21 ὑμῶν om Λ (sscr Λ^2) Y 22 ἐκλάμψουσιν SΘΣT ὥσπερ: ὅπερ V

αἰσθητὸν ἀπιδὼν κόσμον καὶ τὴν ἐμφαινομένην τῷ κάλλει 1052 M. τῶν ὄντων σοφίαν κατανοήσας ἀναλογίζεται διὰ τῶν ὁρωμένων τό τε ἀόρατον κάλλος καὶ τὴν πηγὴν τῆς σοφίας, ἧς ἡ ἀπόρροια τὴν τῶν ὄντων συνεστήσατο φύσιν, οὕτω καὶ ὁ πρὸς τὸν καινὸν τοῦτον κόσμον τῆς κατὰ τὴν ἐκκλησίαν κτίσεως βλέπων ὁρᾷ ἐν αὐτῷ τὸν πάντα ἐν πᾶσιν ὄντα τε καὶ γινόμενον διὰ τῶν χωρητῶν τε καὶ καταλαμβανομένων ὑπὸ τῆς φύσεως ἡμῶν χειραγωγῶν τὴν γνῶσιν πρὸς τὸ ἀχώρητον. οὗ χάριν ἐπειδὴ ταύτην προσάγουσι τῇ πρὸς τὸ τέλειον ἀναδραμούσῃ ψυχῇ τὴν αἴτησιν αἱ παρθένοι ψυχαὶ τοῦ γνωρισθῆναι αὐταῖς τὸν ποθούμενον, διὰ τῶν ἐπὶ σωτηρίᾳ φανερωθέντων ἡμῖν ὑπογράφει ταῖς παρθένοις τὰ τοῦ ζητουμένου γνωρίσματα καὶ πᾶσαν τὴν ἐκκλησίαν ἓν σῶμα τοῦ νυμφίου ποιήσασα ἴδιόν τι νόημα δι' ἑκάστου τῶν μελῶν ἐν τῇ ὑπογραφῇ τοῦ κάλλους ἐνδείκνυται, δι' ὧν ὅλον ἐκ τῶν κατὰ μέρος θεωρουμένων τὸ τοῦ σώματος κάλλος συναπαρτίζεται.

Ἀρχὴν οὖν ποιεῖται τῆς διδασκαλίας τὴν προσεχῆ καὶ οἰκείαν ἡμῖν· ἐκ γὰρ τοῦ σώματος τῆς κατηχήσεως ἄρχεται. ὥσπερ δὴ καὶ ὁ Ματθαῖος πεποίηκεν· ἐκ τοῦ Ἀβραάμ τε καὶ Δαβὶδ γενεαλογήσας τὸ κατὰ σάρκα μυστήριον τῷ μεγάλῳ Ἰωάννῃ ἐταμιεύσατο τοῖς ἤδη διὰ τούτων στοιχειωθεῖσι τὴν ἐξ ἀϊδίου νοουμένην ἀρχὴν καὶ τὸν τῇ ἀρχῇ

1-3 cf Sap Sal 13, 1-5   4 cf Sap Sal 7, 25   5-9 cf supra p 256, 17-257, 5   6 cf Col 3, 11   20-21 cf Matth 1, 2-17   22 sqq cf Origen in Joh I, 4 (p 8, 1-15)

ER^a ΛYSΘ Σ PVT C Syr 2 σοφίαν τῶν ὄντων V   εἰρημένων SΘ   3 τε om ER^av   ἡ om ΛYSΘ   6 πάντα ἐν om V   τε om Vv   7 γενόμενον V(corr e γιν- ut vid)   χωρητικῶν SΘ χωρηγῶν C (corr C^2)   τε om P   8 φύσεως: κτίσεως S πίστεως v   χειραγωγούμενος ER^av   recte interpretatus est Joan. Leuwencialis: 'manu quasi ducens cognitionem suam'.   11 τοῦ ER^av: τὸ cett de paraphr Syr non liquet   12 ταῖς παρθένοις: ταύταις V   14 ἐν σώματι PVC   16 ὅλων ΣR^a (ut vid, sed corr)T(corr ut vid ex ὅλον)v   μέρους Λ(corr m fort pr)Y   17 ἀπαρτίζεται SΘ   20 δή: δὲ T   ὁ om T   21 post καὶ add τοῦ ΛYSΘΣ   22 ἐταμιεύσα R^a τούτου ΛYSΘ   22-23 ἐνστοιχειωθεῖσι V

συγκατανοούμενον λόγον εὐαγγελίσασθαι. διὰ τούτων τοίνυν τῶν νοημάτων ἡ νύμφη μυσταγωγεῖ τὰς νεάνιδας ὅτι· οὐ πρότερον ἐπὶ τὸ ἄληπτόν τε καὶ ἀόριστον ἀναχθήσεται ὑμῶν ἡ διάνοια πρὶν τοῦ ὀφθέντος διὰ τῆς πίστεως περιδράξασθαι. τὸ δὲ ὀφθὲν ἡ τῆς σαρκός ἐστι φύσις· εἰποῦσα γὰρ ὅτι Ἀδελφιδός μου λευκὸς καὶ πυρρός, διὰ τῆς τῶν δύο τούτων χρωμάτων μίξεως τὸ τῆς σαρκὸς ἰδίωμα ὑπογράφει τῷ λόγῳ. τοῦτο δὲ καὶ ἐν τοῖς ἄνω ἐποίησε μῆλον αὐτὸν ὀνομάσασα, οὗ πρὸς ἑκάτερον τῶν χρωμάτων σύγκρατον καθορᾶται τὸ εἶδος· λευκόν τε γάρ ἐστι τὸ μῆλον καὶ ἐρυθραίνεται, τὴν τοῦ αἵματος οἶμαι φύσιν συμβολικῶς ἐνδεικνυμένου τοῦ ἐρυθήματος.

Ἀλλ' ἐπειδὴ πᾶσα σὰρξ ἐν τόκῳ συνίσταται γάμου πάντως ὁδοποιοῦντος τὸν τόκον τοῖς εἰς τὴν ζωὴν ταύτην παριοῦσι διὰ γεννήσεως, ὡς ἂν μή τις σαρκὸς γένεσιν περὶ τὸ μυστήριον τῆς εὐσεβείας παραδεξάμενος πρὸς τὰ τῆς φύσεως ἔργα καὶ πάθη τῇ διανοίᾳ κατολισθήσειεν ὁμοιογενῆ τοῖς πᾶσι κἀκείνης τῆς σαρκὸς ἐννοήσας τὴν γένεσιν, τούτου χάριν τὸν κοινωνήσαντα σαρκὸς καὶ αἵματος λευκὸν μὲν εἶναι καὶ πυρρὸν ὡμολόγησε διὰ τῶν δύο χρωμάτων τὴν τοῦ σώματος φύσιν αἰνισσομένη, οὐ μὴν ὁμοιότροπον αὐτοῦ τὴν λοχείαν τῷ κοινῷ τόκῳ γεγενῆσθαι λέγει. ἀλλ' ἐκ

8-12 cf Cant 2, 3; cf supra p 125, 18-126, 3   15-16 cf I Tim, 3, 16

ER^a ΛYSΘ Σ PVT C Syr 1 συννοούμενον V   2 οὐ om Σ(sscr $Σ^2$)   3 εὐαχθήσεται v   4 ὑμῶν EΛSΘΣV Syr: ὑμῖν Y ἡμῶν R^aPTCv   ὑμῶν coll post διάνοια SΘ   τῷ ὀφθέντι ER^av   4-5 περιδράξησθε V   7 τούτων coll post χρωμάτων ER^av om Θ   8 ἄνω: ἔμπροσθεν ER^av   9 ὀνομάσας VC(corr C^2)   10 σύγκρατον om P   11 ἐρυθαίνεται ER^aCT (eras ρ alt)   οἶμαι om SΘ   12 συμβουλικῶς R^a post ἐνδεικνύμενος(sic) add διὰ v   13 ἐν: ἑνὶ ER^av   τόκῳ PT: τρόπῳ cett v Syr(ut vid)   14 πάντος R^a ἀνδρὸς ΛYSΘ   τὸν τόκον om P Syr   τόπον Θ(ut vid, corr)   15 περιοῦσι v   γενέσεως ER^av   γέννησιν T   super περὶ sscr πρὸς S   16 τοῦ μυστηρίου P   17 πάθη: πάσῃ V   τὴν διάνοιαν ER^av   ὁμογενῆ P   18 τοῖς om ER^av   τὴν γένεσιν ἐννοήσας ER^av   γέννησιν T   20 μὲν om C   post ὡμολόγησεν add ἡ ΛYSΘ   21 ante οὐ eras 1 litt Λ

πασῶν τῶν μυριάδων, τῶν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι καὶ εἰς ὅσον προελεύσεται ῥέουσα διὰ τοῦ τόκου τῶν ἐπιγινομένων ἡ φύσις, μόνος οὗτός ἐστι τῷ καινῷ τῆς λοχείας εἴδει τῆς ζωῆς ταύτης ἁψάμενος, ᾧ οὐχὶ συνήργησε πρὸς τὸ γενέσθαι ἡ φύσις ἀλλ' ὑπηρέτησεν. διὰ τοῦτό φησιν ὅτι ὁ λευκὸς οὗτος καὶ πυρρός, ὁ διὰ σαρκὸς καὶ αἵματος ἐπιδημήσας τῷ βίῳ, μόνος ἐστὶν ἐκ πασῶν τῶν μυριάδων ἐκ τῆς παρθενικῆς
1053 M. καθαρότητος ἐκλελοχισμένος· οὗ ἀσυνδύαστος μὲν ἡ κυοφορία, ἀμόλυντος δὲ ἡ λοχεία, ἀνώδυνος δὲ ἡ ὠδίς· οὗ θάλαμος ἡ τοῦ ὑψίστου δύναμις οἷόν τις νεφέλη τὴν παρθενίαν ἐπισκιάζουσα, πυρσὸς δὲ γαμήλιος ἡ τοῦ ἁγίου πνεύματος ἔλλαμψις, κλίνη δὲ ἡ ἀπάθεια καὶ γάμος ἡ ἀφθαρσία. ὁ τοίνυν ἐκ τῶν τοιούτων γενόμενος καλῶς ἐκλελοχισμένος ἐκ πασῶν τῶν μυριάδων κατωνομάσθη, ὅπερ τὸ μὴ ἐκ λοχοῦς αὐτὸν εἶναι σημαίνει· τούτου γὰρ μόνου χωρὶς λοχείας ἡ γέννησις ὥσπερ καὶ χωρὶς γάμου ἡ σύστασις. οὐ γὰρ ἔστιν ἐπὶ τῆς ἀφθόρου τε καὶ ἀπειρογάμου κυρίως τὸ ὄνομα τῆς λοχείας εἰπεῖν, διότι παρθενίας τε καὶ λοχείας ἀσύμβατά ἐστι περὶ τὴν αὐτὴν τὰ ὀνόματα. ἀλλ' ὥσπερ υἱὸς ἐδόθη ἡμῖν ἄνευ πατρός, οὕτω καὶ τὸ παιδίον ἄνευ λοχείας γεγέννηται. ὡς γὰρ οὐκ ἔγνω ἡ παρθένος ὅπως ἐν τῷ σώματι αὐτῆς τὸ θεοδόχον συνέστη σῶμα, οὕτως οὐδὲ τοῦ τόκου ᾔσθετο μαρτυρούσης τῆς προφητείας αὐτῇ τὸ ἀνώδυνον

10-11 cf Luc 1, 35 21 cf Luc 1, 34

ER^a ΛYSΘ Σ PVT C Syr 1 γεγεγόνασιν Σ οἱ ἄνθρωποι V 2 ὅσον: ὃν E (ut vid) ὃ E^{2}R^{a}v παρελεύσεται ΛY προσελεύσεται v ἐπιγιγνομένων T 3 κοινῷ SΘ καλῷ P (sscr καινῷ) 4 et ᾧ corr in ras et in marg add -ς E^2 5 ὁ om PVCv οὗτος om E coll post 6 πυρρὸς R^{a}E^2 (adscr in fine lin) 6 ante πυρρὸς add ὁ v ὁ om Σ 7 ἐκ alt om T 9 ἡ λοχεία—δὲ alt om P ὠδῖν T 13 καλὸς R^a 14 κατωνομάσθη om C λοχοῦς scripsi: λόχους V λόχου PC (corr λέχους C^2) λεχοῦς T (fort recte) λέχους cett v de paraphr Syr non liquet, sed certe non λέχους intellege: 'e parturiente' 15 γὰρ: χάριν Θ 16 γένεσις ΛYΘΣPVC 17 τε om P 19 ἐστι: εἰσι Θ τῶν αὐτῶν Λ (corr Λ^2) YSΘ 21 γεγένηται SVC ὅπως: πῶς ΣPVC 22 θεοδόχον: κυριακὸν Σ 23 μαρτυρούσης coll post αὐτῇ P

τῆς ὠδῖνος· φησὶ γὰρ Ἡσαΐας ὅτι Πρὶν ἐλθεῖν τοὺς πόνους τῶν ὠδίνων ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. διὰ τοῦτο ἐκλελοχισμένος καὶ ξενίζων καθ' ἑκάτερον τὴν ἀκολουθίαν τῆς φύσεως, οὔτε ἀρξάμενος ἐξ ἡδονῆς οὔτε προελθὼν διὰ πόνων. καὶ τοῦτο κατὰ τὸ ἀκόλουθόν τε γίνεται καὶ οὐκ ἔξω τοῦ εἰκότος ἐστίν· ἐπειδὴ γὰρ ἡ τὸν θάνατον διὰ τῆς ἁμαρτίας ἐπεισαγαγοῦσα τῇ φύσει ἐν λύπαις καὶ πόνοις τίκτειν κατεδικάσθη, ἔδει πάντως τὴν τῆς ζωῆς μητέρα ἀπὸ χαρᾶς τε τῆς κυοφορίας ἄρξασθαι καὶ διὰ χαρᾶς τελειῶσαι τὸν τόκον. Χαῖρε γάρ, φησί, κεχαριτωμένη, πρὸς αὐτὴν ὁ ἀρχάγγελος ἐκβαλὼν τῇ φωνῇ τὴν λύπην τὴν ἐξ ἀρχῆς ὑπὸ τῆς ἁμαρτίας ἀποκληρωθεῖσαν τῷ τόκῳ. οὗτος μὲν οὖν ὁ τῷ καινῷ τε καὶ ἰδιάζοντι τῆς γεννήσεως ἐκ πασῶν τῶν μυριάδων μόνος τοιοῦτος γενόμενος, ὁ λευκός τε καὶ πυρρὸς διὰ τὴν σάρκα καὶ τὸ αἷμα καλῶς ὠνομασμένος, καὶ ἐκλελοχισμένος ἀπὸ μυριάδων διὰ τὴν ἄφθαρτόν τε καὶ ἀπαθῆ τοῦ τόκου παρὰ τοὺς λοιποὺς ἰδιότητα. ἢ τάχα καὶ διὰ τὰ λοιπὰ τῆς γεννήσεως εἴδη, τὰ δίχα λοχείας γενόμενα, ταύτην ἐφήρμοσεν αὐτῷ τὴν φωνὴν ἡ νύμφη. οὐκ ἀγνοεῖς δὲ πάντως, ὁσάκις ἐγεννήθη ὁ τῆς καινῆς κτίσεως πάσης πρωτότοκος ὁ ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκος, ὁ ἐκ νεκρῶν πρωτότοκος, ὁ πρῶτος λύσας

1-2 Isai 66, 7 6-7 cf Gen 3, 16 9-10 Luc 1, 28 19-p 390, 8 cf Contra Eunom Vol II (Jaeger) p 62, 17-66, 9; cf De perf p 200, 4-202, 19 (Vol VIII, 1 Jaeger) 20 cf Col 1, 15, quae verba Gregorius Origenem sequens traxit ad ecclesiam (cf supra p 384, 21-386, 6) 20-21 cf Rom 8, 29 21 cf Col 1, 18

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὅτι om ER^{a}v πόνους: τόκους S 3 ἑκατέραν T 4 πόνου ER^{a}v 5 τε om ER^{a}v εἰκότως Σ 6-7 ἐπεισαγοῦσα P ἐπεισάγουσα ER^{a}v 7 φύσει corr in ras T 10 ἄγγελος PT (in marg γρ ἀρχάγγελος) ἐκβάλλων ER^{a}Vv 11-12 τῆς ἁμαρτίας—ἰδιάζοντι om P (add in marg P^2) ἀποπληρωθεῖσαν Σ 12 οὕτως R^{a}Y post οὖν add ἐστιν R^{a}E^2 (in marg) v τε om VTC 13 τοιοῦτος μόνος T 14 καὶ τὸ αἷμα om Θ 17 ἀϊδιότητα Θ ad τὰ alt adnot in marg ἐν ἄλλω τὰ δίχα E^2 δίχα: διὰ EΛY ἐν ἄλλω τὰ δίχα δια (sic) R^a διὰ τῆς v 18 γινόμενα ER^{a}ΛYv 20 καινῆς om ER^{a}v πάσης coll ante 19 τῆς v ταύτης V om Syr ὁ om ER^{a}v πολλοῖς: ἄλλοις PV ὁ ἐν—21 πρωτότοκος alt om C 21 πρωτότοκος pr fort eras T et ὁ pr et πρωτότοκος alt om ER^{a}v

τὰς ὠδῖνας τοῦ θανάτου καὶ πᾶσι τὸν ἐκ νεκρῶν τόκον ὁδοποιήσας διὰ τῆς ἀναστάσεως. ἐν πᾶσι μὲν γὰρ τούτοις ἐγεννήθη, οὐ μὴν διὰ λοχείας παρῆλθεν εἰς γέννησιν· ἥ τε γὰρ ἐκ τοῦ ὕδατος γέννησις τὸ τῆς λοχείας πάθος οὐ παρεδέξατο καὶ ἡ ἐκ νεκρῶν παλιγγενεσία καὶ ἡ τῆς θείας ταύτης κτίσεως πρωτοτοκία, ἀλλ' ἐν πᾶσι τούτοις καθαρεύει τῆς λοχείας ὁ τόκος. διὰ τοῦτό φησιν Ἐκλελοχισμένος ἀπὸ μυριάδων.

Οἷον δὲ αὐτοῦ τὸ κάλλος ἐν τοῖς καθ' ἕκαστον μέλεσι διηγεῖται, καιρὸς ἂν εἴη κατανοῆσαι διὰ τῶν εἰρημένων. Κεφαλὴ αὐτοῦ, φησί, χρυσίον κεφάζ. ἡ δὲ Ἑβραϊκὴ λέξις, 1056 M. εἰ πρὸς τὴν ἡμετέραν μεταληφθείη φωνήν, τὸ καθαρόν τε καὶ ἄπεφθον καὶ πάσης ἐπιμιξίας ἀλλότριον χρυσίον διὰ τῆς φωνῆς ταύτης ἐνδείκνυται. ἀνερμήνευτον δέ μοι δοκοῦσι καταλελοιπέναι τὴν τοῦ κεφάζ λέξιν οἱ τὰς φωνὰς τῶν Ἑβραίων ἐξελληνίσαντες διὰ τὸ μὴ εὑρεῖν ἐν τοῖς Ἑλληνικοῖς ῥήμασι μηδεμίαν φωνὴν ἐξαγγελτικὴν τῆς ἐμφάσεως τῆς ἐνθεωρουμένης τῇ Ἑβραΐδι φωνῇ. ἡμεῖς δὲ τοῦτο μαθόντες ὅτι τὸ εἰλικρινῶς καθαρὸν καὶ πάσης ὕλης ῥυπαρᾶς ἀμιγές τε καὶ ἀπαράδεκτον ἡ τοιαύτη λέξις ἐνδείκνυται, ταῦτα περὶ τοῦ προκειμένου ῥητοῦ νοεῖν ἐναγόμεθα ὅτι κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας ἐστὶν ὁ Χριστός. Χριστὸν δὲ

1 cf Act 2, 24 4 cf Joh 3, 5 5 cf Matth 19, 28 6 cf Col 1, 15 11 Cant 5, 11 21-22 cf Col 1, 18

ER^a ΛYSΘ Σ PVT C Syr 1 τοῦ θανάτου coll ante τὰς V νεκρὸν V 3 γέννησιν ER^aTv Syr: γένεσιν cett 4 ἐκ: διὰ T γέννησις PT Syr: γένεσις cett v τὸ om P 5 post νεκρῶν add δὲ T παλιγγεννεσία Σv 6 κτίσεως: κυήσεως PVC Syr (ut vid, paraphr) πρωτοτοκίας Y τούτοις om T 9 οἷον δὲ: οἱονεὶ V 10 ante ἂν add δ' E (eras) R^aΛY δὲ v δὴ vel ἤδη Syr κατανοῆσαι corr in ras $Λ^2$ ut vid, coll post τῶν Y 11 φησί om ER^aΣVCv κηφαζ Θ 12 τὴν om P καταληφθείη V 13 ἄπεφθον ΛYSΣ: ἄμεμπτον Θ ἀνέπαφον PVC ἀνόθευτον ER^aTv ἀλλότερον v 14 δείκνυται ER^av δοκεῖν Sv 15 κηφὰζ E (corr E^2) R^aΘT οἱ om T (add T^2) 16 ἐξελληνίζοντες CV (ut vid, sed corr) ἐν om V 18 τούτοις C 19 ῥυπαρᾶς ὕλης ΛYSΘΣT, fort recte 21 προειρημένου V ἀγόμεθα PC 22 τῆς ἐκκλησίας om C 22-p 391, 2 Χριστὸν—ἄνθρωπον om Syr (scil interpres)

νῦν λέγομεν οὐ πρὸς τὸ ἀΐδιον τῆς θεότητος ἀναπέμποντες τοῦτο τὸ ὄνομα ἀλλὰ πρὸς τὸν θεοδόχον ἄνθρωπον, τὸν ἐπὶ γῆς ὀφθέντα καὶ τοῖς ἀνθρώποις συναναστραφέντα, τὸν τῆς παρθενίας βλαστόν, ἐν ᾧ Κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, τὴν ἀπαρχὴν τοῦ κοινοῦ φυράματος, δι' οὗ ὁ λόγος τὴν φύσιν ἡμῶν περιεβάλετο ποιήσας αὐτὴν ἀκήρατον, πάντων τῶν συμπεφυκότων αὐτῇ παθημάτων ἐκκαθαρθεῖσαν. οὕτω γάρ φησι περὶ αὐτοῦ ὁ προφήτης ὅτι Ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, τοῦ πεπειραμένου κατὰ πάντα καθ' ὁμοιότητα τῆς φύσεως ἡμῶν χωρὶς ἁμαρτίας. ἡ μὲν οὖν κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ἡ πάσης τῆς φύσεως ἡμῶν ἀπαρχή, τὸ καθαρόν τε καὶ πάσης κακίας ἀμιγές τε καὶ ἀπαράδεκτον χρυσίον ἐστίν, οἱ βόστρυχοι δέ, οἵ ποτε ζοφώδεις καὶ μέλανες καὶ τοῖς κόραξιν ὡμοιωμένοι τῷ εἴδει (ἐκείνοις λέγω τοῖς κόραξιν, οἷς ἔργον ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς ἐκκόπτειν κατὰ τὸν παροιμιώδη λόγον καὶ τοῖς νεοσσοῖς τῶν ἀετῶν βρῶμα τοὺς πηρωθέντας τῶν ὁρατικῶν αἰσθητηρίων παρασκευάζειν), οὗτοι ἐλάται, τὰ ὑψηλά τε καὶ οὐρανομήκη δένδρα, γενόμενοι διὰ τοῦ ἀναδραμεῖν ἐκ γῆς ἐπὶ τὸ οὐράνιον ὕψος προσθήκη τοῦ κάλλους γίνονται τοῦ νυμφίου τῆς θείας κεφαλῆς ἑαυτοὺς

4-5 Col 2, 9 5 cf Rom 11, 16 9-10 Isai 53, 9; I Petr 2, 22 10-11 cf Hebr 4, 15 16-18 cf Prov 30, 17 19-20 cf Odyss ε 238/9

ER^a ΛYSΘ Σ PVT C Syr 1 νῦν om ΛY 1-2 τὸ—πρὸς om Y 2 τὸν pr: τὸ P θεοδόχον: ἐπεσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν ἐνανθρωπήσαντα καὶ γενόμενον Σ e θεοδόχον ἄνθρωπον corr σαρκοφόρον θεόν C^2 4 post βλαστὸν add τὸν PVC πᾶν om ΛYSΘ 5 σωματικὴν V κοινοῦ: ἡμετέρου T 6 τῆς φύσεως V περιεβάλλετο Σ 7 αὐτῆς T 8 ἐκκαθαρθείς V 6-8 δι' οὗ—ἐκκαθαρθεῖσαν: χρυσίον ἀκήρατον καὶ ἄμωμον Syr 9 ηὑρέθη Σ 10 τὸν πεπειραμένον V 13 τε alt om V καὶ ἀπαράδεκτον coll ante καὶ pr P ἀπαράδεκτον: καθαρὸν Θ 15 ὁμοιούμενοι ER^av 16 τὸ coll ante ἔργον P om T 17 τῶν om R^a (add R^{a1}) βρώματα SΘT 18 (τοὺ)ς π(ηρωθέντας) corr in ras 2 vel 3 litt C^2 19 post ἐλάται add μέλανες Σ τε om V γενόμενοι ΛYΣPC: γινόμενοι cett v 20 τοῦ: τὸ ER^aΣTv γῆς: τῆς Σ ἐπὶ: πρὸς ΣC 21 αὐτοῦ v

τὰς ὠδῖνας τοῦ θανάτου καὶ πᾶσι τὸν ἐκ νεκρῶν τόκον ὁδοποιήσας διὰ τῆς ἀναστάσεως. ἐν πᾶσι μὲν γὰρ τούτοις ἐγεννήθη, οὐ μὴν διὰ λοχείας παρῆλθεν εἰς γέννησιν· ἥ τε γὰρ ἐκ τοῦ ὕδατος γέννησις τὸ τῆς λοχείας πάθος οὐ παρεδέξατο καὶ ἡ ἐκ νεκρῶν παλιγγενεσία καὶ ἡ τῆς θείας ταύτης κτίσεως πρωτοτοκία, ἀλλ' ἐν πᾶσι τούτοις καθαρεύει τῆς λοχείας ὁ τόκος. διὰ τοῦτό φησιν Ἐκλελοχισμένος ἀπὸ μυριάδων.

Οἷον δὲ αὐτοῦ τὸ κάλλος ἐν τοῖς καθ' ἕκαστον μέλεσι διηγεῖται, καιρὸς ἂν εἴη κατανοῆσαι διὰ τῶν εἰρημένων. Κεφαλὴ αὐτοῦ, φησί, χρυσίον κεφάζ. ἡ δὲ Ἑβραϊκὴ λέξις,
1056 M. εἰ πρὸς τὴν ἡμετέραν μεταληφθείη φωνήν, τὸ καθαρόν τε καὶ ἄπεφθον καὶ πάσης ἐπιμιξίας ἀλλότριον χρυσίον διὰ τῆς φωνῆς ταύτης ἐνδείκνυται. ἀνερμήνευτον δέ μοι δοκοῦσι καταλελοιπέναι τὴν τοῦ κεφὰζ λέξιν οἱ τὰς φωνὰς τῶν Ἑβραίων ἐξελληνίσαντες διὰ τὸ μὴ εὑρεῖν ἐν τοῖς Ἑλληνικοῖς ῥήμασι μηδεμίαν φωνὴν ἐξαγγελτικὴν τῆς ἐμφάσεως τῆς ἐνθεωρουμένης τῇ Ἑβραΐδι φωνῇ. ἡμεῖς δὲ τοῦτο μαθόντες ὅτι τὸ εἰλικρινῶς καθαρὸν καὶ πάσης ὕλης ῥυπαρᾶς ἀμιγές τε καὶ ἀπαράδεκτον ἡ τοιαύτη λέξις ἐνδείκνυται, ταῦτα περὶ τοῦ προκειμένου ῥητοῦ νοεῖν ἐναγόμεθα ὅτι κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας ἐστὶν ὁ Χριστός. Χριστὸν δὲ

1 cf Act 2, 24 4 cf Joh 3, 5 5 cf Matth 19, 28 6 cf Col 1, 15 11 Cant 5, 11 21-22 cf Col 1, 18

ER^a ΛYSΘ Σ PVT C Syr 1 τοῦ θανάτου coll ante τὰς V νεκρὸν V 3 γέννησιν ER^{a}Tv Syr: γένεσιν cett 4 ἐκ: διὰ T γέννησις PT Syr: γένεσις cett v τὸ om P 5 post νεκρῶν add δὲ T παλιγγεννεσία Σv 6 κτίσεως: κυήσεως PVC Syr (ut vid, paraphr) πρωτοτοκίας Y τούτοις om T 9 οἷον δὲ: οἱονεὶ V 10 ante ἂν add δ' E (eras) R^{a}ΛY δὲ v δὴ vel ἤδη Syr κατανοῆσαι corr in ras Λ^2 ut vid, coll post τῶν Y 11 φησί om ER^{a}ΣVCv κηφαζ Θ 12 τὴν om P καταληφθείη V 13 ἄπεφθον ΛYSΣ: ἄμεμπτον Θ ἀνέπαφον PVC ἀνόθευτον ER^{a}Tv ἀλλότερον v 14 δείκνυται ER^{a}v δοκεῖν Sv 15 κηφὰζ E (corr E^2) R^{a}ΘT οἱ om T (add T^2) 16 ἐξελληνίζοντες CV (ut vid, sed corr) ἐν om V 18 τούτοις C 19 ῥυπαρᾶς ὕλης ΛYSΘΣT, fort recte 21 προειρημένου V ἀγόμεθα PC 22 τῆς ἐκκλησίας om C 22-p 391, 2 Χριστὸν—ἄνθρωπον om Syr (scil interpres)

νῦν λέγομεν οὐ πρὸς τὸ ἀΐδιον τῆς θεότητος ἀναπέμποντες τοῦτο τὸ ὄνομα ἀλλὰ πρὸς τὸν θεοδόχον ἄνθρωπον, τὸν ἐπὶ γῆς ὀφθέντα καὶ τοῖς ἀνθρώποις συναναστραφέντα, τὸν τῆς παρθενίας βλαστόν, ἐν ᾧ Κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, τὴν ἀπαρχὴν τοῦ κοινοῦ φυράματος, δι' οὗ ὁ λόγος τὴν φύσιν ἡμῶν περιεβάλετο ποιήσας αὐτὴν ἀκήρατον, πάντων τῶν συμπεφυκότων αὐτῇ παθημάτων ἐκκαθαρθεῖσαν. οὕτω γάρ φησι περὶ αὐτοῦ ὁ προφήτης ὅτι Ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, τοῦ πεπειραμένου κατὰ πάντα καθ' ὁμοιότητα τῆς φύσεως ἡμῶν χωρὶς ἁμαρτίας. ἡ μὲν οὖν κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ἡ πάσης τῆς φύσεως ἡμῶν ἀπαρχή, τὸ καθαρόν τε καὶ πάσης κακίας ἀμιγές τε καὶ ἀπαράδεκτον χρυσίον ἐστίν, οἱ βόστρυχοι δέ, οἵ ποτε ζοφώδεις καὶ μέλανες καὶ τοῖς κόραξιν ὡμοιωμένοι τῷ εἴδει (ἐκείνοις λέγω τοῖς κόραξιν, οἷς ἔργον ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς ἐκκόπτειν κατὰ τὸν παροιμιώδη λόγον καὶ τοῖς νεοσσοῖς τῶν ἀετῶν βρῶμα τοὺς πηρωθέντας τῶν ὁρατικῶν αἰσθητηρίων παρασκευάζειν), οὗτοι ἐλάται, τὰ ὑψηλά τε καὶ οὐρανομήκη δένδρα, γενόμενοι διὰ τοῦ ἀναδραμεῖν ἐκ γῆς ἐπὶ τὸ οὐράνιον ὕψος προσθήκη τοῦ κάλλους γίνονται τοῦ νυμφίου τῆς θείας κεφαλῆς ἑαυτοὺς

4-5 Col 2, 9 5 cf Rom 11, 16 9-10 Isai 53, 9; I Petr 2, 22 10-11 cf Hebr 4, 15 16-18 cf Prov 30, 17 19-20 cf Odyss ε 238/9

ER^a ΛYSΘ Σ PVT C Syr 1 νῦν om ΛY 1-2 τὸ—πρὸς om Y 2 τὸν pr: τὸ P θεοδόχον: ἐπεσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν ἐνανθρωπήσαντα καὶ γενόμενον Σ e θεοδόχον ἄνθρωπον corr σαρκοφόρον θεόν C^2 4 post βλαστὸν add τὸν PVC πᾶν om ΛYSΘ 5 σωματικὴν V κοινοῦ: ἡμετέρου T 6 τῆς φύσεως V περιεβάλλετο Σ 7 αὐτῆς T 8 ἐκκαθαρθείς V 6-8 δι' οὗ—ἐκκαθαρθεῖσαν: χρυσίον ἀκήρατον καὶ ἄμωμον Syr 9 ηὑρέθη Σ 10 τὸν πεπειραμένον V 13 τε alt om V καὶ ἀπαράδεκτον coll ante καὶ pr P ἀπαράδεκτον: καθαρὸν Θ 15 ὁμοιούμενοι ER^{a}v 16 τὸ coll ante ἔργον P om T 17 τῶν om R^a (add R^{a1}) βρώματα SΘT 18 (τοὺ)ς π(ηρωθέντας) corr in ras 2 vel 3 litt C^2 19 post ἐλάται add μέλανες Σ τε om V γενόμενοι ΛYΣPC: γινόμενοι cett v 20 τοῦ: τὸ ER^{a}ΣTv γῆς: τῆς Σ ἐπὶ: πρὸς ΣC 21 αὐτοῦ v

ἐξαρτήσαντες. οὐκ ἀγνοεῖς δὲ πάντως, τί τῶν βοστρύχων τούτων ἔργον ἐστίν, ἐν τοῖς ἄνω μαθὼν παρ' αὐτῆς τῆς τοῦ νυμφίου φωνῆς ὅτι Οἱ βόστρυχοί μου ἐπλήσθησαν ψεκάδων νυκτός. ἐκεῖνοι οὖν εἰσιν οἱ ψεκάζοντες βόστρυχοι, οἱ παρὰ τῶν προφητῶν νεφέλαι ὠνομασμένοι, ἀφ' ὧν γίνεται τῆς διδασκαλίας ὁ ὄμβρος, ὁ τὰς ἐμψύχους ἀρούρας ποτίζων πρὸς τὴν εὐκαρπίαν τῶν τοῦ θεοῦ γεωργίων. ἀποστόλους δὲ οἶμαι τροπικῶς τοὺς βοστρύχους ὑπὸ τοῦ λόγου σημαίνεσθαι, ὧν τινες ἦσαν πρότερον ζοφώδεις τοῖς τοῦ βίου ἐπιτηδεύμασιν· ὁ τελώνης, ὁ ληστής, ὁ διώκτης, καὶ εἴ τις ἄλλος τοιοῦτος κατὰ τὸν μέλανά τε καὶ σαρκοβόρον, τὸν τῶν ὀφθαλμῶν ἀφανιστικὸν κόρακα, λέγω δὲ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκότους, καθώς φησιν ὁ ἀπὸ κόρακος ἐλάτη γενόμενος καὶ διὰ τοῦτο βόστρυχος τῆς θείας κεφαλῆς χρηματίσας ὅτι Τὸ πρότερον ὢν βλάσφημος καὶ διώκτης καὶ ὑβριστής, ἕως ἦν κόραξ, πρὸς τὴν χάριν ταύτην μετεσκευάσθη βόστρυχος γενόμενος τῇ οὐρανίᾳ δρόσῳ διάβροχος, ὁ παντὶ τῷ σώματι

3 Cant 5, 2 4-8 cf supra p 326, 5-9 5 cf Origen Homil in Jerem VIII 3-5 (p 58-60, Klostermann) 6-7 cf I Cor 3, 7-9 10 cf Matth 10, 3 (ὁ τελώνης); I Tim 1, 13 (διώκτης). apostolum ληστήν fuisse non inveni nisi apud Sossianum Hierocl (cf Lactant Div Inst V 2/3). num de Method Contra Porphyr? an pro ὑβριστής (I Tim 1, 13)? an de Barnab Epist 5, 9 (cf Origen Contra Cels I 63=p 115, 14 sqq, Koetschau)? 12-13 cf Eph 2, 2 et Col 1, 13 15 I Tim 1, 13

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐξαρτίσαντες E (corr E^2) V et ἀγνοεῖ et add τις post πάντως ER^av 4 νυκτός: ὕδατος ER^av ἐκείνου v οὖν: γὰρ T οἱ alt: αἱ S om ER^aVC (sscr οἱ C^2) v 5 ὠνομασμέναι SY (ὀν-) ὀνομαζόμενοι ER^av ἀμφ' Y 6 ὁ pr coll ante τῆς PVC ἀψύχους v 7 τοῦ θεοῦ: θείων Θ 8 οἶμαι: εἶναι ut vid E (corr E^2) βόστρυχας S ante λόγου add θεοῦ v 9 τινων πρότερον ἦσαν SΘ ante πρότερον add τὸ T τοῖς—ἐπιτηδεύμασιν om ΛY 10 ὁ ληστής, ὁ τελώνης ER^av 11 τὸν alt om R^aPVv τῶν om E (corr τὸν in τῶν E^2) ὀφθαλμὸν S 12-13 τοῦ σκότους coll ante τῆς ER^av 13 κόρακ(ος) corr in ras E^2 ἐλάτη ΛYv: ἐλατὴ S ἐλάτης cett (C^2 eras -ς) ἀπόστολος Syr 14 καὶ om E (ins E^2) 15 τὸ om v 16 μετεσκευάσθη om ΛY 17 οὐρανίῳ ER^aV ὁ: καὶ PVC τῷ om Θ

τῆς ἐκκλησίας τὸν τῶν ἀποκρύφων τε καὶ σκοτεινῶν
1057 M. μυστηρίων λόγον ἐπιψεκάζων. τούτους μὲν οὖν λέγεσθαι παρὰ τῆς νύμφης βοστρύχους ὑπενοήσαμεν, οἳ τῆς χρυσῆς κεφαλῆς ἀπηρτημένοι οὐ μικρὰν δι' ἑαυτῶν ποιοῦσι προσθήκην τῆς ὥρας τῇ τοῦ πνεύματος αὔρᾳ περισοβούμενοι. οὗτοι στέφανος γίνονται κάλλους τῇ ἀκηράτῳ κεφαλῇ κοσμοῦντες αὐτὴν τῷ ἰδίῳ κυκλώματι· περὶ τούτων γάρ μοι δοκεῖ λέγειν ἡ προφητεία ὅτι Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. ὥστε αὐτοὺς δι' ἑκατέρων νοεῖσθαι τῶν ὀνομάτων· εὐπρεπεῖς τε βοστρύχους καὶ λίθους τιμίους δι' ἑαυτῶν τὴν κεφαλὴν καλλωπίζοντας.

Ἀκόλουθον δ' ἂν εἴη καὶ τὰ περὶ τῶν ὀφθαλμῶν εἰρημένα θεωρῆσαι τῷ λόγῳ. ἔστι δὲ ἡ λέξις αὕτη· Ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων, λελουμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώματα ὑδάτων. ἡ δὲ τῶν εἰρημένων διάνοια τῆς μὲν καταλήψεως ἡμῶν ἐστιν ὑψηλοτέρα (ὃ γὰρ ἂν ἐννοήσωμεν περὶ τούτων, ἔλαττον εἶναι τῆς ἀληθείας οἰόμεθα), σκοπουμένοις δὲ δι' ἐπιμελείας ἡμῖν τοιαύτη τις ἔδοξεν εἶναι· φησί που τῶν ἑαυτοῦ λόγων ὁ θεῖος ἀπόστολος μὴ δύνασθαι λέγειν τὸν ὀφθαλμὸν τῇ χειρὶ Χρείαν σου οὐκ ἔχω, δόγμα διὰ τούτων ποιούμενος ὅτι δι' ἀμφοτέρων προσήκει τὸ σῶμα τῆς ἐκκλησίας πράττειν

1-2 cf Col 2, 2/3 8-9 Ps 20, 4 21 I Cor 12, 21

ER^a ΛYS Σ PVT C Syr Θ (post 2 μυστηρίων def 1 fol)
1 τὸν: τὸ C (sscr ν C^2) 2 οὖν om ER^aPVv Syr 4 δι': δὴ Y ποιοῦνται V προσθήκην ποιοῦσι ΛYSΣT (corr numeris β et α sscr) 6 στέφανος ΣVC Syr: στέφανοι cett v τῇ: τὸ Y κεφα ··· λῇ (sic) Y 8 αὐτῶν P (sed corr) 9 λίθων τιμίων C^2 (corr bis -ων ex -ου) Syr νοεῖσθαι coll ante δι' T 10 νοημάτων ER^av ἀπρεπεῖς Y 11 αὐτῶν ER^av 12 τῶν om Σ 13 θεωρῆσαι: καλλωπίσαι S αὕτη: οὕτως V Syr ante ὀφθαλμοὶ add οἱ P 14 ὡς (cf supra p 371, 8 et infra 395, 2) P Syr: om cett v πληρώματος PV ῥεύματα Syr 14-15 λελουμέναι— ὑδάτων om C 15 πληρώματος PV Syr (vel πλήρωμα) 17 ἂν om S ἐννοήσομεν S νοήσωμεν PV (-σο-) C 18 οἶμαι Syr οἰώμεθα V 19 τοιαύτης C (eras -ς) τις om C λόγων: ἐπιστολῶν Syr 20 τῶν ὀφθαλμῶν Λ (corr $Λ^2$) Y 21 δι' om C (add C^2) 22 τῷ σώματι ER^av

καλῶς τοῦ διορατικοῦ τῆς ἀληθείας συγκεκραμένου πρὸς τὸ δραστήριον, οὔτε τῆς θεωρίας καθ' ἑαυτὴν τὴν ψυχὴν τελειούσης, εἰ μὴ καὶ τὰ ἔργα παρείη, τὰ τὸν ἠθικὸν κατορθοῦντα βίον, οὔτε τῆς πρακτικῆς φιλοσοφίας αὐτάρκη παρεχομένης τὴν ὠφέλειαν μὴ τῆς ἀληθινῆς εὐσεβείας τῶν γινομένων καθηγουμένης. εἰ τοίνυν ἀναγκαία τῶν ὀφθαλμῶν πρὸς τὰς χεῖράς ἐστιν ἡ συζυγία, τάχα προσαγόμεθα διὰ τῶν εἰρημένων πρῶτον μὲν τοὺς ὀφθαλμούς, οἵτινές εἰσι, κατανοῆσαι, ἔπειτα δὲ καὶ τὸν περὶ αὐτῶν ἔπαινον ἐν θεωρίᾳ λαβεῖν. τὸν δὲ περὶ τῶν χειρῶν λόγον τῷ ἰδίῳ ταμιευσόμεθα τόπῳ. ὀφθαλμῶν γὰρ ἴδιον ἐκ φύσεως ἔργον ἐστὶ τὸ ὁρᾶν. διὸ κατὰ τὴν τοπικὴν θέσιν πάντων ὑπέρκεινται τῶν αἰσθητηρίων εἰς ὁδηγίαν τοῦ παντὸς σώματος προτεταγμένοι παρὰ τῆς φύσεως. ὅταν οὖν τοὺς τῆς ἀληθείας καθηγουμένους παρὰ τῆς θείας γραφῆς οὕτως ὀνομαζομένους ἀκούσωμεν, ὧν ὁ μέν τις ἐλέγετο ὁ βλέπων, ἕτερος δὲ ὁ ὁρῶν, ἄλλος δὲ σκοπός, οὕτω παρὰ τοῦ θεοῦ διὰ τῆς προφητείας ὠνομασμένος, ἐναγόμεθα διὰ τούτων τοὺς ἐφορᾶν καὶ ἐπιβλέπειν καὶ ἐπισκοπεῖν τεταγμένους ὀφθαλμοὺς ἐνταῦθα νομίζειν κατονομάζεσθαι. τὸ δὲ περὶ αὐτοὺς θαῦμα καθ' ὁμοιότητά τινα συγκριτικὴν γίνεσθαι διδασκόμεθα τῆς πρὸς

11-395, 12 cf supra p 216, 17-219, 8 16 ὁ βλέπων: cf I Reg 9, 9; 16, 4; Paralip 29, 29 ὁ ὁρῶν: cf Amos 7, 12; II Reg 24, 11 (et passim) 17 σκοπός: cf Ezech 3, 17; 33, 7

ER^a ΛYS Σ PVT C Syr 2 τὴν ψυχὴν om T coll post 3 τελειούσης P (sed corr numeris β et α sscr) 3 παρείη ΣE (ut vid, corr παρῇ E^2): παρήει Λ (ex corr ut vid) YS παρῇ cett v 5 ὠφέλ(ειαν) corr in ras E 6 εἰ: ἢ V 9 οἵτιτες (sic) Σ εἴ τινες P αὐτὸν V 11 ταμιευσώμεθα E (corr -σο- E^2) PV ὀφθαλμῷ V 12 ἔργον om E (in marg add E^2) διὸ corr in ras 6 vel 7 litt S post διὸ add καὶ VT τῇ τοπικῇ θέσει (om κατὰ) T τὴν om P 16 ὁ pr om PVC (sscr C^2) ὁ alt om ER^av 17 δὲ om T post δὲ add ὁ V^2 (vel V^1 post) σκοπῶν V οὕτω coll ante διὰ v τοῦ om Λ (sscr m ut vid pr) P τῷ θεῷ ER^av 18 ὠνομασμένως P τοὺς: τοῦ YΛ (fort, corr $Λ^2$) 19 βλέπειν S 20 νομίζειν om T 21 γενέσθαι V διδασκόμεθα γίνεσθαι T ante τῆς add παρὰ Σ

τὸ κρεῖττον παραθέσεως τὸ κάλλος αὐτῶν ὑπογραφούσης· φησὶ γὰρ ὅτι Ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραί. καλὸς γὰρ ὡς ἀληθῶς τῶν τοιούτων ὀμμάτων ἔπαινος ἡ ἀκακία, ἣν κατορθοῦσιν οἱ μηκέτι τῷ σαρκώδει βίῳ ἐμμολυνόμενοι ἀλλὰ ζῶντές τε καὶ στοιχοῦντες τῷ πνεύματι· ὁ γὰρ πνευματικός τε καὶ ἄϋλος βίος τῷ τῆς περιστερᾶς εἴδει χαρακτηρίζεται, ἐπειδὴ καὶ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον οὕτως ὤφθη παρὰ τοῦ Ἰωάννου ἐκ τῶν οὐρανῶν ἐπὶ τὸ ὕδωρ ἱπτάμενον.
1060 M. οὐκοῦν τὸν ἀντὶ ὀφθαλμοῦ τῷ σώματι τῆς ἐκκλησίας ὑπὸ τοῦ θεοῦ τεταγμένον, εἰ μέλλοι καθαρῶς ἐπισκοπεῖν τε καὶ ἐφορᾶν καὶ ἐπιβλέπειν, πᾶσαν τὴν ἐκ κακίας λήμην ἀποκλύζεσθαι προσήκει τῷ ὕδατι. ἔστι δὲ οὐχ ἓν ὕδωρ ῥυπτικὸν τῶν ὀμμάτων, ἀλλὰ πολλὰ τῶν τοιούτων ὑδάτων εἶναί φησι τὰ πληρώματα. ὅσαι γάρ εἰσιν ἀρεταί, τοσαύτας χρὴ τὰς τῶν καθαρσίων ὑδάτων ἐννοῆσαι πηγάς, δι' ὧν οἱ ὀφθαλμοὶ γίνονται ἀεὶ ἑαυτῶν καθαρώτεροι· οἷον πηγὴ τοῦ καθαρσίου ὕδατός ἐστιν ἡ σωφροσύνη, ἄλλη τοιαύτη πηγὴ ἡ ταπεινοφροσύνη ἡ ἀλήθειά τε καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρεία καὶ ἡ τοῦ ἀγαθοῦ ἐπιθυμία καὶ ἡ τοῦ κακοῦ ἀλλοτρίωσις.

5 cf Gal 5, 25 7-8 cf Joh 1, 32

ER^a ΛYSΘ(inde a 9 σώματι) Σ PVT C Syr 1 post κρεῖττον add αὐτῆς Σ post ὑπογραφούσης sscr 2 vel 3 litt quae vix legi possunt (fort ἵνα?) C^2 2 γὰρ pr om PC αὐτοῦ om v ὡς om PT καλῶς R^a 3 ὀμμάτων: ὀνομάτων V om R^a ante ἔπαινος add ὁ ΛYSV 4 μολυνόμενοι ER^av 5 τε om R^a 6 τε om VTv 8 τῶ ἰωάννη Σ ἐκ: ἐν P (sed corr) ἐκ τῶν οὐρανῶν om C οὐρανῶν om R^a 9 τὸν: τῶ T ὀφθαλμῶν v 9-10 ὑπὸ τοῦ θεοῦ τεταγμένον: ὑποτιθέμενον PVC 10 τεταγμένω T μέλλει T μέλοι Λ μέλει v super (μέλλ)οι sscr ει P καθαρῶς: καθὼς V 11 ἐφορᾶν καὶ om v τὴν om P λίμην R^a λύμην PVC λήμμην T 12 ἀποκλύσασθαι ER^av 13 ῥυστικὸν C νιπτικὸν ER^av 14 πληρώματα: ῥεύματα Syr ante ἀρεταί add αἱ PV τοσαύτας: τίς αὔτας C (corr C^2) 15 ἐννοεῖσθαι V 16 ἀεὶ om PVC αὐτῶν CV (coll ante γίνονται) 17 σωφροσύνη: ταπεινοφροσύνη V πηγὴ τοιαύτη ER^av 18 ἡ ταπεινοφροσύνη: ἡ σωφροσύνη V om T ante ἡ ἀλήθειά add οὕτω καὶ Syr ἡ alt—δικαιοσύνη om ΣPVC, fort recte τε ΛYSΘT: om ER^av ἡ quart om V ἀνδρία SΘE^2 (ex -εία)

ταῦτα καὶ τὰ τοιαῦτα ὕδατά ἐστιν ἐκ μιᾶς μὲν πηγῆς, διαφόρων δὲ ῥείθρων εἰς ἓν ἀθροιζόμενα πλήρωμα, δι' ὧν πάσης ἐμπαθοῦς λήμης γίνεται τοῖς ὀφθαλμοῖς τὰ καθάρσια. ἀλλ' εἰσὶ μὲν ἐπὶ τὰ πληρώματα τῶν ὑδάτων οἱ ὀφθαλμοί, οἱ διὰ τῆς ἀκεραιότητός τε καὶ ἀκακίας ταῖς περιστεραῖς ὡμοιωμένοι, λουτρὸν δὲ αὐτῶν εἶναι τὸ γάλα φησὶν οὕτως εἰπόντος τοῦ λόγου ὅτι Λελουμέναι ἐν γάλακτι. πρέπων δὲ τοῖς τοιούτοις ὄμμασιν ἔπαινος τὸ τῷ γάλακτι τὴν τοιαύτην περιστερὰν λουομένην ἐνωραΐζεσθαι· ἀληθὴς γὰρ ἡ τοῦ γάλακτός ἐστι παρατήρησις ὅτι μόνον τῶν ὑγρῶν τοῦτο τοιαύτην ἔχει τὴν ἰδιότητα τὸ μὴ ἐμφαίνεσθαι αὐτῷ εἴδωλόν τινος καὶ ὁμοίωμα. πάντα γὰρ ὅσα τῆς ὑγρᾶς ἐστι φύσεως καθ' ὁμοιότητα τῶν κατόπτρων διὰ τοῦ λείου τῆς ἐπιφανείας τῶν εἰς αὐτὰ βλεπόντων ἀντιφαίνεσθαι παρασκευάζει τὰ ὁμοιώματα, ἐν μόνῳ δὲ τῷ γάλακτι ἡ τοιαύτη εἰδωλοποιΐα χώραν οὐκ ἔχει. οὗ χάριν τοιοῦτος τῶν τῆς ἐκκλησίας ὀφθαλμῶν ἐστιν ὁ τελεώτατος ἔπαινος τὸ μηδὲν ἀνυπόστατόν τε καὶ πεπλανημένον καὶ μάταιον παρὰ τὴν τῶν ὄντων ἀλήθειαν σκιαγραφεῖν ἐν ἑαυτοῖς δι' ἀπάτης ἀλλὰ τὸ ὄντως ὂν βλέπειν, τὰς δὲ ἠπατημένας τοῦ τῆδε βίου ὄψεις τε καὶ

5 cf Matth 10, 16

ERª ΛΥSΘ Σ PVT C Syr 1-2 et om et μὲν et δὲ et add καὶ post πηγῆς Θ 2 συναθροιζόμενα T πληρώματα Rª 3 ἐκ πάθους(sic) v λύμης PVCE(fort, corr E²) λήμμης T τοῖς ὀφθαλμοῖς om C 4 πληρώματα: ῥεύματα Syr 5 οἱ om VT ἀκεραιότητός: καθαρότητος ΛΥSΘ τε om ERªv 6 ὁμοιούμενοι PVT λουτρῶν T(sed corr) αὐτοῖς ERªv εἶναι coll post γάλα ΛΥSΘΣ om ERªv 7 λελουμένοι VC 7-8 πρέπων—γάλακτι om PVC 8 τὸ: τῶ ΥΛ(corr Λ²) τῷ om T 9-10 ἐστιν coll ante ἡ Σv 10 μόνων ERª τῶν ὑγρῶν om v 11 τὸ: τῶ ΛΥ (ἐμφαίν)εσθαι corr in ras C² 12 ὁμοιότητα V post ἐστι cum add tum eras τῆς C 13 λείου ERªΣTv Syr (add καὶ λεπτοῦ vel λιτοῦ): ἡλίου cett τῆς coll ante τοῦ S 14 ἐς v 15 τὰ ὁμοιώ(ματα) corr in ras T² 17 ὁ om T τελειότατος T τὸ: τῶ RªE²(e τὸ ut vid) ἐνυπόστατον Υ 18 τε om T 19 σκιαγραφεῖν PT: σκιογραφεῖν cett v(-γράφειν) ἐν om ERªVv ἑαυτοῖς ERªTCv: ἑαυταῖς ΛΥ αὐταῖς SΘΣ ἑαυτῇ P om V τὸ: τῶ ERªV τὸν v 20 ὂν: ὄντα ERªv ἠλητευμένας (an recte? cf Philo Migrat Abrahami § 171) v ἠπατημένας καὶ ἠλητευμένας(ut vid) Syr τῆδε om C

φαντασίας μὴ παραδέχεσθαι. διὰ τοῦτο πρὸς τὴν καθαρότητα τῶν ὀμμάτων ὑπὸ τῆς τελείας ψυχῆς τὸ τοῦ γάλακτος λουτρὸν ἀσφαλὲς ἐκρίθη.

Ὁ δὲ ἐφεξῆς λόγος νόμος ἐστὶ τοῖς ἐπαΐουσι περὶ ἃ χρὴ τοὺς ὀφθαλμοὺς τὴν σπουδὴν ἔχειν· Καθήμεναι γάρ, φησίν, ἐπὶ πληρώματα ὑδάτων. τὴν γὰρ διηνεκῆ προσεδρείαν τῆς περὶ τὰ θεῖα μαθήματα προσοχῆς ὁ τοιοῦτος ὑποτίθεται λόγος, δι' ὧν ἐπαινεῖ τοὺς καθαροὺς ὀφθαλμοὺς καὶ ἡμᾶς διδάσκων, ὅπως ἂν τὸ ἴδιον κάλλος τῶν ὀφθαλμῶν ἀναλάβοιμεν ἀεὶ προσκαθήμενοι τοῖς τῶν ὑδάτων πληρώμασιν, ὡς οἵ γε πολλοὶ τῶν εἰς ὀφθαλμοὺς τεταγμένων καταλιπόντες τὸ τοῖς τοιούτοις πληρώμασι προσεδρεύειν τοῖς Βαβυλωνίοις ποταμοῖς παρακάθηνται πληροῦντες τὴν ἐκ προσώπου τοῦ θεοῦ γενομένην ἐπὶ τῶν τοιούτων κατηγορίαν Ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ μὴ δύνωνται ὕδωρ συνέχειν. μάθημα τοίνυν ἐστίν, ὅπως ἂν γένοιτο καλὸς ὀφθαλμός, ἐμπρέπων τε καὶ ἐναρμόζων τῇ χρυσῇ κεφαλῇ, τὸ εἶναι αὐτὸν ἀκέραιον μὲν κατὰ τὴν περιστεράν, ἀπλανῆ τε καὶ ἀνεξαπάτητον κατὰ τὴν τοῦ γάλακτος φύσιν, μηδεμιᾷ

12-13 cf Ps 136,1; cf Method Conv IV 4 (p 49, 13-15) 14-16 Jerem 2,13

ERª ΛΥSΘ Σ PVT C Syr 1-3 καθαρότητα—λουτρὸν om Υ (in marg add Υ²) 2 ὀνομάτων V ante ὑπὸ add τῶν C (eras τῶν ὑπὸ) ὑπὸ—ψυχῆς om Syr 3 (λο)υτρὸν fort e ras E ἀσφαλὲς: ἐνταῦθα Syr om SΘ 4 ἑξῆς ΛΥ νόμος: μόνος Λ(corr Λ²)ΥSΘ 5 ἃ χρὴ: ἄχρι ΥΛ(fort, corr Λ²) ἔχειν coll ante τὴν V(corr numeris β et α sscr) καθήμενοι C 6 πληρώματος PV Syr(vel πλήρωμα) προσεδρίαν PC 7 et τῆς et προσοχῆς om Syr 9-10 ἀναλάβωμεν VTP(sscr ω) 10 et ante ὡς add οὐδὲ et ante 12 τοῖς alt add particulam exclamationis 'et ecce' Syr οἵ: εἴ SΘ 11 καταλειπόντες(sic)ΣC(sscr ϊ C²) 12 τὸ om T τοῖς pr om V 13 ποταμοῖς: ὀφθαλμοῖς V 14 γεγενημένην ERªv 15 ἐγκατέλειπον ΣC ἑαυτοὺς E (corr E²) 16 μὴ om ERªΣTv LXX δύνανται ERªΘTv δυνήσονται Σ LXX συνέχειν ὕδωρ v 17 μαθεῖν T τοίνυν: οὖν v πῶς T γένοιτο ἂν v γένηται ΛΥSΘ post καλὸς add ὁ ΣΤΛ² 18 ἐμπρέπων: ἐπιτρέπων V 19 ἀκαίρεον Σ ἀκαίριον C(corr C²) τε ERªv: δὲ cett Syr

1061 M. πλάνῃ τῶν ἀνυποστάτων φαντασιούμενον, προσκαθῆσθαι δὲ διὰ παραμονῆς καὶ προσεδρείας τοῖς πληρώμασι τῶν θείων ὑδάτων καθ' ὁμοιότητα τοῦ ξύλου τοῦ παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένου καὶ μὴ μεθισταμένου· οὕτω γὰρ ὅ τε καρπὸς ἐπὶ τοῦ ἰδίου καιροῦ προβληθήσεται καὶ ὁ κλάδος ἀειθαλὴς φυλαχθήσεται τῇ εὐχροίᾳ τῶν φύλλων περισοβούμενος. νυνὶ δὲ πολλοὶ τῶν ὀφθαλμῶν τῶν πνευματικῶν τούτων ὑδάτων καταμελοῦντες καὶ τῆς τοῦ λόγου προσεδρείας μικρὰ φροντίζοντες ἤτοι τὸν τῆς φιλοχρηματίας ἑαυτοῖς λάκκον ὀρύσσουσιν ἢ τὴν κενοδοξίαν λατομοῦσιν ἢ τὴν ὑπερηφανίαν φρεωρυχοῦσιν ἢ ἄλλους τινὰς λάκκους ἀπάτης μετ' ἐπιμελείας ὀρύσσουσιν, οἳ συνέχειν εἰς τὸ διηνεκὲς τὸ σπουδαζόμενον αὐτοῖς ὕδωρ φύσιν οὐκ ἔχουσιν ἀεὶ τῆς ὧδε τιμῆς τε καὶ δυναστείας καὶ δόξης, περὶ ἣν ἐστιν ἡ σπουδὴ τοῖς πολλοῖς, ὁμοῦ τῷ συστῆναι διαρρεούσης καὶ οὐδὲν ἴχνος τῆς ματαίας σπουδῆς ἐν τοῖς ἠπατημένοις καταλειπούσης. τοιούτους εἶναι βούλεται τοὺς ὁρῶντάς τε καὶ ἐπισκοποῦντας ὁ λόγος ὧν χρὴ προβεβλῆσθαι μὲν οἷόν τινα ὀφρύων περιβολὴν τὴν τῶν θείων διδαγμάτων ἀσφάλειαν, ἐπικαλύπτεσθαι δὲ τῇ ταπεινοφροσύνῃ καθάπερ τινὶ βλεφάρων περιβολῇ τὸ καθαρόν τε καὶ στίλβον τῆς πολιτείας, μή ποτε ἡ τῆς οἰήσεως δοκὸς ἐμπεσοῦσα τῷ καθαρῷ τῆς κόρης ἐμποδὼν γένηται πρὸς τὴν ὅρασιν. τίς δὲ μετὰ τοὺς ὀφθαλμοὺς

3-7 cf Ps 1, 3 22 cf Matth 7, 3 ~ Luc 6, 41

ER^a ΛYSΘ Σ PVT C Syr 1 φαντασιούμενοι V προκαθῆσθαι P 2 δὲ: καὶ (ante προσκ.)Syr διὰ om V (παρὰ μονῆς) προσεδρίας E (corr E^2)PT(sed corr)C 4 καὶ μὴ μεθισταμένου om P μή: οὐ v om ER^a 5 προβλήσεται P 7 νῦν TC πολλοὶ om v 8 τούτων ὑδάτων καταμε(λοῦντες) corr in ras T^2 ut vid καταμελοῦντες ὑδάτων PVC 9 προσεδρίας ER^aP φροντίσαντες T ἤτοι Syr τῆς om ΛY 10 λάκκον: βόθρον T 11 ἢ pr— φρεωρυχοῦσιν om P 13 ὕδωρ αὐτοῖς ΛY φύσιν om T ἰσχύουσιν T 14 τῆς: τοῖς P 15 τῷ: τὸ ER^aVC(ut vid, corr C^2) τοῦ ΣP 16 οὐδὲ V μηδὲν Σ 17 καταλιπούσης ΘPVv τε om Σ 18 ὧν: οὓς T (προβ)εβ(λῆσθαι) corr in ras $Λ^2$ περιβεβλῆσθαι T οἵων E (corr E^2 ut vid) 19 δογμάτων P ὠφέλειαν PVC 20 σωφροσύνῃ v 23 ἐμποδὸν E (corr E^2)VC(corr C^2) ἐμπόδιον SΘT γίνεται E (corr E^2) γενήσεται T τίς: τῆς C (corr C^2)E (ut vid, corr E^2) μετά: κατὰ v

τῶν μελῶν τοῦ νυμφίου ἐστὶν ὁ ἔπαινος, ἐν τοῖς ἐφεξῆς θεοῦ διδόντος ἐπελευσόμεθα χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Λόγος ιδ'

Σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικά, (5,13
χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη,
Χεῖρες αὐτοῦ τορευταὶ χρυσαῖ πεπληρωμέναι θαρσεῖς, (14)
κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου,
Κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι (15)
τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς,
εἶδος αὐτοῦ ὡς Λίβανος ἐκλεκτός, ὡς κέδροι,
Φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία. (16)
οὗτος ἀδελφιδός μου
καὶ οὗτος πλησίον μου, θυγατέρες Ἰερουσαλήμ.

Ὁ τῷ ἀδόλῳ γάλακτι τρέφων τὸ νηπιάζον ἔτι τῆς πνευματικῆς ἡλικίας, τροφός, καθώς φησιν αὐτὸς ὁ ἀπόστολος, τῶν ἀρτιγενῶν ἐν τῇ ἐκκλησίᾳ γινόμενος, ταμιεύεται τὸν τῆς σοφίας ἄρτον τοῖς τελειωθεῖσι κατὰ τὸν ἔσω ἄνθρωπον εἰπών· Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, οἳ διὰ τὴν

15-17 cf I Petr 2, 2; I Cor 3, 1/2 16 cf I Thess 2, 7 18 cf Hebr 5, 14; cf Rom 8, 22 19 I Cor 2, 6

ER^a ΛYSΘ Σ PVT C Syr 1 τῆς νύμφης V om Syr ὁ om T ἐν om ΛY 2 ἐπελευσώμεθα C 3 ᾧ—ἀμήν: ἡ δόξα P om Θ post ᾧ add πρέπει ΛYSΣ ἡ om S post δόξα add καὶ τὸ κράτος ΛYS(om τὸ)Σ post αἰῶνας add τῶν αἰώνων ER^aΛYv Syr, fort recte post ἀμήν add ἐτελειώθη λόγος τέταρτος καὶ δέκατος Syr 4 λόγος ιδ ΛY$Σ^2$(in marg)VT: ὁμιλία ιδ Sv τοῦ αὐτοῦ ὁμιλία ιδ ER^a(in marg λόγος ιδ) τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος ιδ Σ ιδ Θ ϊγ C λόγος πέμπτος καὶ δέκατος Syr tit om P 6 πλήρη: καὶ νάρδον Syr 7 τορνευταὶ P 8 σαμφείρου P (sscr π) 11 εἶδος—κέδροι om Θ ante ἐκλεκτός add καὶ Syr 12 φάρυξ $R^a$$E^2$(eras γ)ΘΣ γλυκασμοὶ v LXX 14 οὗτος: αὐτὸς SΘ μου om SΘ 15 ὁ om in marg (scil rubricator)P τρέφον R^a ἔτι: ἐπὶ PC 16 τροφὸς καθὼς corr in ras T^2 ὁ αὐτὸς coll P αὐτὸς om ΛYSΘΣ ἑαυτὸν Syr post ὁ add θεῖος V 17 γενόμενος ΘPVT

τῶν ἀγαθῶν διδαγμάτων ἕξιν γεγυμνασμένα ἔχοντες τὰ τῆς ψυχῆς αἰσθητήρια τοῦ ἄρτου τῆς σοφίας εὐπαράδεκτοι γίνονται τῆς λεπτοποιούσης ἐν τοῖς ὀδοῦσι τῶν λογισμῶν σιαγόνος εἰς τροφὴν προσδεόμενοι. χρὴ τοίνυν εἶναι καὶ σιαγόνας ἐν τῷ σώματι τοῦ Χριστοῦ τοῖς μηκέτι προσανέχουσι τῇ θηλῇ τοῦ λόγου ἀλλ' ἤδη τῆς στερροτέρας ἐφιεμένοις τροφῆς, περὶ ὧν νῦν ποιεῖται τὸν λόγον ἡ νύμφη λέγουσα οὕτως· Σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικά. τὸ μὲν οὖν ἀκολούθως ἔχειν τὸν περὶ τῶν σιαγόνων λόγον τοῖς περὶ τῶν ὀφθαλμῶν θεωρηθεῖσι παντὶ δῆλον
1064 M. ἂν εἴη τῷ συνετῶς ἐπαΐοντι· διὰ τοῦτο γὰρ χρὴ τὸν ὀφθαλμὸν τῷ πληρώματι τῶν πνευματικῶν ὑδάτων προσεδρεύοντα τῷ ἀπλανεῖ τε καὶ ἀδόλῳ λούεσθαι γάλακτι τῇ ἀκάκῳ περιστερᾷ ὁμοιούμενον, ἵνα κοινωνοὺς ποιήσῃ τῶν ἰδίων ἀγαθῶν πάντας τοὺς εἰς τὸ σῶμα συντελοῦντας τῆς ἐκκλησίας. οὗ χάριν καὶ ὁ μέγας Ἡσαΐας τὸν ἐπὶ τὸ ὄρος τὸ ὑψηλὸν ἀναβάντα διὰ τῆς πολιτείας βοᾶν διακελεύεται λαμπρᾷ τῇ φωνῇ, ὥστε γνῶναι δι' αὐτοῦ τοὺς ἀκούοντας τὸν μετὰ ἰσχύος ἐρχόμενον κύριον καὶ τὸν ἐξουσιάζοντα τῶν ὄντων βραχίονα, τὸν ποιμαίνοντα τὸ ποίμνιον καὶ τοὺς ἄρνας συνάγοντα καὶ τὰς καλῶς διὰ τῶν ἀγαθῶν ἐλπίδων κυοφορού-

1-2 et 6-7 cf Hebr 5, 14 2 cf Prov 9, 5 4-5 cf supra p 224, 2-10 11-14 cf Cant 5, 12; cf supra p 395, 2-398, 4 14-15 cf I Cor 10, 16 16-p 401, 2 cf Isai 40, 9-12

ER^a ΛYSΘ Σ PVT C Syr 1 δογμάτων SΘ 2 αἰσθητήρια coll ante τῆς pr ER^av δεκτικοὶ PVC 3 τοῖς λεπτοποιοῦσιν v τὸν λογισμὸν $R^a$$E^2$(e τῶν -μῶν ut vid)v 4 σιαγόνες R^aE (? fort, corr E^2) ἐς v δεόμενοι T 5 τοῦ om v et τοὺς et προσανέχοντας Syr προσανίσχουσι Y 6 τῆς: τῇ E (corr E^2)C στερρεωτέρα E στερρεωτέρας Σ στερεωτέρας $E^2$$R^a$v ἐφιεμένους Syr ἐφιεμένης R^a ἐφιέμενοι v 7 τροφῇ E(adscr -ς E^2) ποιεῖται coll post λόγον T τὸν om v 8 ὡς om C(sscr C^2) 9 ἔχει Λ(corr $Λ^2$)Y τὸν: τῶν R^aΣ τῶν: τὸν E om ΣT 10 τὸν ὀφθαλμὸν ER^aVv 11 ἂν om Σ post εἴη eras 2 litt in fin lin(fort τῷ)E τὸν: τῶν E(corr E^2) 12 τῶν: τῷ E (sscr -ν E^2) 13 λούεσθαι: τρέφεσθαι T ἀκάκῳ: ἀκαμάτῳ P 15 ἐς v τῇ ἐκκλησίᾳ V 16 τὸ alt om T 20 post ποίμνιον add αὐτοῦ(scil sec LXX) ER^av Syr 21 καλὰς V

σας παρακαλοῦντα, τὸν διειληφότα τὸν οὐρανὸν σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακὶ περισφίγγοντα, καὶ ὅσα ἄλλα πρὸς τούτοις ἡ προφητεία φησὶ δεῖν παρὰ τοῦ τῆς ἀκρωρείας ἐπιβεβηκότος κηρύσσεσθαι. εἰ τοίνυν ἐπὶ τούτῳ γίνεται τοῖς ὀφθαλμοῖς ἡ ἐκ τῶν ὑδάτων τε καὶ τοῦ γάλακτος δύναμις πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἀκολούθως ἐπαινοῦνται μετ' ἐκείνους αἱ σιαγόνες, ὧν ἔργον ἐστὶ τὸ λεπτοποιεῖν τὴν τροφὴν δι' ἧς ἡ τοῦ σώματος συντηρεῖται φύσις καὶ δύναμις.

Ἴδωμεν τοίνυν ἐν τίνι τῶν σιαγόνων ἐστὶν ὁ ἔπαινος. αὐτῆς ἀκούσωμεν τῆς νύμφης οἷα περὶ αὐτῶν διεξέρχεται· Σιαγόνες αὐτοῦ, φησίν, ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικά. εἰ τὸ διηπλωμένον τῶν ἐκπωμάτων εἶδος ὁ λόγος σημαίνει τῷ τῆς φιάλης ὀνόματι, ἐν ᾧ κλέπτεται διὰ τῆς κατασκευῆς ἡ κοιλότης οὔτε ἄγαν βαθυνομένου τοῦ σχήματος οὔτε δι' εὐθείας ἐξυπτιάζοντος, ὡς μήτε κοῖλον ἀκριβῶς εἶναι δοκεῖν μήτε ἐπίπεδον, εἰ τοίνυν τὸ τοιοῦτον εἶδος ὑποδείκνυσι διὰ τῆς φιάλης ἡ νύμφη, ἴδιον ἂν ἔχοι λόγον ἐκ τοῦ σχήματος τούτου τῶν σιαγόνων ὁ ἔπαινος. εἴποι γὰρ ἄν τις τὸ ἁπλοῦν τε καὶ διηπλωμένον καὶ ἄδολον τῆς διδασκαλίας ἐπαινέσαι τὸν λόγον βουλόμενον μνήμην τῆς φιάλης ποιήσασθαι, ἐν ᾗ τὸ ἀπηγορευμένον ὑπὸ τοῦ προφήτου

ER^a Σ PVT C Syr 8 δι' ἧς—p 404, 21 δεχομένων om ΛYSΘ
1 ante σπιθαμῇ add τῇ ΛYPVTC 2 ante δρακὶ add τῇ ΛYSΘΣ περιέχοντα ΛYSΘ καὶ ὅσα ἄλλα: ἀλλὰ Λ(sscr καὶ ὅσα $Λ^2$) YSΘ 3 προφητεία φησί: πρόφησι R^a δεῖν om T et τοὺς et 4 ἐπιβεβηκότας E(corr E^2)R^a 4 ἐπιβεβληκότος Y ἐπὶ: ἐν ΣT τούτῳ ΣPVTC Syr: τούτων cett v 5 τε om V 9 φύσις καί: φυσικαὶ R^a φυσικῇ C 11 post αὐτῆς add οὖν Syr 13 εἰ om Σ διηπλωμένων E(corr per ras)R^a τῶν sscr T(pr m ut vid) ἐκπομάτων ΣPV om E(add in marg inf ἐκπωμάτων E^2) εἶδος om C ὁ λόγος om P 16 εὐθείαν P quoad sensum vocis ἐξυπτιάζοντος cf ex. gr. Aristoph Lysistr 195 ἐξυπνίζοντος ER^aP(post ϊ del 1 litt) ὡς: ὥστε P μήτε: μὴ δὲ T 18 ὑποδεικνύει Σ διὰ om V ἴδιον: δι' ὃν T δῆλον Syr ἔχει PV(ut vid, sed corr) 19 post σιαγόνων add τούτων PC 20 τε καὶ διηπλωμένον om Syr 21 τὸν λόγον: πάντως V βουλόμενος PV 22 ᾗ: ᾧ v

βάθος συστῆναι οὐ δύναται τοῦ εἰπόντος· Ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. τὴν οὖν ἐν ἁπλότητι φανερουμένην ἀλήθειαν δίχα τινὸς δολερᾶς κοιλότητός φαμεν διὰ τοῦ ὀνόματος τῆς φιάλης σημαίνεσθαι, ἧς ὕλη μέν ἐστι τὸ ἄρωμα, ἔργον δὲ τὸ φύειν μυρεψικά· Σιαγόνες γὰρ αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος, οὐκ ἐξ ἀργύρου γενόμεναι ἢ χρυσοῦ ἢ ὑέλου ἤ τινος ἑτέρας ὕλης τοιαύτης, ἀλλ' αὐτοῦ τοῦ ἀρώματος, ταῦτα ἐξ ἑαυτῶν φύουσαι, δι' ὧν τὰ μύρα κατασκευάζεται. σαφὴς δὲ πάντως διὰ τῶν εἰρημένων ἐστὶν ἡ τοῖς ῥητοῖς τούτοις ἐνθεωρουμένη διάνοια ὅτι τῶν καθαρῶν τῆς ἐκκλησίας ὀμμάτων ἔστι τοιαύτην παρασκευάζειν τῷ σώματι τὴν τροφὴν τῇ λεαντικῇ τῶν σιαγόνων δυνάμει ὡς μηδὲν βαθύ τε καὶ ὕπουλον ἐν τοῖς λεγομένοις ὁρᾶσθαι, ἀλλ' εἶναι πάντα τηλαυγῆ τε καὶ ἐλεύθερα καὶ πάσης δολερᾶς ἐπικρύψεως καὶ βαθύτητος κεχωρισμένα, ὡς καὶ νηπίοις εἶναι κατάδηλα, καθώς φησιν ὁ προφήτης
1065 M. ὅτι Ἡ μαρτυρία κυρίου πιστή, σοφίζουσα νήπια· καὶ Ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. εἰ γὰρ τοιαῦται εἶεν αἱ φιάλαι τοῦ λόγου, οὐκ ἐκ τῆς γηΐνης ὕλης δηλονότι συστήσονται, ἀλλ' ἐκ τοῦ ἀρώματος αὐτοῖς ἔσται ἡ φύσις, ἐκείνου λέγω τοῦ ἀρώματος ὃ ὑπὲρ πάντα τὰ ἀρώματά φησιν εἶναι ἡ νύμφη ἐν τοῖς προοιμίοις τοῦ Ἄισματος. τοιαύτη φιάλη ὁ Παῦλος ἦν, ὁ μὴ ἐν πανουργίᾳ τὸν λόγον

1-2 Ps 68, 15 17-18 Ps 18, 8/9 21-22 cf Cant 1, 3 23-p 403, 1 cf II Cor 4, 2

ERª Σ PVT C Syr 2 τοῦ βάθους Syr LXX, fort recte, cf lin 1 3 φαινομένην v 5 τὸ alt om PT 6 αὐτοῦ v Syr LXX: σου codd (V corr ex συ ut vid) ante ὡς add φησιν V Syr 7 χρυσίου T ὑελοῦ corr P (ex ὑετοῦ) ὑέλλου T ἑτέρας τινὸς P 8 ἑαυτῶν: αὐτῶν ERªPv φύουσα v 9-10 ἐστὶν ἡ coll ante διὰ ERªv 10 θεωρουμένη ERª ἐγκειμένη P 11-12 παρασκευάζειν τοιαύτην PVC 12 τὴν om ΣPVC λειαντικῇ v 13 μὴ δὲ P 14 ἐλευθέρια ΣPVT 16 κατάλληλα PVTC² (corr λλ e δ) 17 ὅτι om ERªv καὶ om ERªv 18 εἰ: αἱ T 19 εἶεν αἱ: εἶναι T 19-20 ὕλης coll post συστήσονται V 20 αὐταῖς P om v 21 et add πνευματικοῦ post τοῦ et om ὃ -22 Ἄισματος T

δολῶν ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας ἑαυτὸν συνιστάνων. οὗ ἡ ὕλη τὸ ἐκ γῆς εἶναι ἀπέθετο, ἀφ' οὗ διὰ τοῦ βαπτισμοῦ τὰς λεπίδας τῶν ὀφθαλμῶν τῇ σαρκὶ συναπέβαλεν, ἀλλ' ἐκ τοῦ εὐπνοοῦντος ἀρώματος ἀνεσκευάσθη τοῦ ἁγίου πνεύματος τέκνον γενόμενος· ὃς ἐπειδὴ διὰ τῆς τοιαύτης χαλκείας ἐκλογῆς σκεῦος κατεσκευάσθη, πρὸς τὴν οἰνοχοΐαν τοῦ λόγου φιάλη γενόμενος οὐκέτι χρείαν ἔσχεν ἀνθρώπου τὴν γνῶσιν αὐτῷ τῶν μυστηρίων ἐγχέοντος (Οὐ γὰρ προσανέθετο σαρκὶ καὶ αἵματι), ἀλλ' αὐτὸς ἔφυεν ἐν ἑαυτῷ καὶ ἀνέβρυε τὸ θεῖον ποτὸν διὰ τῆς τοῦ Χριστοῦ εὐωδίας τὰ ποικίλα τῶν ἀρετῶν ἄνθη μυρεψῶν τοῖς ἀκούουσιν, ὥστε κατὰ τὰς διαφοράς τε καὶ ἰδιότητας τῶν δεχομένων τὸν λόγον κατάλληλον εὑρίσκεσθαι πρὸς τὴν τοῦ ζητοῦντος χρείαν τὸ ἄρωμα τοῖς Ἰουδαίοις, τοῖς Ἕλλησι, ταῖς γυναιξί, τοῖς ἀνδράσι, τοῖς δεσπόταις, τοῖς δούλοις, τοῖς γονεῦσι, τοῖς τέκνοις, τοῖς ἀνόμοις, τοῖς ὑπὸ νόμον. οὕτως αὐτῷ πολυειδὴς ἦν διὰ πάσης ἀρετῆς κεκραμένη τῆς διδασκαλίας ἡ χάρις, διὰ τῶν ποικίλων διδαγμάτων καταλλήλως τῇ ἑκάστου χρείᾳ μυρεψούσης τῆς φιάλης τοῖς δεχομένοις τὸν λόγον. τὰς οὖν τοιαύτας ἐπαινεῖ σιαγόνας ἡ τὸ τοῦ σώματος τοῦ νυμφίου κάλλος διαζωγραφοῦσα τῷ λόγῳ.

Καὶ ὅτι πρὸς τοῦτο βλέπει τῶν σιαγόνων ὁ ἔπαινος, ὁ ἐφεξῆς λόγος διὰ τῆς ἀκολουθίας μαρτύρεται· ἐπαινεῖται γὰρ μετὰ τὰς σιαγόνας τὰ χείλη δι' ὧν ὁ ἀρωματίζων

2-3 cf Act 9, 18 4 et 10 cf II Cor 2, 15 5-10 cf Origen Hom in Lev XIII 1 (p 467, 7-14 Baehrens) 6 cf Act 9, 15 8-9 Gal 1, 16 13 cf Gal 3, 28; I Cor 12, 13; Col 3, 11

ERª Σ PVT C Syr 1 δολῶν om v ἀλλὰ: ἀλλ' ἐν V 3 ἐλπίδας V (ut vid, eras ἐ) eras ἀλλ' et corr καὶ C² 4 eras ἀν(εσκευάσθη) et corr κατ C² 8 ἐνχέοντος C ἐκχέοντος PV προανέθετο P 9 ἐν ΣTv Syr: om cett αὐτῷ PC τὸ: τὸν VE (eras ν)v 11 ἄνθη ERªC (corr ἤθη C²)v: ἤθη ΣPVT Syr (ut vid, paraphr) 12 καταλλήλως C κατάλληλος P κατάδηλον V 13 πρὸς: κατὰ V ζητουμένου C τὰ ἀρώματα T 16 οὕτως: ὄντως v 18 et τῆς et χρείας T ἑκάστω P 20 οὖν: δὲ C 21 κάλλος coll ante τῷ ERª 22 καὶ ὅτι: ὅτι δὲ Syr 23 διὰ τῆς: δι' v 24 τῆς σιαγόνος ERª

λόγος προέρχεται. οὕτω δὲ ὁ ἔπαινος ἔχει· Χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη. δύο κατὰ ταὐτὸν ἀρετὰς μαρτυρεῖ τῷ λόγῳ διὰ τοῦ διπλοῦ ὑποδείγματος, ὧν ἓν μέν ἐστιν ἡ ἀλήθεια λαμπρά τε καὶ φωτοειδὴς ἐν τοῖς λεγομένοις θεωρουμένη (τοιοῦτον γὰρ τοῦ κρίνου τὸ εἶδος, οὗ ἡ λαμπρότης αἴνιγμα τῆς τῶν λεγομένων καθαρότητός τε καὶ ἀληθείας ἐστίν), ἕτερον δὲ τὸ μόνην τὴν νοητήν τε καὶ ἄϋλον ζωὴν ὑπὸ τῆς διδασκαλίας προδείκνυσθαι, διὰ τῆς τῶν νοητῶν θεωρίας ἀπονεκρουμένης τῆς κάτω ζωῆς τῆς διὰ σαρκός τε καὶ αἵματος ἐνεργουμένης. ἡ γὰρ ἀπορρέουσα τοῦ στόματος σμύρνα καὶ πλήρη ποιοῦσα ἑαυτῆς τὴν τοῦ δεχομένου ψυχὴν τῆς τοῦ σώματος νεκρώσεως ἔμφασις γίνεται· πολλαχῇ γὰρ τὸ τοιοῦτον ἐν τῇ καταχρήσει τῶν θεοπνεύστων λόγων παρατετήρηται τὸ τοῦ θανάτου σημαντικὸν εἶναι τῆς σμύρνης τὸ ὄνομα. ὁ τοίνυν τέλειος καὶ καθαρὸς ὀφθαλμός, ὁ τὴν σιαγόνα φιάλην ποιῶν τὴν τὰ μύρα ἐξ ἑαυτῆς φύουσάν τε καὶ πηγάζουσαν οὗτος ἀνθεῖ τὰ κρίνα τῶν λόγων διὰ τοῦ στόματος τῶν τῇ θείᾳ κεκαλλωπισμένων λαμπρότητι· οὕτω γὰρ τοὺς καθαρούς τε καὶ δι' ἀρετῆς εὐπνοοῦντας ὀνομάζει ὁ λόγος, ἀφ' ὧν γίνεται
1068 M. ἡ τῆς σμύρνης σταγὼν ἀνελλιπῶς πληροῦσα τὴν τῶν δεχομένων διάνοιαν, ὅπερ ἐστὶν ἡ τῆς ὑλικῆς ζωῆς ὑπεροψία πάντων τῶν τῇδε σπουδαζομένων διὰ τὴν τῶν ὑπερκειμένων ἀγαθῶν ἐπιθυμίαν ἀνενεργήτων τε καὶ νεκρῶν γινομένων.

2 Cant 5, 13 5 sqq cf supra p 114, 6-9 7-10 cf Plat ex. gr. Phaed 83 b sqq 11-15 cf supra p 189, 6-10

ER^a Σ PVT C Syr inde a 22 διάνοιαν ΛYSΘ 2 κρίνα om P πλήρη om Syr δύο: διὸ V 3 ἓν: ἡ ER^{a}v om V 7 τε pr om T ἐστίν om PVC τε alt om P 8 προδεικνύεσθαι PC 10 καὶ γὰρ ἡ P καὶ γὰρ (om ἡ) VC 11 ante τοῦ add ἀπὸ ER^{a}v add διὰ T σώματος v 12 ὑποδεχομένου T 13 γὰρ om T 14 τὸ om v τοῦ om VC 17 μύρα: μυστήρια PC αὑτῆς E αὐτῆς R^{a}Σv 18-19 et τα et κεκαλλωπισμένα P (sscr bis ων) 19 τε om T δι': διὰ τῆς V 22 διάνοιαν om V εὐωδίαν C (scil de coniectura sua) ἡ om ER^{a}v ὑλικῶς v 24 ἐπιθυμίαν om Θ ἐλπίδα S (scil de coniect sua) τε om V γεγενημένων T

τοιαύτην ὁ Παῦλός ποτε σμύρναν προέχει τοῦ στόματος μεμιγμένην τῷ καθαρῷ κρίνῳ τῆς σωφροσύνης ἐν ἀκοαῖς τῆς ἁγίας παρθένου (Θέκλα δὲ ἦν ἡ παρθένος), ἣ καλῶς τῇ ψυχῇ τὰς ἀπορρεούσας τοῦ κρίνου σταγόνας ἐν ἑαυτῇ δεξαμένη θανάτῳ διαλαμβάνει τὸν ἔξωθεν ἄνθρωπον πᾶσαν σαρκώδη διάνοιάν τε καὶ ἐπιθυμίαν ἑαυτῆς ἀποσβέσασα. ἧς μετὰ τὴν ἀγαθὴν διδασκαλίαν νεκρὰ μὲν ἦν ἡ νεότης, νεκρὸν δὲ τὸ ἐπιφαινόμενον κάλλος, νεκρὰ δὲ πάντα τὰ σωματικὰ αἰσθητήρια μόνου ζῶντος ἐν αὐτῇ τοῦ λόγου, δι' οὗ τεθνήκει μὲν αὐτῇ ἅπας ὁ κόσμος, τεθνήκει δὲ καὶ ἡ παρθένος τῷ κόσμῳ. οὕτω ποτὲ παρὰ Κορνηλίῳ καὶ ὁ μέγας Πέτρος τὰ λαμπρὰ τοῦ λόγου κρίνα φθεγγόμενος πλήρεις τῆς σμύρνης τὰς τῶν ἀκουόντων ψυχὰς παρεσκεύασεν, οἳ παραχρῆμα τὸν λόγον δεξάμενοι τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος συνετάφησαν νεκροὶ τῷ βίῳ γενόμενοι. καὶ μυρία πρὸς τούτοις ἔστιν τῶν ἁγίων εὑρεῖν ὑποδείγματα, πῶς τοῦ κοινοῦ σώματος τῆς ἐκκλησίας στόμα γενόμενοι τῆς νεκρωτικῆς τῶν παθημάτων σμύρνης πλήρεις τοὺς ἀκροωμένους ἐποίουν ἀνθοφοροῦντες διὰ τῶν κρίνων τοῦ λόγου, δι' ὧν οἱ μεγάλοι τῆς πίστεως πρόμαχοι διὰ τῆς ἀγαθῆς ὁμολογίας κατὰ τὸν τῆς μαρτυρίας καιρὸν ἐν τοῖς ὑπὲρ

1-11 scil sec Act Pauli V et VII. Theclam laudat Gregorius in Vita Macrinae p 372, 22 (Vol VIII, 1 Jaeger) 10-11 cf Gal 6, 14 11-15 cf Act 10, 34-48 15 cf Col 2, 12/13; Rom 6, 4

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὅποτε Παῦλος v (om ὁ) προχέει v 2 μεμιγμένην—κρίνῳ: διὰ τῶν κρίνων Syr (interpres ut vid) 3 Θέκλα—παρθένος: τῆς ἐκκλησίας Syr 4 τοῦ κρίνου om ER^{a}v 5 ἔξω Λ (corr Λ^2) YSΘ 7 μὲν ἦν: μένη ἦν (sic) Σ ἦν om R^{a}C (add in marg C^2) v 8 κάλλος om P 10 utrumque τεθνήκει codd: ἐτεθνήκει v αὐτῇ T ἑαυτῇ ΘV 11 παρθενία V παρὰ: περὶ V καὶ coll ante παρὰ Ev om R^a 13 et πλήρεις et παρεσκεύασεν ER^{a}v: et πληροῖ et om παρεσκ. cett Syr τὰς om P 14 post δεξάμενος (sic) iterat 13 πληροῖ—14 δεξάμενοι (sic) Y 15 βαπτισμοῦ ΛSΘΣY^2 (in marg cum nota γρα) συνετράφησαν Y 16 εὑρεῖν coll ante τῶν ER^{a}SΘTv 17 σώματος: στόματος V γινόμενοι ER^{a}Tv 19 ἀνθοφοροῦντος T 20 διὰ alt om ER^{a}v 21 post ὑπὲρ add τῆς ΛYSΘΣV

εὐσεβείας ἀγῶσι κατεσμυρνώθησαν. καὶ τί χρὴ διὰ πλειόνων μηκύνειν τὸν περὶ τούτων λόγον φανερᾶς διὰ τῶν εἰρημένων γενομένης ἡμῖν τῆς διανοίας, πῶς τὸ στόμα τῆς ἐκκλησίας κρίνον γίνεται καὶ πῶς ἀποστάζει τοῦ κρίνου ἡ σμύρνα καὶ πῶς πληροῦται τῆς τοιαύτης σταγόνος ἡ τῶν δεχομένων ψυχή.

Ἀλλὰ πρὸς τὸν ἐφεξῆς ἤδη λόγον μετέλθωμεν. φησὶ γάρ· Χεῖρες αὐτοῦ τορευταί, χρυσαῖ, πεπληρωμέναι θαρσεῖς. ὅτι μὲν οὖν ἀτελής ἐστιν ἐπὶ τοῦ σώματος τῆς ἐκκλησίας ἡ τοῦ ὀφθαλμοῦ χάρις τῆς τῶν χειρῶν ὑπουργίας διεζευγμένη, σαφῶς παρὰ τοῦ μεγάλου μεμαθήκαμεν Παύλου ὅς φησιν ὅτι Οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί· χρείαν σου οὐκ ἔχω. τότε γὰρ μάλιστα ἡ τῶν ὀφθαλμῶν ἐνέργεια δείκνυται, ὅταν τὰ ἔργα μαρτυρῇ τὴν ὀξυωπίαν τῷ ὄμματι διὰ τῆς περὶ τὰ καλὰ σπουδῆς τὴν ἀγαθὴν ὁδηγίαν ἐπισημαίνοντα. ἐπεὶ δὲ χρὴ προθέντας τὸν περὶ τῶν χειρῶν τοῦ θείου σώματος ἔπαινον ὁδηγηθῆναι διὰ τῶν εἰρημένων, ὅπως προσήκει κατηρτίσθαι τοὺς ἀντὶ χειρῶν ὄντας ἐπὶ τῆς ἐκκλησίας, αὐτὸ προθέντες τὸ θεῖον λόγιον, ὅπως ἂν οἷόν τε ᾖ, τὴν ἐγκειμένην αὐτῷ θεωρῆσαι διάνοιαν διδόντος θεοῦ πειρασόμεθα.

Χεῖρες αὐτοῦ, φησί, τορευταί, χρυσαῖ. τέως μὲν οὖν τοσοῦτον πρόδηλόν ἐστιν ἐκ τῶν εἰρημένων τὸ νόημα, ὅτι οἷς τὸ τῆς κεφαλῆς εἶδος ἐγκωμιάζεται διὰ τῶν αὐτῶν

8 Cant 5, 14   12-13 I Cor 12, 21

ER^a ΛYSΘ Σ PVT C Syr 2 τούτου ΛYSΘΣ   3 τὸ—ἐκκλησίας om Σ   4 κρίνον: σμύρνα T   γίνεται: λέγεται S   ὑποστάζει VC   5 ἀποδεχομένων T   7 λόγον ἤδη ER^{a}v   μὲν ἔλθωμεν v   8 ante χεῖρες add αἱ ER^{a}v   τορνευταὶ P   9 οὖν om PVTC   10 διεζευγμένης Λ(del -ς Λ^2)YΘ   11 ὅς: ὥς SΘ   ὅτι om Θ   12 ὁ om ΛYP   14 μαρτυρεῖ ΣVC(corr C^2)v   15 ἐπισημαῖνον ER^a(corr -ων)v(-αίνων)   16 ἐπεὶ δὲ: ἐπειδὴ ER^{a}PC(corr C^2)v   προσθέντας P   18 κατορθοῦσθαι PVC   et τοῖς et οὖσιν SΘ   20 αὐτοῦ V   θεωρῆσαι coll ante 19 τὴν Σ   τοῦ θεοῦ T   20-21 πειρασώμεθα ΣV   22 φησι coll post χρυσαῖ ER^{a}v om V   τορνευταὶ P   post χρυσαῖ add πεπληρωμέναι θαρσεῖς (scil de lin 8) v Syr   οὖν om P   24 διὰ τῶν: δι᾽ C

καὶ ταῖς χερσὶ πληροῦται ὁ ἔπαινος. κεφαλὴν δὲ τὸν κατὰ
1069 M. σάρκα Χριστὸν ἐνοήσαμεν, ἐν ᾧ ὁ θεὸς ἦν τὸν κόσμον ἑαυτῷ καταλλάσσων κατὰ τὴν τοῦ Παύλου φωνήν, ὁ ἐν τῇ σαρκὶ διὰ τῶν δυνάμεών τε καὶ τῶν θαυμάτων ἑαυτὸν φανερώσας. εἰ οὖν ἡ νοηθεῖσα ἡμῖν αὕτη κεφαλὴ χρυσίον ἀκήρατον παρὰ τοῦ λόγου κατωνομάσθη διὰ τὸ πάσης ἁμαρτίας ἐκτὸς εἶναι (Ὃς ἁμαρτίαν γάρ, φησίν, οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ), χρυσᾶς δὲ εἶναί φησι καὶ τὰς χεῖρας ὁ λόγος, πρόδηλόν ἐστι τὸ διὰ τούτων νοούμενον ὅτι τὸ καθόλου καθαρόν τε καὶ ἀναμάρτητον καὶ πάσης κακίας ἀμιγές τε καὶ ἀπαράδεκτον νομοθετεῖ τῇ χειρὶ ὁ λόγος. χεῖρα δὲ νοοῦμεν πάντως τὴν τὰ κοινὰ τῆς ἐκκλησίας εἰς τὰς τῶν ἐντολῶν χρείας διαχειρίζουσαν, ἧς ἔπαινός ἐστι τὸ ὁμοιωθῆναι τῇ τῆς κεφαλῆς φύσει κατὰ τὸ καθαρόν τε καὶ ἀναμάρτητον. καθαρὰ δὲ γίνεται τότε ἡ χείρ, ὅταν διὰ τῆς τορείας ἅπαν ἀποξύσηται τὸ ἐμποδίζον τῷ κάλλει· καθάπερ γὰρ οἱ πρός τινα ζῴου μορφὴν ἀποτυποῦντες τὸ μάρμαρον ἐκεῖνα διὰ τῆς τορείας ἐκγλύφουσι τοῦ λίθου

2-3 cf II Cor 5, 19   5-7 cf Cant 5, 11; cf supra p 390, 11-391, 14   7-8 I Petr 2, 22   15-p 408, 2 cf Plotin I 6, 9, 6-23 (de Plat Phaedr 252 d)

ER^a ΛYSΘ Σ PVT C Syr 1-2 τὸν κατὰ σάρκα: εἰ μέμνησαι Syr om v   2 ἐννοήσαμεν P   ὁ om SΘ   τὸν om PVC   ἑαυτῷ: ἐν αὐτῷ Σ ἐν ἑαυτῷ T   2-3 ἐν—φωνήν om Syr   καταλλάσσων ἑαυτῷ PVC   3 τοῦ om ESΘv   τῇ om Σ   4 τῶν alt om ΛYΘT   5 ἡ οὖν (om εἰ) PC(corr C^2)   7 ὃς om V Syr   γάρ om ER^{a}PTv   φησὶν coll post ἐποίησε ER^{a}v   8 δόλος coll post αὐτοῦ v   φησιν εἶναι ER^{a}v   καὶ om ER^{a}v   10 post καθ᾽ ὅλου (sic) add νοούμενον ER^{a}v   11 ἀπρόσδεκτον V   νομοθετεῖ: μαρτυρεῖ Syr   13 χρείας: χεῖρας V   (διαχειρίζουσ)α(ν) corr in ras C^2 διαχωρίζουσαν V   14 τὸ pr om T   κατὰ om Θ   14-15 ἀναμάρτητόν τε καὶ καθαρόν P   15 δὲ om V   τότε γίνεται ΛY   16 τῆς om V   τορείας: ἱστορίας PTCE(? fort, corr E^2)   διαξύσηται V(sscr ἀπο V^2) ἀποξύνῃ YSΘ de Λ non liquet   τῷ: τὸ R^a 17 γὰρ om V   οἱ om ER^{a}v   τινος T   τὸ om Λ(sscr m fort pr)   18 ἐκεῖνο C(corr C^2)   τορείας: ἱστορίας PC   ἐκγλύγουσι YΛ^2(corr ex ἐγγλ-)PV Syr: ἐκλύφουσι SC(ins γ C^2) ἐγγλύφουσι cett v   τῷ λίθῳ Λ(corr Λ^2)ΘTv om Σ

καὶ ἐκκολάπτουσιν ὧν περιαιρεθέντων πρὸς τὸ ἀρχέτυπον εἶδος ἀποτυποῦται τὸ μίμημα, οὕτω καὶ ἐπὶ τοῦ κάλλους τῶν τοῦ σώματος τῆς ἐκκλησίας χειρῶν πολλὰ χρὴ διὰ τῆς τῶν λογισμῶν τορείας ἀποξυσθῆναι, ἵνα γένηται ἡ χεὶρ χρυσῆ ὡς ἀληθῶς καὶ ἀκήρατος. πάντως δὲ πρόδηλα πᾶσίν ἐστιν, ὅσα μὴ περιαιρεθέντα τῆς χειρὸς τῷ κάλλει λυμαίνεται, οἷον τὸ ἀνθρωπάρεσκον, τὸ φιλοκερδές, τὸ φιλόδοξον,τὸ μόνον πρὸς τὸ φαινόμενον βλέπειν, τὸ περιφανείας τινὰς ἑαυτῷ διὰ τῶν ἐν χερσὶ πραγματεύεσθαι, τὸ εἰς τρυφὴν καὶ ἀπόλαυσιν ἰδίαν τῇ τῶν ἐντολῶν ἀποκεχρῆσθαι παρασκευῇ· ἃ χρὴ πάντα ταῦτα καὶ τὰ τοιαῦτα τοῖς τῶν λογισμῶν ὀργάνοις περιξυσάμενον ἐκεῖνο καταλιπεῖν μόνον τὸ καθαρόν τε καὶ ἀκιβδήλευτον χρυσίον τῆς προαιρέσεως τὸ τῇ ἀκηράτῳ κεφαλῇ ὁμοιούμενον. σαφέστερον δ'ἂν γένοιτο ἡμῖν τὸ λεγόμενον διὰ τῆς τοῦ ἀποστόλου φωνῆς, ὃς πιστὸν τὸν θεὸν ὀνομάσας οὐδὲν ἄλλο καὶ ἐν τοῖς οἰκονόμοις ζητεῖν ἀξιοῖ ἢ τὸ πιστὸν εὑρεθῆναι, οὑτωσὶ γράψας τῷ ῥήματι· Ὧδε λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. οὐκοῦν ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος ἀντὶ χειρὸς ὢν τῇ ἐκκλησίᾳ χρυσῆν καθ' ὁμοιότητα τῆς κεφαλῆς δείκνυσι τὴν χεῖρα τοῦ σώματος τὸν σοφὸν ἑαυτοῦ δεσπότην διὰ τοῦ βίου μιμούμενος. οὐκ ἦν τοιαύτη χεὶρ ἐν τῷ τῶν ἀποστόλων σώματι ὁ Ἰούδας ἐκεῖνος ὁ ἐλεεινός τε καὶ δείλαιος, μᾶλλον δὲ ὁ στυγητός τε καὶ ἀποτρόπαιος, ὃς οἰκονομίαν

15-16 cf I Cor 1, 9; 10, 13 18-19 I Cor 4, 2 19 cf Luc 12, 42 23-p 409, 5 cf Joh 12, 4-6

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐκκολάπτουσιν SΣVCΛ^2(ex ἐγκ-) Syr: ἐγκολ. cett v 2 ἀποτυποῦνται ER^{a}C(eras ν) super μίμημα sscr γρ ὁμοίωμα P 4 τορείας: ἱστορίας TC ἀποξεσθῆναι ER^{a}v 4-5 ἵνα—ἀκήρατος om V 7-8 τὸ φιλόδοξον, τὸ φιλοκερδές ER^{a}v 8-9 περιφάνειάν τινα R^{a}E^2(e -ας τινας ut vid)v 11 ἃ: ἣ ER^{a}v super ἃ χρὴ sscr ἄχρι ut vid P ταῦτα coll ante πάντα T om SΘ 12 περιξυσάμενα V ἀποξυσάμενον ER^{a}SΘv ἐκεῖνον P καταλειπεῖν C 13 ἀκίβδηλον Λ(corr Λ^2) ἀκιβδηλέστατον V ἀκήρατον Θ τὸ alt: τῶ E (corr per ras) 16 καὶ om V 17 ἀξιοῖ: ἄξιον P οὕτως ΛYSΣ οὕτω Θ 18 ὧδε: ὃ δὲ SΘΣT C^2(ex ὧδε)v 19 οἰκονόμος om P 20 τῆς ἐκκλησίας V 22 ἦν: οὖν R^a τῷ: τὸ C(corr C^2) 23 ὁ alt om T(sscr m ut vid pr) 24 τε om ER^{a}v

πτωχῶν πεπιστευμένος τὸν τῆς φιλοχρηματίας λίθον οὐκ ἀπεξύσατο, ἀλλὰ φύλαξ ὢν τοῦ γλωσσοκόμου διὰ τοὺς κλέπτοντας αὐτὸς ἑαυτοῦ κλέπτης ἐγένετο, ὃ ἐν ταῖς ἑαυτοῦ χερσὶν εἶχε διὰ τῶν ἰδίων χειρῶν ὑφαιρούμενος καὶ οὐ πρὸς τὴν ἐντολὴν ἀλλὰ πρὸς τὰ χρήματα βλέπων. ὧν ἡ ἀπόλαυσις ἐγένετο τίς; ἀγχόνη ἑκούσιος, ζωῆς ἀλλοτρίωσις, πανωλεθρία ψυχῆς, μνημόσυνον πονηρὸν παντὶ τῷ μετ' αὐτὸν χρόνῳ συνεκτεινόμενον. οὐκοῦν χρὴ τορευτὰς εἶναι καὶ διαγλύφους τὰς χεῖρας, ἵνα περιαιρεθέντων τῶν κακῶς συμπεφυκότων τὸ λειπόμενον χρυσὸς ᾖ τῷ τῆς κεφαλῆς κάλλει κατὰ τὸ εἶδος
1072 M. συμβαῖνον.

Ἡ δὲ τοῦ θαρσεῖς λέξις πολύσημός ἐστιν ἐν τῇ γραφικῇ συνηθείᾳ οὐ κατὰ τῆς αὐτῆς πάντοτε διανοίας εὑρισκομένη· ἀλλὰ πολλάκις μὲν πρὸς τὸ κατεγνωσμένον, πολλάκις δὲ πρὸς τὸ θεῖόν τε καὶ μακάριον ἡ σημασία μεταλαμβάνεται. οἷον ὅτε φεύγει ἀπὸ προσώπου τοῦ θεοῦ Ἰωνᾶς ὁ προφήτης, ζητεῖ πλοῖον ἐπὶ θαρσεῖς πορευόμενον· καὶ ὁ μέγας Δαβὶδ πλοῖα θαρσεῖς βιαίῳ πνεύματι λέγει συντρίβεσθαι, βίαιον πνεῦμα ὡς οἶμαι λέγων τὸ τοῖς μαθηταῖς ἐπιφανέν, τοῖς

6 cf Matth 27, 5 7-8 cf Act 1, 19 9 cf Plat Resp 611 d-e; cf Clem Alex Strom II 112 (= p 174, 9-16 Stählin) 16-17 cf Ionas 1, 3 18 cf Ps 47, 8 19-p 410, 4 cf Act 2, 1-3

ER^a ΛYSΘ Σ PVT C Syr 1 ante πτωχῶν add τῶν P τὸν ··· λίθον: τὴν . . . λέπραν R^{a}E^2(scr et -ή- et -έπρα- in ras)v 3 κλέπτοντας: κλέπτας P ἐγίνετο ER^{a}YΘ ἑαυτοῦ alt: αὐτοῦ (coll post χερσὶν)V om v 6 τίς scripsi: τί ER^{a}v τις cett om Syr ἀγχόνης R^a post ἑκούσιος add αὐτῷ V πανολεθρία ΛYSΣvC(coll post ψυχῆς) 8 χρὴ coll post εἶναι ER^{a}v et om χρὴ et add δεῖ post εἶναι T τορνευτὰς P 9 τὰς om P κακῶν v 10 λιπόμενον Σ χρυσὸς ᾖ: χρυσώση C^2(ω ex ο) coll ante τὸ pr ΛY(χρυσώση) 11 συμβαῖνον ER^{a}ΛYΘC^2(fort ex -ων): συμβαίνων cett v 12 πολύσημόν T 13 οὐ om ER^{a}ΛYSΘ coll post διανοίας v et τὴν αὐτὴν et διάνοιαν P πάντοτε coll post διανοίας ER^{a}v(scil post οὐ) 15 τὸ: τὸν T 16 οἷον om ER^{a}v 18 πλοῖον v post πνεύματι eras 5 fere litt Θ 19 ante πνεῦμα add δὲ R^a πνεῦμα coll post οἶμαι ΛYSΘΣT ὡς: δὲ E^2(corr in ras)v om R^{a}T λέγεσθαι ER^{a}v τοῖς alt om T

ἐν τῷ ὑπερῴῳ συνειλεγμένοις, ὃ πρότερον μὲν δι' ἀκοῆς προεγνώσθη ὥσπερ φερομένης πνοῆς βιαίας, μετὰ ταῦτα δὲ καὶ τοῖς ὀφθαλμοῖς ἐφανερώθη εἰς γλωσσῶν σχῆμα τυπούμενον καὶ τῇ ἐκλαμπτικῇ φύσει τοῦ πυρὸς ὁμοιούμενον, δι' οὗ συντρίβεται ἡ πολυσχιδῶς ἐπιπολάζουσα τῇ ἀνθρωπίνῃ φύσει κακία, ἣν πλοῖα θαρσεῖς ὁ προφήτης ὠνόμασεν. ταῦτα μὲν οὖν ἐστι δι' ὧν τῷ ὀνόματι τούτῳ τὰ χείρω σημαίνεται, ὁ δὲ μέγας Ἰεζεκιὴλ εἰς ὑπογραφὴν ἄγων τῆς γενομένης αὐτῷ ποτε θεοφανείας τὴν ὀπτασίαν ἑνὸς τῶν θείων θεαμάτων τὸ εἶδος τῇ λέξει ταύτῃ διασημαίνει λέγων· Καὶ τὸ εἶδος αὐτῶν ὡς εἶδος θαρσεῖς. φασὶ δὲ οἱ δι' ἀκριβείας τῶν Ἑβραϊκῶν λέξεων τὰς ἐμφάσεις ἐπεσκεμμένοι τὸ ἀχρωμάτιστόν τε καὶ νοητὸν καὶ ἀσώματον διὰ τῆς λέξεως ταύτης ἐν τῇ προφητείᾳ σημαίνεσθαι. διπλῆς τοίνυν οὔσης ἐν τῇ λέξει ταύτῃ τῆς σημασίας, ἐπειδὴ πρόδηλόν ἐστιν ὅτι πρὸς τὸ κρεῖττον νῦν παρελήφθη τὸ ταύτης τῆς φωνῆς σημαινόμενον (οὐ γὰρ ἂν εἰς ἔπαινον ἐλαμβάνετο τὸ ὑπαίτιον), ἀκόλουθον ἂν εἴη τοῦτο περὶ τῶν ἐγκωμιαζομένων ἐννοῆσαι χειρῶν ὅτι ἀκριβῶς ἀφ' ἑαυτῶν πᾶν τὸ περιττόν τε καὶ σωματῶδες ἀποτορεύσασαι πρὸς τὸ θεῖόν τε καὶ νοητὸν μεταβαίνουσι τὴν ὑλώδη πᾶσαν καὶ βαρεῖαν περὶ τὰ πράγματα σχέσιν ἐκτιναξάμεναι. οἷον δή φασι καὶ ἐπὶ τῆς

10-11 Ezech 1, 16   11-12 scil Origen in Comm. testimonium deficit

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὃ: ἡ Y   2 πνοῆς om SΘ   3 εἰς: ἐν Σ   4 καὶ—ὁμοιούμενον om SV   πυρὸς: πρὸς Y   5 πολυσχεδῶς YP   6 ἣν om Θ   8 εἰς om T   9 ποτε om v   ἑνὸς: ἑνώσας V   10 ταῦτα v   τὸ alt om T   εἶδος alt: ἔργον Syr   11 αὐτῶν ΣPVTC Syr: αὐτοῦ cett v τῶν τροχῶν LXX   εἶδος om SΘ   12 Ἑβραϊκῶν om PVC   τὰς coll ante 11 τῶν S (ut vid, oblitt)   τὸ: τῷ Σ om Θ   12-13 ἀχρωμάτιστόν—λέξεως om SΘ   13 τε om PVC   ταύτης: τοῦτο Θ   14 διασημαίνεσθαι V   ἁπλῆς v   ἐν alt om T   15 ταύτῃ om ER^{a}v   16 τὸ pr om P   προσελήφθη T   17 εἰς: τις v   19 ἀφ': ἐφ' Θ   τε om T   20 ἀπορεύσασαι Y   21 περὶ om PVC (sscr πρὸς C^2)   21-22 τῶν πραγμάτων VP (in marg adnot περὶ τὰ πράγματα)   22 οἷον: ὅσην PC ὅπερ V   δή: δει C (corr C^2) τί v   φασι—τῆς: καὶ ἐπ' αὐτῆς φασὶ τῆς ΛY

σμαραγδίνης βώλου τοὺς λιθογλύφους ἐργάζεσθαι· τὸ γὰρ ἀφεγγὲς καὶ γεῶδες διὰ τῆς ἀκόνης ἐκδαπανήσαντές τε καὶ ἀποψήξαντες ἐκεῖνο μόνον καταλείπουσιν ἀδαπάνητον, ᾧ καθορᾶταί τις αὐγὴ χλοερά τε ἅμα καὶ ἐλαιάζουσα. ὅπερ μοι δοκεῖ σαφέστερον ἑρμηνεύων ὁ θεῖος ἀπόστολος τοῦτο συμβουλεύειν ἔν τινι τῶν ἑαυτοῦ λόγων ὅτι χρὴ ἀποσκευάζεσθαι τὴν περὶ τὰ βλεπόμενα σχέσιν, πρὸς δὲ τὸ ἀόρατον ταῖς ἐπιθυμίαις ὁρμᾶν· Μὴ σκοπούντων γὰρ ἡμῶν, φησί, τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. ταῦτα μὲν οὖν ἐν τῷ ἐπαίνῳ τῶν χειρῶν ἐνοήσαμεν, πῶς τῆς ὑλώδους προσπαθείας ἐκτορευθεῖσαι ἀκήρατοι γίνονται πρὸς τὸ ἄϋλόν τε καὶ νοητὸν ἀλλοιούμεναι διὰ τῆς προαιρέσεως· Χεῖρες γὰρ αὐτοῦ, φησί, τορευταί, χρυσαῖ, πεπληρωμέναι θαρσεῖς.

Ἀκόλουθον δ' ἂν εἴη καὶ τὸν ἐφεξῆς λόγον διασκοπῆσαι,
1073 M. ὃν περὶ τῆς κοιλίας πεποίηται. ἔχει δὲ οὕτως ὁ λόγος· Κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου. ὅτε τῷ Μωϋσῇ τὸν ταῖς λιθίνοις δέλτοις ἐγχαραχθέντα νόμον ὁ τῆς φύσεως δίδωσι νομοθέτης, πυξία λίθινα τὰς πλάκας ὠνόμασεν, αἷς ἐνετυπώθη τὰ θεῖα χαράγματα,

8-10 II Cor 4, 18   17 Cant 5, 14

ER^a ΛYSΘ Σ PVT C Syr 1 σμαραγδίνου V   2 (ἀκ)όν(ης) corr in ras E^2 ἀκοῆς C (corr C^2)   3 ἀποψήξαντες ER^{a}SC: -ψύξ- ΛYPT -ψίξ- ΘΣ -ψέξ- v ἀποξύσαντες V   4 καθορᾶται: καθαρά τέ v   αὐγή: αὐτὸ Y   ἅμα om SΘC   5 μοι δοκεῖ om Syr   ἑρμηνεύειν C^2 (corr ex -ων) ἑρμηνεύει Syr   6 συμβουλεύων VCE (ut vid, eras ω et corr ει E^2) Syr   λόγων: ἐπιστολῶν Syr   7 περὶ: πρὸς C   βλεπόμενα: φαινόμενα ER^{a}v   8 ὁρᾶν ΘT   σϊωπούντων P   γὰρ om P   φησιν ἡμῶν ΛYSΘΣ   9 ἀλλὰ τὰ μὴ βλεπόμενα om ER^{a}TC   11 πῶς: ὡς T   12 ἐκτορνευθεῖσαι P ἐκπορευθεῖσαι C (corr C^2)   13 διὰ τῆς προαιρέσεως om Syr   γὰρ om P   14 φησι coll post τορευταί ER^{a}v om V   τορνευταί P   χρυσαῖ om ER^a 15 δ' om Θ   ἐξῆς Θ   16 οὕτως coll ante 17 κοιλία ER^{a}VCv   ὁ λόγος: ἡ λέξις ER^{a}Vv om Syr, fort recte   18 ὅτι C   μωϋσεῖ EΘΣT μωσῆ P (sscr ϋ)   λιθίνοις ER^{a}TC (corr -αις C^2): λιθίναις cett v   ἐγχαραθέντα Σ   19 δίδωσι om PV (post νομοθέτης add ἐνεχείρισε) C   πτυξία Θ (eras τ)   20 ἐνυπώθη P   γράμματα T

οὕτως εἰπόντος τοῦ πρὸς τὸν Μωϋσέα περὶ αὐτῶν χρηματίσαντος ὅτι Ἀνάβηθι πρός με εἰς τὸ ὄρος καὶ ἴσθι ἐκεῖ, καὶ δώσω σοι τὰ πυξία τὰ λίθινα, τὸν νόμον καὶ τὰς ἐντολάς. μετὰ ταῦτα δέ, ἐπειδὴ πᾶν τὸ σωματικὸν καὶ γεῶδες ἀπεξύσατο διὰ τῆς εὐαγγελικῆς σαφηνείας ὁ νόμος, οὐκέτι λίθινον τὸ δεχόμενον τὰ γράμματα πυξίον ἐστὶν ἀλλ' ἐκ τοῦ λαμπροῦ τε καὶ νεοξύστου ἐλέφαντος· τὸ γὰρ δεκτικὸν τῶν ἐντολῶν καὶ τῶν νόμων, ὅπερ κοιλίαν ὠνόμασε, πυξίον εἶναί φησιν ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου. πρῶτον δὲ οἶμαι χρῆναι τὸ σωματικὸν ὑπόδειγμα φανερὸν τῷ λόγῳ ποιῆσαι, εἶθ' οὕτως ἐπὶ τὴν θεωρίαν τῶν εἰρημένων ἐλθεῖν. πυκνόν τι ξύλον ἡ πύξος ἐστὶ καὶ ὑπόλευκον, ἀφ' ἧς φιλοτεχνοῦσιν ἑαυτοῖς πίνακας οἷς τῶν γραμμάτων μέλει. τὸ τοίνυν τοιοῦτον πινάκιον τὸ πρὸς τὴν τῶν γραμμάτων χρείαν κατεσκευασμένον, κἂν ἀφ' ἑτέρας ὕλης τύχῃ γενόμενον, πυξίον καταχρηστικῶς ὀνομάζεται. οὐκοῦν πυξίον ἀκούσαντες λεῖόν τι σκεῦος ἐπιτήδειον πρὸς γραμμάτων ὑποδοχὴν ἐνοήσαμεν. ἐπεὶ τοίνυν γενικόν τι τῶν τοιούτων πινάκων ὄνομα τὸ πυξίον ἐστίν, ἐνταῦθα καὶ τὸ εἶδος τῆς ὕλης τῷ

2-3 Exod 24, 12

ERª ΛYSΘ Σ PVT C Syr 1 post εἰπόντος spatium 15 fere litt implet lineolis ~ ~ Σ τοῦ coll ante περὶ SV τοὺς Y μωσέα PV αὐτῶν: αὐτὸν V τοῦ αὐτοῦ P 2 πρός με om S(add in marg m fort pr) ἴστι T στῆθι V 4 μετὰ ταῦτα δέ om P πᾶν om Sv post σωματικόν add τε V 5 νόμος: λόγος T 6 δεχόμενον corr ut vid e λεγόμενον Λ τὸ δεχόμενον om P πτυξίον Θ(eras τ) 7 γὰρ δεκτικὸν: παραδεκτικὸν SΘ 8 κοιλία ERªPv καὶ λίαν SΘ ὠνόμασται ERªv πτυξίον Θ (eras τ) 9 σαμφείρου E 10 οἶμαι χρῆναι om P ὡς οἶμαι χρὴ Syr χρῆναι: χρὴ εἶναι ΛY τὸ: τῷ Rª τῷ λόγῳ om T 11 ποιεῖσθαι ΛYΘ οὕτωσεὶς ·τὴν C²(sscr spir super ει et add -ς in fin lin et eras 1 vel 2 litt in initio lin ante τὴν, fort ει?) ἐλθεῖν coll ante τῶν T 12 τι: τὸ C πύξις v 13 οἷς: εἰς τὰ P μέλλει VE(eras λ alt) μέλη P 14 τὸ om Rª 15 παρεσκευασμένον Θ ἀφ': ἐφ' ΛYv ὑφ' V ἀφ' ἑτέρας: ἀμφοτέρας Θ τύχοι P 16 post πυξίον add interpretam 'quod attinet ad legem felicis Moysis' Syr 17 λεῖόν: λίθινον Syr (ὑπο)δοχὴν om E(et eras in fine lin ὑπο et add in marg sup ὑποδοχὴν E²) 18 ἐνενοήσαμεν v 19 - p 413, 1 τὸ pr—λόγος om Y

ὑποδείγματι ὁ λόγος προστίθησι, οὐκ ἀπὸ ξύλου λέγων ἀλλ' ἐξ ἐλέφαντος εἶναι τὴν κατασκευὴν τοῦ πυξίου. φασὶ δὲ διὰ πολλὴν πυκνότητα καὶ στερρότητα τὸ τοιοῦτον ὀστέον ἀδιάφθορον διαμένειν ἐφ' ὅτι μήκιστον μηδεμίαν ἐκ χρόνου βλάβην παραδεχόμενον. ὁ δὲ σάπφειρος τῷ κυανοειδεῖ τῆς χρόας εἰς παραμυθίαν τοῦ καμάτου τῶν ὀφθαλμῶν ἐπινοεῖται, τοῖς φιλοπόνως προσανέχουσι τῷ καταγεγραμμένῳ πυξίῳ φυσικῶς τῆς τοιαύτης αὐγῆς τὰς ὄψεις δι' ἑαυτῆς ἀναπαυούσης. τὸ μὲν οὖν ὑπόδειγμα, ᾧ διὰ συγκρίσεως ὁμοιοῦται ἡ ἐγκωμιαζομένη τῆς ἐκκλησίας κοιλία, τοιοῦτόν ἐστιν, ἐγὼ δὲ παρὰ τῆς προφητείας ἀκούσας τοῦτο διακελευομένης ἐκ προσώπου τοῦ θεοῦ ὅτι Γράψον ὅρασιν καὶ σαφῶς εἰς πυξίον, ἔννοιαν λαμβάνω, τί διὰ τοῦ ὀνόματος τῆς κοιλίας ἐν τῷ ἐπαινουμένῳ σώματι τοῦ κυρίου προσήκει νοεῖν· εἰ γὰρ τὴν θείαν ὅρασιν σαφῶς ἐγγράφειν τῷ πυξίῳ ὁ λόγος διακελεύεται, τάχα τὸ καθαρὸν τῆς καρδίας, ᾧ διὰ τῆς μνήμης τὰς θείας ὁράσεις ἀπογραφόμεθα, τῷ τῆς κοιλίας ὀνόματι διασημαίνει. καθάπερ καὶ ὁ διαστείλας τὸ στόμα τοῦ μεγάλου Ἰεζεκιὴλ καὶ ἐνθεὶς αὐτῷ τὴν κεφαλίδα τοῦ βιβλίου πλήρη γραμμάτων καθ' ἑκάτερον οὖσαν, κατά τε τὸ ἔξωθεν αὐτοῦ καὶ τὸ ἔσωθεν, φησὶ πρὸς αὐτὸν ὅτι Τὸ στόμα σου φάγεται καὶ ἡ κοιλία σου πλησθήσεται, τὸ

12-13 Habac 2, 2 16-17 cf II Cor 3, 3; cf Ezech 11, 19; Prov 7, 3; cf Matth 5, 8 18-21 cf Ezech 2, 8-3, 2 21-22 ibid 3, 3

ERª ΛYSΘ(post 17 τῆς pr def 1 fol) Σ PVT C Syr 2 τοῦ om v 4 ἄφθορον ERªv μένειν T εἶναι C χρόνων SΘ 5 κυανῷ εἴδει E(post υ eras 1 litt) Rªv 6 χροιᾶς ERªC²(corr e χρόας)v 8 αὐγῆς: σϊγῆς P om Y δι' ἑαυτῆς coll ante τὰς ΛYSΘ 9 ᾧ: οὗ ERª ὃY ᾧ διά: ὧδε V κρίσεως T 10 ἐκκλησία Rª 11 ἐστιν: τι V παρὰ: διὰ P προφητικῆς ἀκούων φωνῆς T 12 ante ἐκ add ὡς V τοῦ om P καὶ eras EC om RªPv Syr 13 ἐς v λάβω P τί: τίνα T 16 λόγος: νόμος C 17 ante μνήμης add θείας ΛY 18 καὶ om v (τ)ὸ στ(όμα) ex corr T τὸ σῶμα C(corr C²) 19 θεὶς S 20 οὖσα Rª κατά: καθὰ P 21 πρὸς: ὁρᾶς ΛY ὅτι om C τὸ tert om T 22 σου alt: μου YΛ(ut vid, corr m fort pr)

διανοητικὸν καὶ τὸ λογιστικὸν τῆς ψυχῆς, ᾧ ἐναπέθετο τὰ θεῖα μαθήματα, κοιλίαν προσαγορεύσας. παραπλησίως
1076 M. δὲ καὶ τὸν μέγαν Ἱερεμίαν τὴν ὑπὸ τῶν σκυθρωπῶν ἐκείνων νοημάτων ὀδυνωμένην καρδίαν κοιλίαν ἔγνωμεν ὀνομάζοντα, δι' ὧν φησιν ὅτι Τὴν κοιλίαν μου ἀλγῶ καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου μαιμάσσει. εἰ δὲ χρὴ τὸ κυριώτερον τῶν εἰς τὴν διάνοιαν ταύτην ὁδηγούντων ἡμᾶς ἀπὸ τῆς θείας παραθέσθαι φωνῆς, τοῦτό φαμεν ὅπερ πρὸς τοὺς πεπιστευκότας εἶπεν ὁ κύριος ποταμοὺς λέγων ἐκ τῆς κοιλίας ἀπορρέειν ὕδατος ζῶντος τῶν εἰς αὐτὸν πιστευόντων. ἔχει δὲ οὕτως ἡ λέξις· Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. διὰ πάντων τοίνυν τῶν εἰρημένων τὴν καθαρὰν καρδίαν διὰ τοῦ τῆς κοιλίας ὀνόματος νοεῖν ἐναγόμεθα, ἥτις πυξίον τοῦ θείου γίνεται νόμου, τῶν, καθώς φησιν ὁ ἀπόστολος, Ἐνδεικνυμένων τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, Οὐ μέλανι ἀλλὰ πνεύματι θεοῦ ζῶντος ἐγχαρασσομένων τῇ ψυχῇ τῶν τοιούτων γραμμάτων, Οὐκ ἐν πλαξὶ λιθίναις, καθώς φησιν ὁ ἀπόστολος, ἀλλ' ἐν τῷ τῆς καρδίας πυξίῳ

5-6 Ierem 4, 19 11-12 Joh 7, 38 15-16 Rom 2, 15 17 et 18 II Cor 3, 3

ER^a ΛYS Σ PVT C Syr 1 καὶ τὸ λογιστικὸν om v ante καὶ add τε C τὸ om Σ λογικὸν P ᾧ: ὧς R^a 2 (μα)θή(ματα) corr in ras 3 vel 4 litt C(pr m) μυστήρια P 3 ὑπὸ: ἐπὶ P 4 post καρδίαν add καὶ ΛY 5 δι' ὧν: διὸ ER^aCv τὴν κοιλίαν μου iterat (scil de Ierem 4, 19) S post μου add ἐγὼ C 6 μαιμάσσει ESv: μαιμάσση P μεμάσσει cett (corr $R^a$$Λ^2$, sscr αι T) τὸ om P τῶν κυριωτέρων S 7 ὁδηγγημάτων P 8 ὅτιπερ ER^av ὃ S 9 ποταμοὶ S post κοιλίας add αὐτοῦ V et add αὐτῶν et om 10 τῶν—πιστευόντων Syr ἀπορρεύσασθαι PC(ex ἀπο corr αὐτοῦ C^2) ἀπορρεύσεσθαι V ῥέειν ER^av 10-12 τῶν—ζῶντος om PVC 10-11 ἡ λέξις οὕτως ΣT 13 τοῦ om V(ins V^2) 14 ἥτις: εἴ τις C 15 τῶν ER^aΣTv: om ΛYSPVC 15-16 ἐνδεικνύμενον ΛY 16 ante γραπτὸν add τὸν ΛY γραπτῶν R^a ἐν τῷ πυξίῳ τῶν καρδιῶν αὐτῶν Syr 17-18 ἐγχαρασσομένων—γραμμάτων om Syr 18 γραμμάτων om E(in marg add E^2)P 19 καθώς—ἀπόστολος om Syr ante ὁ add αὐτὸς V post ὁ add θεῖος VT post ἀπόστολος add ἐνδεικνυμένων τὸ ἔργον γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν VC(post ἔργον sscr τοῦ νόμου C^2)

καθαρῷ τε ὄντι καὶ λείῳ καὶ στίλβοντι· τοιοῦτον γὰρ εἶναι χρὴ τὸ ἡγεμονικὸν τῆς ψυχῆς, ὥστε τρανὴν ἐν αὐτῷ καὶ ἀσύγχυτον τῶν θείων λογίων ἐντυποῦσθαι τὴν μνήμην οἷόν τισι γράμμασιν εὐσήμοις διηρθρωμένην. καλῶς δὲ συμπαρείληπται τῷ τοιούτῳ πυξίῳ πρὸς τὸν τῆς κοιλίας ἔπαινον καὶ ὁ σάπφειρος· οὐρανοειδὴς γὰρ ἡ τοῦ σαπφείρου αὐγή. τὸ δὲ τοιοῦτον αἴνιγμα σύμβολον γίνεται τοῦ τὴν καρδίαν ἡμῶν τὰ ἄνω φρονεῖν τε καὶ βλέπειν, ὅπου τὸν θησαυρὸν ἀποτίθεται, κἀκεῖ τὰς ὄψεις προσαναπαύειν, ὥστε μὴ κάμνειν ἐν τῇ προσοχῇ τῶν θείων παραγγελμάτων τῆς οὐρανίας ἐλπίδος τὸ ὀπτικὸν τῶν τῆς ψυχῆς ὀμμάτων ἀναπαυούσης.

Εἶτα διαδέχεται τὸν τῆς κοιλίας ἔπαινον τὰ τῆς κνήμης ἐγκώμια· φησὶ γὰρ ὅτι Κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς. πολύστυλος μέν ἐστι τῆς σοφίας ὁ οἶκος ὃν ἑαυτῇ ᾠκοδόμησε, πολλοὶ δὲ καὶ οἱ τὴν τοῦ μαρτυρίου σκηνὴν διερείδοντες στῦλοι διαφόροις ὕλαις κεκοσμημένοι, ὧν κεφαλίδες μὲν ἦσαν καὶ βάσεις χρυσαῖ, τὸ δὲ μέσον τῇ τοῦ ἀργυρίου περιβολῇ κεκαλλώπιστο. τοὺς δὲ τῆς ἐκκλησίας στύλους (οἶκος δέ ἐστιν ἡ ἐκκλησία, καθώς φησιν ὁ ἀπόστολος ὅτι Πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι) μαρμαρίνους εἶναί φησιν ἡ νύμφη ἐπὶ

2-4 cf Plat Theaet 194 c/d; cf etiam Plat Phaedr 250 a 8 cf Col 3, 2 (ἄνω φρονεῖν); cf Plat Phaedr 249 d (βλέπων ἄνω) 9 cf Matth 6, 21 ~ Luc 12, 34 14-15 Cant 5, 15 15-16 cf Prov 9, 1 16-19 cf Exod 37, 4 et 15 21-22 I Tim 3, 15

ER^a ΛYS Σ PVT C Syr 1 τοιούτο (sic) Σ 2 χρὴ om S αὐτῇ PVC ἑαυτῷ ST 4 διηρθρωμένοις P 6 καὶ ὁ σάπφειρος coll ante 5 πρὸς S ante ἡ add καὶ ER^av 7 σύμβολον ER^aΛv Syr: συμβολὴ Y συμβουλὴ cett 8 ὑμῶν Y 11 ante ὀμμάτων add θείων ΛY 13 κνήμης: μνήμης R^a 16 post ὃν add ἐν S 17 σκηνὴν coll ante τοῦ P 18 ὧν: οἷς T 19 ἀργύρου SΣT κεκαλλώπισται ER^av 20 post δὲ alt add θεοῦ Syr post ἐκκλησία add τοῦ θεοῦ V 21 post ὁ add θεῖος Λ post ὅτι add in marg ἡ et 4 fere litt, quae legi nequeunt C^2 δεῖν T 22 post ἀναστρέφεσθαι add (scil de I Tim 3, 15) ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος Syr

χρυσῶν βεβηκότας τῶν βάσεων, ὅτι μὲν οὖν συμφωνεῖ τῇ τοῦ Βεσελεὴλ σοφίᾳ ἡ νύμφη κατὰ τὴν τοῦ κάλλους ὑπογραφὴν παραπλησίως ἐκείνῳ τὴν κεφαλὴν καὶ τὰς βάσεις τῷ χρυσίῳ κοσμήσασα, παντὶ δῆλόν ἐστι τῷ τοῖς περὶ τῆς σκηνῆς εἰρημένοις καθομιλήσαντι· ὡς γὰρ ἐκεῖνος χρυσῆν ἑκάστῳ τῶν στύλων τὴν κεφαλὴν ἐφαρμόσας ἐπὶ χρυσῆς ἵστησι βάσεως, οὕτω καὶ ἐνταῦθά φησιν ἡ καθαρῶς πρὸς τὸ τοῦ νυμφίου βλέπουσα κάλλος κεφαλὴν μὲν αὐτοῦ εἶναι χρυσίον καθαρὸν καὶ ἀκήρατον (τοῦτο γὰρ ἡ τοῦ κεφὰζ λέξις ἐνδείκνυται), τεθεμελιῶσθαι δὲ τὰς κνήμας ἐπὶ χρυσῶν λέγει τῶν βάσεων. πρὸς ὅ τι δὲ χρὴ μεταληφθῆναι τὰ περὶ τῶν στύλων αἰνίγματα, τῷ ἁγίῳ Παύλῳ μαθητευόμενοι τῆς ἀληθοῦς ἐννοίας οὐκ
1077 M. ἐκπεσούμεθα, ὃς τοὺς προέχοντας ἐν τοῖς ἀποστόλοις Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην στύλους τῆς ἐκκλησίας ὠνόμασεν. ἐπεὶ δὲ καὶ τοῦτο προσήκει μαθεῖν, πῶς ἔστι γενέσθαι στῦλον, ὡς ἂν καὶ ἡμεῖς ἄξιοι τῆς τοιαύτης γενοίμεθα κλήσεως, πάλιν καὶ τοῦτο παρὰ τῆς τοῦ Παύλου σοφίας ἀκούομεν, ὅς φησι στῦλον εἶναι τὸ ἑδραίωμα τῆς ἀληθείας. οὐκοῦν χρυσίον μέν ἐστιν ἡ ἀλήθεια, ἡ καὶ βάσις τῶν κνημῶν γινομένη καὶ τὰς χεῖρας καὶ τὴν κεφαλὴν δι' ἑαυτῆς καλλωπίζουσα, τὸ δὲ ἑδραίωμα εἰς τὴν τοῦ μαρμάρου

2-3 cf Exod 35, 30-33   5 cf Exod 37, 4   6 βάσεις χρυσαῖ nusquam inveniuntur Exod 35-38   8-9 cf Cant 5, 11; cf supra p 390, 11-20   14 cf Gal 2, 9   18 cf I Tim 3, 15

ER^a ΛYSΘ (inde a 3 βάσεις) Σ PVT C Syr   2 βεσσελεὴλ ER^a 3 τῷ om P   5 ὡς γὰρ: ὥσπερ SΘ   χρυσῆν om ER^av   τῷ στύλῳ Λ(corr $Λ^2$)   6 ἵστησι: ἔστι C(corr ἔστησι C^2)   7 καὶ om ER^av   8 καθαρὸν χρυσίον ΛY   9 κηφὰζ ER^aΘT κεφὰξ P   10 δὲ om v   τῶν om ER^av   12 οὐκ om Λ(sscr $Λ^2$)Y   14 τε καὶ pr ΛYΣVC, fort recte   ἰωάννην καὶ ἰάκωβον T   τῆς ἐκκλησίας om ER^av   15 δὲ om E(sscr E^2)   ἐπειδὴ ut vid C (corr C^2)   παθεῖν Λ(corr $Λ^2$)Y   16 τῆς τοιαύτης ἄξιοι T   γενοίμεθα ER^aΣP(super οἱ sscr ω)Vv: γενώμεθα cett   17 τοῦ om T   super σοφίας sscr φωνῆς P   18 ἀκούσωμεν ΘVT ἀκούωμεν v   ὅς: ὥς S   τὸ: καὶ (scil sec I Tim 3, 15) ΛYSΘT καὶ τὸ v   ἀληθείας ER^aΛY^2(in marg cum nota γρα)Σv Syr: ἐκκλησίας cett   19 ἡ alt coll post καὶ PT   βάσεις V   τῶν om Θ   20 γενομένη PVTC   21 δὲ om R^a μαρμάρου: μαρτυρίου Θ

φύσιν μεταλαβών τις οὐχ ἁμαρτήσεται. ὡς εἶναι τοιαύτην τὴν τῶν λεγομένων διάνοιαν ὅτι αἱ κνῆμαι τοῦ σώματος, οἱ μαρμάρινοι στῦλοι (τουτέστιν οἱ τῷ λαμπρῷ βίῳ καὶ τῷ ὑγιαίνοντι λόγῳ τὸ κοινὸν σῶμα τῆς ἐκκλησίας βαστάζοντές τε καὶ διερείδοντες, δι' ὧν ἥ τε βάσις τῆς πίστεως ἔχει τὸ πάγιον καὶ ὁ κατ' ἀρετὴν δρόμος ἀνύεται καὶ ἐν τοῖς ἅλμασι τῶν θείων ἐλπίδων ὅλον τὸ σῶμα μετέωρον γίνεται) διὰ τῶν δύο κατορθοῦνται τούτων, ἀληθείας καὶ βεβαιότητος, τοῦ μὲν χρυσοῦ μεταλαμβανομένου πρὸς τὴν ἀλήθειαν, ἥτις κατὰ τὴν τοῦ Παύλου φωνὴν θεμέλιος τῆς θείας οἰκοδομῆς γίνεταί τε καὶ ὀνομάζεται (οὕτω γάρ φησιν ὅτι Θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. Ἰησοῦς Χριστὸς δέ ἐστιν ἡ ἀλήθεια, ᾗ ἐνθεμελιοῦνται αἱ κνῆμαι, οἱ στῦλοι τῆς ἐκκλησίας), διὰ δὲ τοῦ μαρμάρου νοούντων ἡμῶν τό τε λαμπρὸν τοῦ βίου καὶ τὸ πρὸς τὴν τῶν ἀγαθῶν διάθεσιν ἐμβριθές τε καὶ ἀμετάθετον. ἀλλ' ἐπειδὴ πολλοὶ μὲν οἱ στῦλοι τῆς τοῦ μαρτυρίου σκηνῆς, πολλοὶ δὲ καὶ οἱ τὸν τῆς σοφίας οἶκον διαβαστάζοντες, δύο δὲ νῦν ἐξαρκοῦσιν ὅλον ἀνέχειν ἐφ' ἑαυτῶν τὸ σῶμα, τάχα πρὸς ἄλλην τινὰ διάνοιαν χρὴ μεταγαγεῖν τὸν σκοπὸν τοῦ αἰνίγματος· οἶμαι γὰρ διὰ

11-13 I Cor 3, 11   13 cf Joh 14, 6

ER^a ΛYSΘ Σ PVT C Syr   1 μεταβαλὼν E(corr m fort pr) Λ(corr $Λ^2$)ΘΣT μεταλαβόντες V   τις coll ante φύσιν $R^a$$E^2$ (adscr in fin lin)$Λ^2$(sscr)v eras Λ om EV   ἁμαρτήσετε V   4 τὸ κοινὸν: τοῖς οἶνον C(eras et corr τῆς πίστεως οἷον τὸ C^2)   βαστάζουσί C   4-6 βαστάζοντές—δρόμος om Λ(in marg sup add $Λ^2$)Y   5 διαιρίδουσι C(corr διερείδουσι C^2)   6 ἐν om T   ἅλματι R^a 7 ante διὰ add ὁ ΛYSΘ add καὶ Syr   8 κατορθοῦνται C^2(ins ν): κατορθοῦται cett v Syr   τε καὶ Σ   9 χρυσίου PVTC   10 τοῦ om ER^aTv   οἰκοδομίας Θ κατασκευῆς v   11 τε (praest claus) ER^aV$Λ^2$(add)v: om cett   12 ἄλλο P om Σ   13 Ἰησοῦς pr ER^av Syr: ὁ ΣP om cett   Ἰησοῦς alt ΛYSΘ Syr: om cett v   14 ex αἱ corr ὡς C^2 15 δὲ eras E om R^av   μαρμάρου: μαρτυρίου Θ   17-18 ἀλλ'—σκηνῆς om T   τῆς coll ante σκηνῆς ER^aTv   19 δὲ om P   20 τάχ' ἂν T   21 μετάγειν ΣPVC

τούτων ἐκεῖνο κατασκευάζεσθαι τὸ πολυειδεῖς μὲν γίνεσθαι τὰς ἐκ τοῦ νόμου πρὸς ἀρετὴν ὁδηγίας, πολλὰ δὲ καὶ τῆς σοφίας εἶναι τὰ παραγγέλματα πρὸς τὸν αὐτὸν ὁρῶντα σκοπόν, τὸν δὲ συντετμημένον τοῦ εὐαγγελίου λόγον εἰς εὐαρίθμητόν τε καὶ συνεσταλμένον ἀγαγεῖν πᾶσαν τοῦ κατ' ἀρετὴν βίου τὴν τελειότητα οὕτως εἰπόντος τοῦ κυρίου ὅτι Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. ἴσον δὲ πάντως ἐστὶν εἰς δύναμιν ἢ ὑποκρεμάμενον ἀνέχειν τὸ βάρος ἢ ἐπικείμενον· εἷς γὰρ δι' ἀμφοτέρων ὁ τῆς δυνάμεως θεωρεῖται τόνος τοῦ καθ' ἑκάτερον τρόπον τὸ ἄχθος βαστάζοντος· φέρει γὰρ ὁμοίως δι' ἑαυτοῦ, εἴτε ἀπηρτημένον ἔχει τὸ βάρος εἴτε ὑπολαμβάνει τῇ παλάμῃ τὸ βασταζόμενον. ἐπεὶ οὖν ὁ μὲν κύριος ἐν ταύταις φησὶ ταῖς δυσὶν ἐντολαῖς ὅλον τὸν νόμον κρέμασθαι καὶ τοὺς προφήτας, νῦν δὲ ἡ νύμφη δύο στύλοις ἐπὶ χρυσῶν θεμελίων βεβηκόσι βαστάζεσθαι λέγει τὸ σῶμα, καλῶς ἂν ἔχοι πρὸς τὴν θεωρίαν τοῦ κατὰ τὰς κνήμας αἰνίγματος συμπαραλαβεῖν τὰς δύο ἐντολὰς ἐκείνας, ὧν τὴν μὲν πρώτην ὀνομάζει ὁ κύριος, τὴν δὲ ὁμοίαν τῇ πρώτῃ, λέγων τὸ μὲν ἀγαπᾶν τὸν θεὸν ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ δυνάμεως τὴν πρώτην ἐντολὴν εἶναι, τὸ δὲ τὸν πλησίον ὡς ἑαυτὸν

7-8 Matth 22, 40   18-p 419, 1 cf Matth 22, 37-39

ER^{a} ΛYSΘ Σ PVT C Syr   1 ἐκείνω YΛ(ut vid, corr Λ^{2}) γενέσθαι T   2 καί: ἐκ V   3 τὰ om Σ   αὐτὸν om R^{a} 4 δὲ om v   5 ἅπασαν ER^{a}v   6 post τελειότητα add ἔγνωκεν E^{2}(in marg, κ sic scripto ut pro μ legi possit)v add ἔγνωμεν R^{a} add ἔγνων ut vid Λ^{2} (in marg)   7-8 κρέμαται (sic) coll sec Matth 22, 40 ante καὶ ΛYΣC Syr, fort recte   8 πάντων V   9 ὑποκρεμμάμενον ΛY ὑποκεκραμένον V   10 θεωρεῖται hoc loco PVC: coll ante ὁ cett v, maluit Jaeger   11 ἕτερον Σ   12 ἀπηρτημένον ΛYSΘΣ: ἐπηρτημένον cett v   ἔχοι ER^{a}ΛΣT   post ἔχει eras 1 litt C^{2} ὑπολαμβάνει SΘ: ὑπολαμβάνον Λ(corr -νει Λ^{2})Y ὑπολαμβάνοιτο Σ ὑπολαμβάνοι cett v   13 οὖν om V   14 φησὶ in ras T   14-15 κρέμασθαι coll post προφήτας ER^{a}v   15 στύλους Y(ut vid)C(corr C^{2})   16 θεμελίως R^{a} 19 ὠνόμασεν T   εἰπὼν T   20 ante καρδίας add τῆς v   τε om ER^{a}v   21 τὸν: τῶ YΛ^{2}(ut vid, ex corr) τὸ C

1080 M. ἰσοδυναμεῖν τῇ πρώτῃ. ἀλλὰ καὶ ὁ Παῦλος οἷόν τινα οἶκον δεκτικὸν τοῦ θεοῦ κατασκευάζων τὸν μέγαν Τιμόθεον τοὺς δύο τούτους ἐν αὐτῷ ἵστησι στύλους, τῷ μὲν ὄνομα θέμενος πίστιν τῷ δὲ ἑτέρῳ συνείδησιν, διὰ μὲν τῆς πίστεως τὴν εἰς θεὸν ἀγάπην τὴν ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ δυνάμεως σημαίνων, διὰ δὲ τῆς ἀγαθῆς συνειδήσεως τὴν ἀγαπητικὴν εἰς τὸν πλησίον διάθεσιν. τάχα δὲ οὐκ ἐναντιοῦται τῷ προτέρῳ νοήματι ἡ νῦν ἐφευρεθεῖσα διάνοια· δι' ἀμφοτέρων γὰρ τούτων ἐστὶ τὸ γενέσθαι στύλους τοὺς κατὰ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην καὶ εἰ δή τις ἄλλος κατ' ἐκείνους τοῦ τοιούτου ὀνόματος ἄξιος ἢ γέγονεν ἢ γενήσεται· ὁ γὰρ ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς τελειωθεὶς στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας κατασκευάζεται κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, ὥστε τοῖς δύο τούτοις κατορθώμασιν ὅλον τὸ σῶμα τῆς ἀληθείας καθάπερ κνήμαις τισὶν ἐπερείδεσθαι, τοῦ χρυσοῦ θεμελίου τῆς κατὰ τὴν πίστιν βάσεως τὸ ἀκλινές τε καὶ ἀμετάθετον καὶ τὸ ἐν παντὶ ἀγαθῷ πάγιον τοῖς λογισμοῖς ἐμποιοῦντος.

Μετὰ δὲ τοὺς ἐπαίνους τούτους καθάπερ ἀνακεφαλαιουμένη ὅλον τοῦ νυμφίου τὸ κάλλος φησίν· Εἶδος αὐτοῦ ὡς Λίβανος ἐκλεκτός, ὡς κέδροι· φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία, οὗτος ἀδελφιδός μου καὶ οὗτος πλησίον

1-2 cf I Tim 3, 15   3-4 cf ibid 1, 19   9-10 cf Gal 2, 9
12-13 cf I Tim 3, 15

ER^{a} ΛYSΘ Σ PVT C Syr   1 πρώτῃ om T(in marg add m ut vid rec)   οἱονεί ΛY   τινα coll post οἶκόν Σ   3 ἐν αὐτῷ coll post ἵστησιν ER^{a}ΣTv(ἐν ἑαυτῷ) om ΛYSΘ   συνίστησι P   ὀνόματι C(corr C^{2})   θεὶς T   4 post συνείδησιν add ἀγαθήν Syr   7 τάχα δὲ: οὐκοῦν T   ante οὐκ add καὶ C   8 εὑρεθεῖσα P   9 τὸ om PVC Syr(ut vid, nam vertit ἔστι)   τοὺς κατὰ om Syr   10 δή eras E om R^{a}Tv   11 τοῦ om Σ   ἢ pr om SΘ   12 ταύταις: αὐταῖς Σ   ταῖς om v   13 ἀληθείας: ἐκκλησίας P (sscr ἀληθείας)   κατασκευάζεται coll post 14 φωνὴν ER^{a}v   14 δυσὶ Σ   15 ὅλον: ὅ ἐστιν V   ἀληθείας: ἐκκλησίας T   16 τῆς: τοῦ Θ   τὴν om PV   17 τὸ alt: τῶ ER^{a}Λ(corr Λ^{2})YΘ   19-20 ἀνακεφαλαιοῦμεν πόλιν C(corr -μένη πάλιν C^{2})   21 κέδρος PVC   φάρυξ E(eras γ)ΘΣ

μου, θυγατέρες Ἱερουσαλήμ. ἐν τούτῳ γὰρ οἶμαι σαφέστερον αὐτὴν διασημαίνειν ὅτι περὶ τὸ βλεπόμενον τοῦ νυμφίου κάλλος ἐστὶν ὁ ἔπαινος (ἐκεῖνό φημι τὸ βλεπόμενον, ὃ διὰ τῶν καθ' ἕκαστον μελῶν τῶν συμπληρούντων τὴν ἐκκλησίαν σωματοποιεῖ ὁ ἀπόστολος)· ἓν γὰρ εἶδος αὐτοῦ φησιν εἶναι τὰς μυριάδας τῶν κέδρων, αἷς διείληπται πανταχόθεν ὁ Λίβανος, δηλοῦσα διὰ τῶν λεγομένων ὅτι οὐδὲν ταπεινὸν καὶ χαμαίζηλον συντελεῖ πρὸς τὴν εὐμορφίαν τοῦ σώματος, ἐὰν μή τι κατὰ τὴν κέδρον ὑψηλὸν ᾖ καὶ πρὸς τὸ ἄνω τῇ κορυφῇ ἐπειγόμενον.

Μᾶλλον δὲ τὸ παρατεθὲν ἐν τοῖς εἰρημένοις πρῶτον κατανοήσωμεν· Εἶδος αὐτοῦ, φησίν, ὡς Λίβανος ἐκλεκτός. ἐκλογὴ δὲ παντὸς πράγματος διὰ τῆς τοῦ ἐναντίου παραθέσεως γίνεται. ἐπεὶ οὖν ὁμώνυμόν ἐστι τὸ ἀγαθὸν ἐπί τε τοῦ ὄντως ὄντος τοιούτου καὶ ἐπὶ τοῦ μὴ ὄντος μέν, ὑποκρινομένου δὲ δι' ἀπάτης καὶ δοκοῦντος εἶναι ὃ οὐκ ἔστιν, ὁ μὴ διαμαρτὼν τῆς τοῦ καλοῦ κρίσεως τὸ ἐξειλεγμένον ἀγαθὸν ἀντὶ τοῦ ἠπατημένου προείλετο. ἐπεὶ οὖν ἐνταῦθα τῷ ἐκλεκτῷ Λιβάνῳ τὸ εἶδος τοῦ νυμφίου προσείκασε, δύο κατὰ τὸ ἀκόλουθον Λιβάνους ὁ λόγος νοεῖν ὑποτίθεται· ἕνα μὲν τὸν

2-5 cf supra p 383, 15-386, 17 4-5 cf I Cor 12, 12 sqq 20-421, 2 cf Ps 28, 5/6; cf supra p 209, 3-16

E R^a ΛYSΘ Σ PVT C Syr 1 Ἱηρουσαλήμ v 2 αὐτὴν διασημαίνειν om Σ ante περὶ add τὸ v βλεπόμενον: φαινόμενον SΘ 4 τῶν pr: τοῦ T ante μελῶν add τῶν T 5 σωματοποιεῖν R^a ἓν: ἐκ ΛYSΘ εἴδους ΛYSΘ 6 ex αἷς corr ὧ C^2 8 συντελεῖ om R^a 9 κατὰ om VC(sscr ὡς C^2) τὴν om PVC e κέδρον corr κέδρος C^2 τῶν κέδρων Λ(corr Λ^2)Y ante ὑψηλὸν add ᾗ ΛY ᾖ: ἡ ΛY ἢ ΣC(corr C^2) εἴη Ev ἂν εἴη R^a τὸ ἄνω om ER^{a}v 11 παρεθὲν ΣVTC παρενθὲν P 12 κατανοήσομεν E^2(ex -σω)R^{a}Θ φησίν om P 13 τοῦ om P 14 ἐστι om Y 15 ὄντως om VTC ὄντος pr om P ἐπὶ om SΘ ἐπὶ τοῦ μὴ ὄντος iterat P ὄντος alt: ὄντως R^a μέν om C ὑποκεινομένου P(sed corr) ὑποκειμένου SΘ 17 ante ἀγαθὸν add ὃν Σ add ὂν T 18 ἠπατημένου: οὐ P post ἠπατημένου add οὐ v προείλατο YΛ(ut vid, corr Λ^2)C προσείλετο T post οὖν add καὶ Syr 19 Λιβάνῳ om P τὸ pr: τῶ (vel τοῦ?)E(corr per ras) τοῦ: τὸ E(corr E^2) (νυμφί)ου e corr E^2

πονηρὸν καὶ ἀπόβλητον, τὸν ἴσα τῷ μόσχῳ κατὰ τὴν προφητείαν μετὰ τῶν κέδρων τῶν ἐφ' ἑαυτοῦ συντριβόμενον, ἕτερον δὲ τὸν ἐκλεκτόν τε καὶ τίμιον, οὗ τὸ κάλλος θεοπρεπές ἐστι καὶ θεοείκελον. ὃ δὲ νοοῦμεν διὰ τῶν εἰρημένων τοιοῦτόν ἐστιν· εἷς βασιλεὺς κυρίως τε καὶ ἀληθινῶς καὶ πρώτως ἐστὶν ὁ βασιλεὺς πάσης τῆς κτίσεως. ἀλλ' ὅμως καὶ ὁ κοσμοκράτωρ τοῦ σκότους σεμνύνει ἑαυτὸν τῷ τῆς βασιλείας ὀνόματι. λεγεῶνες ἀγγέλων παρὰ τῷ ἀληθινῷ βασιλεῖ καὶ λεγεῶνες δαιμόνων παρὰ τῷ ἄρχοντι τῆς ἐξουσίας τοῦ σκότους. ἀρχαὶ καὶ ἐξουσίαι καὶ δυνάμεις ὑπὸ τὸν βασιλέα τῶν βασιλευόντων καὶ κύριον τῶν κυριευόντων.
1081 M. ἔχει κἀκεῖνος κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν ἀρχάς τε καὶ ἐξουσίας καὶ δυνάμεις τὰς καταργουμένας, ὅταν μέλλῃ τὸ κακὸν εἰς τὸ μὴ ὂν ἀφανίζεσθαι (Ὅταν γὰρ καταργήσῃ, φησί, πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν). ἐπὶ θρόνου βλέπει ὁ προφήτης τὸν βασιλέα τῆς δόξης καθήμενον ὑψηλοῦ τε καὶ ἐπηρμένου. κἀκεῖνος ἐπαγγέλλεται θήσειν ἐπάνω τῶν ἄστρων τὸν ἴδιον θρόνον, ὥστε εἶναι ὅμοιον τῷ ὑψίστῳ. σκεύη ἐκλογῆς ἐν τῇ μεγάλῃ ἑαυτοῦ οἰκίᾳ ὁ τοῦ παντὸς ἔχει δεσπότης. ἔχει κἀκεῖνος σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν. πάλιν ζωὴν καὶ εἰρήνην δι' ἀγγέ-

4 θεοείκελον: cf Plat Resp 501 b 7 cf Eph 6, 12 8 cf Matth 26, 53 9 cf Marc 5, 9 et 15 ~ Luc 8, 30; cf Matth 9, 34 9-10 cf Eph 2, 2; ἐξ. τ. σκότους cf Col 1, 13 10 cf Eph 1, 21 11 cf I Tim 6, 15 14-15 I Cor 15, 24 15-17 cf Ezech 10, 1 et 18/19; 43, 7 17-19 cf Isai 14, 13/14 19 cf Act 9, 15 19-20 cf Joh 14, 2 20-21 cf Rom 9, 22 21-p 422, 1 cf Luc 2, 13/14

E R^a ΛYSΘ Σ PVT C Syr 1 τῷ om P τῶν μόσχων S 2 μετὰ —ἑαυτοῦ om Θ(add in marg, τῶν alt om) τῶν alt ER^{a}Λ^2(sscr)v: om cett ἑαυτὸν S αὐτοῦ P 4 τὸ δὲ νοούμενον ER^{a}v 5 κύριός T τε om V ἀληθινὸς PT πρῶτος ΛYPVT 6 ἁπάσης(om τῆς) ΛYSΘ 9 καὶ om Syr δαιμόνων: ἀγγέλων T 10 καὶ pr om T 12 post ἔχει add δὲ PC τοῦ om ΛPv τε om PC 13 τὰς om Θ 15 ante ἐξουσίαν add πᾶσαν(scil sec I Cor 15, 24) ΛY Syr ante δύναμιν add πᾶσαν Syr 16 ὁ προφήτης βλέπει T 17 ante ὑψηλοῦ add ἐφ' ER^{a}Tv et ὑψηλὸν et ἐπηρμένον Θ 18 ὅμοιον εἶναι Σ 19 αὐτοῦ ΛYSΘV ὁ iterat R^a 21 εἰρήνη R^a

λων χορηγεῖ τοῖς ἀξίοις ὁ τῶν ἀγγέλων κύριος. κἀκεῖνος θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστέλλει διὰ τῶν ἀγγέλων τῶν πονηρῶν. καὶ τί χρὴ τὰ καθ' ἕκαστον λέγειν, δι' ὧν κατὰ τὸ ἐναντίον ἀντεπαίρεται πρὸς τὴν τοῦ ἀγαθοῦ φύσιν ὁ ἀντικείμενος; ἐπεὶ οὖν κατὰ τὸ αἰσθητὸν περιφανές ἐστι θέαμα τὸ ὄρος ὁ Λίβανος πανταχόθεν ταῖς ὑψηλαῖς κέδροις συνηρεφής τε καὶ δάσκιος, τούτου χάριν πρὸς τὰς ἐναντίας ἐννοίας διὰ τῶν κατὰ τὸ φαινόμενον ὑποδειγμάτων ὑπὸ τῆς γραφῆς τὸ ὄρος μερίζεται προσφόρως λαμβανόμενον καθ' ἑκάτερον. καὶ οὕτως ἔστι παρὰ τοῖς αὐτοῖς προφήταις ἰδεῖν τὸ αὐτὸ ὄνομα κατὰ τὴν τῶν δηλουμένων διαφορὰν ἐπαινούμενόν τε καὶ κακιζόμενον· νῦν μὲν γὰρ συντρίβει κύριος τὰς κέδρους τοῦ Λιβάνου καὶ ὅλον τὸν Λίβανον μετὰ τῶν ἐν αὐτῷ κέδρων λεπτύνει καθ' ὁμοιότητα τοῦ εἰδωλοποιηθέντος μόσχου ἐν τῇ ἐρήμῳ (δι' οὗ τοῦτο ἡ προφητεία παρίστησιν ὅτι αὐτή τε ἡ κακία καὶ πᾶν ἐξ αὐτῆς ὕψωμα τὸ κατὰ τῆς γνώσεως τοῦ θεοῦ ἐπαιρόμενον εἰς τὸ μὴ ὂν περιστήσεται), νῦν δὲ πρὸς τὸ κρεῖττον αὐτοῦ μεταλαμβάνει

2-3 cf Ps 77, 49   12-15 cf Ps 28, 5/6   14-15 cf Exod 32, 20   15-18 cf supra p 209, 10-13   16-17 cf II Cor 10, 5

ER^a ΛYSΘ Σ PVT C Syr 2 ἀποστελεῖ YΛ (?, vix legi potest)   διὰ τῶν: δι' ΛYSΘ   3 τῶν om ΛYSΘ   τὰ om ΛYSΘ   δι' om ER^a 4 κατὰ τῶν ἐναντίων κατεπαίρεται V   6 ὁ om R^a τοῦ Λιβάνου Syr   7 συνηρεφὲς V   τε: ὂν V   δάσκιος (cf ex. gr. Odyss. ε 470, at cf Habac 3, 3) correxi: δασΐος T δάσειος PC (corr C^2) λάσιον V λάσιος cett v   ad λάσιος adnot in marg δ. . άσ Θ (2 vel 1 litt eras)   ἐναντίας del Y^2 8 διὰ om V   ἐμφαινόμενον ER^{a}v   9 τὸ ὄρος om V Syr   10 ἕτερον ΛYΣ   11 αὐτὸ: αὐτοῦ V   12 ἐπαινουμένων et κακιζομένων v   γὰρ om P   post γὰρ add φησὶν ὁ προφήτης ὅτι Syr   συντρίψει (scil sec Ps 28, 5) T   13 τὰς κέδρους: τὰ δένδρα V   14 κέδρων: δένδρων PVC   λεπτυνεῖ (scil sec Ps 28, 6) SΘΣT   post λεπτ. add αὐτὰ ΛYSΘ   καθ': κατὰ τὴν PVC   14-15 δηλοποιηθέντος T   15 μόσχον C (corr C^2)   δι' οὗ: διὰ ER^{a}v   16 αὕτη ΛYΘΣ   post πᾶν add τὸ Σ   ἐξ om SΘ   post ἑαυτῆς (sic) add τὸ SΘ   17 ἐπηρμένον v   18 ante πρὸς add τὸ YΛ (eras)   πρὸς om v

τὴν σημασίαν λέγων· Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται· ὁ γὰρ ἀληθῶς δίκαιος (κύριος δέ ἐστιν ὁ δίκαιος ὁ δι' ἡμᾶς ἐκ γῆς ἀνασχών), ἐκεῖνος ὁ ὑψίκομος φοῖνιξ ὁ ἐν τῇ ὕλῃ τῆς φύσεως ἡμῶν ἀνατείλας ὄρος γίνεται ταῖς κέδροις τῶν ῥιζουμένων διὰ πίστεως ἐν αὐτῷ πληθυνόμενος, αἵτινες ὅταν ἐν τῷ οἴκῳ τοῦ θεοῦ φυτευθῶσιν, Ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἐξανθήσουσιν. οἶκον δὲ τὴν ἐκκλησίαν κατὰ τὴν τοῦ ἀποστόλου ὑφήγησιν ἐνοήσαμεν, ἐν ᾧ γίνεται ἡ τῶν κέδρων τοῦ θεοῦ φυτεία, αὐλὰς δὲ τὰς αἰωνίους σκηνάς, ἐν αἷς ἡ τῶν ἀγαθῶν ἐλπίδων ἐξάνθησίς τε καὶ φανέρωσις τοῖς καθήκουσι χρόνοις γενήσεται. ἐπειδὴ τοίνυν τὸ σῶμα τοῦ Χριστοῦ διὰ τῶν καθ' ἕκαστον ἐκπληροῦται μελῶν (τὰ γὰρ πολλὰ μέλη ἓν σῶμα γίνεται, καθώς φησιν ὁ ἀπόστολος), τούτου χάριν ὅλον τὸ τοῦ νυμφίου κάλλος τὸν ἐκλεκτὸν ὠνόμασε Λίβανον τὴν πρὸς τὸν ἀπόβλητον Λίβανον διαφορὰν τῷ ἐκλεκτὸν διαστείλασα· ἐκεῖνος γάρ ἐστιν ὁ Λίβανος ὁ κατὰ τὸν Ἠσαΐαν σὺν τοῖς ὑψηλοῖς πεσούμενος, ὅταν ἐκ τῆς τοῦ Ἰεσσαὶ ῥίζης ἀνατείλῃ
1084 M. τὸ ἄνθος καὶ ἡ τῆς ἐξουσίας ῥάβδος ἀναφύῃ, δι' ἧς μεταβάλλε-

1-2 Ps 91, 13   6-7 ibid 14   8 cf I Tim 3, 15   10 cf Luc 16, 9   10-11 cf Col 1, 5/6   13 cf I Cor 12, 12   17-19 cf Isai 10, 34-11, 1

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὡσεὶ: ὡς ἡ PY (ἡ) Λ (ut vid, corr Λ^2)   2 ὁ—δίκαιος om Syr   3 et add ὁ ante κύριος et om et δέ et ὁ δίκαιος PV   3-4 ὁ δίκαιος—ἐκεῖνος om Syr   4 ὁ alt ER^{a}v: ὃς cett Syr   ἐν τῇ ὕλῃ: ἐκ Syr   5 ταῖς: τοῖς Θ   6 ἐν αὐτῷ διὰ πίστεως Σ   ἐν pr: ἐπ' C   ὅταν om T   7 θεοῦ pr: κυρίου (scil sec Ps 91, 14) Syr   φυτευθεῖσαι T   ταῖς: τοῖς Y   post θεοῦ alt add ἡμῶν ER^{a}Vv LXX   8 ὑφήγησιν: φωνὴν ΛYSΘ Syr   9 ἐνενοήσαμεν v   ἐν om SΘ   10 ἐν om SΘ   ἀγαθῶν om E   et 10 αἱ et 11 ἐξανθήσεις et φανερώσεις et γενήσονται P   11 ante τοῖς add ἐν T   12 ἕκαστα Θ   13 ἐκπληροῦ·ται E (eras 1 litt)   πάντα γὰρ τὰ (scil sec I Cor 12, 12) Syr   πολλὰ: λοιπὰ YΛ (corr Λ^2) SΘ   γίνεται σῶμα PVC   15-16 e τὴν ···· διαφορὰν corr τῇ ··· διαφορᾷ Θ^{2}C^2 16 τῷ ἐκλεκτὸν scripsi sequens interpretem Syr (τῷ ἐκλεκτὸς λέγειν). intellege 'voce ἐκλεκτὸς (vel ἐκλεκτὸν, cf 15) usa': τῶν ἐκλεκτῶν ΛYS τὸν ἐκλεκτὸν ΘC^2 (e bis -ῶ) τῷ ἐκλεκτῷ cett v   17 ὁ alt om ER^{a}v

ται τοῦ τε λέοντος καὶ τῆς παρδάλεως καὶ τῶν ἀσπίδων ἡ φύσις πρὸς τὸ τιθασόν τε καὶ ἥμερον, ὥστε συνδιαιτᾶσθαι μὲν τῷ μόσχῳ τὸν λέοντα, συναναπαύεσθαι δὲ τῷ ἐρίφῳ τὴν πάρδαλιν, ἐπιστατεῖν δὲ τούτων τὸ παιδίον ἐκεῖνο τὸ νήπιον ὃ ἐγεννήθη ἡμῖν, οὗ ἡ χεὶρ ἐν τῇ τρώγλῃ τῶν ἀσπίδων γίνεται καὶ τῶν ἐγγόνων τῆς ἀσπίδος ἐφαπτομένη καὶ τὸν ἰὸν αὐτῶν ἀπαμβλύνουσα, ὧν γινομένων φησὶν ὁ προφήτης ὅτι καὶ Ὁ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται. ὅσα δὲ μηνύει διὰ τῶν αἰνιγμάτων τούτων ἡ προφητεία, ὡς πρόδηλα πᾶσιν ὄντα περιττὸν ἂν εἴη δι' ἀκριβείας ἐκτίθεσθαι. τίς γὰρ οὐκ οἶδε τὸ γεννηθὲν ἡμῖν παιδίον τὸ τῶν ἀσπίδων τῇ χειρὶ ἐφαπτόμενον, οὗ ἡ ἐπιστασία τὰ δηλητήρια τῶν θηρίων ποιεῖ τοῖς ἡμέροις ὁμόσκηνα τῆς φυσικῆς πικρίας λήθην ποιούμενα; ἐπεὶ οὖν πίπτει διὰ τούτων ὁ Λίβανος, ἡ κακία, καὶ συγκαταπίπτει τῇ πρώτῃ τῶν κακῶν ἀρχῇ τὰ κατὰ τῆς ἀληθείας ὑψώματα, διὰ τοῦτο τῷ ἐκλεκτῷ Λιβάνῳ παρεικάζει ἡ νύμφη τοῦ κυρίου τὸ κάλλος οὕτως εἰποῦσα τοῖς ῥήμασιν· Εἶδος αὐτοῦ ὡς Λίβανος ἐκλεκτός, ὡς κέδροι.

Προστίθησι δὲ καὶ τῷ φάρυγγι τὸν κατάλληλον ἔπαινον γλυκασμόν τε αὐτὸν καὶ ἐπιθυμίαν ὀνομάσασα. ἔχει δὲ ἡ λέξις οὕτως· Φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία. ὃ δὲ περὶ τούτου νοοῦμεν, τοιοῦτόν ἐστι· τὸ ὑπὸ τὸν ἀνθερεῶνα μέρος φάρυγγα καλεῖ ἡ συνήθεια, ᾧ φασι

2-6 cf Isai 11, 6-8   5 et 11 cf Isai 9, 5   8 ibid 10, 34   22 Cant 5, 16

ER^a ΛYSΘ Σ PVT C Syr 2 τιθασόν E(sscr σ alt E^2)ΛYV: τιθασσόν cett v   συνδιατίθεσθαι T   5 ὃ: ὃς ΛY   6 ἐκγόνων ΛYCv   καὶ alt om V   7 ἀπαμβλύνει V ἀποπλύνουσα T   γενομένων T   8 ὅτι om E(sscr E^2)   10 ἐντίθεσθαι E^2(ν corr in ras)R^a post γὰρ add ἂν ΛYΘ   12 ἡ om C   13 ἡμετέροις Λ(corr $Λ^2$)Y   15 τῇ: ἡ v om ER^a et πρώτη et ἀρχὴ Ev   16 et τῷ et ὑψώματι V   17 παρασκευάζει P   19 ὡς κέδροι om Θ   20 φάρυγι E^2(eras pr γ)ΘΣ   21 τε om V   22 φάρυξ E^2(eras γ)R^aΘΣ   ὅλως V(sscr ο)   23 τούτων SΘ   24 ἀνθερῶνα Σ   φάρυγα E^2(eras γ pr)R^aΘΣ φάρυγξ P   καλὴ ut vid E(corr E^2)   ᾧ: ὥς PC(corr C^2)

τὸν ἦχον τῇ προσπτώσει τοῦ ἐκ τῆς ἀρτηρίας πνεύματος ἀπογεννᾶσθαι περιδονούμενον. ἐπεὶ οὖν κηρία μέλιτος οἱ καλοί εἰσι λόγοι, λόγου δὲ ὄργανόν ἐστιν ἡ φωνή, ἧς ἡ γένεσίς ἐστιν ἐκ φάρυγγος, τάχα τοὺς ὑπηρέτας τε καὶ ὑποφήτας τοῦ λόγου ἐν οἷς λαλεῖ ὁ Χριστὸς τῷ ὀνόματι τούτῳ σημαίνεσθαι νοῶν τις οὐχ ἁμαρτήσεται· καὶ γὰρ ὁ μέγας Ἰωάννης ἐρωτηθεὶς ὅστις εἴη φωνὴν ἑαυτὸν κατωνόμασεν, ἐπειδὴ τοῦ λόγου πρόδρομος ἦν, καὶ ὁ μακάριος Παῦλος δοκιμὴν ἐδίδου τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ, ᾧ τὴν φωνὴν ἑαυτοῦ χρήσας γλυκασμὸς ἦν δι' ἐκείνου φθεγγόμενος, καὶ πάντες οἱ προφῆται τὰ φωνητικὰ ἑαυτῶν ὄργανα τῷ ἐνηχοῦντι αὐτοῖς πνεύματι παραχωρήσαντες γλυκασμὸς ἐγίνοντο τὸ θεῖον μέλι διὰ τοῦ λάρυγγος τοῦ ἰδίου πηγάζοντες, ὃ βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, οὗ ἡ ἀπόλαυσις οὐκ ἐπικόπτει τὴν ἐπιθυμίαν τῷ κόρῳ, ἀλλὰ τρέφει μᾶλλον διὰ τῆς τῶν ἐπιθυμουμένων μετουσίας τὸν πόθον. διὰ τοῦτο καὶ ὅλον αὐτὸν ἐπιθυμίαν κατονομάζει οἷόν τινι ὁρισμῷ τὸ τοῦ ζητουμένου κάλλος διὰ ταύτης τῆς

1-2 cf ex. gr. Aristot Hist anim p 535 a 28 sqq; De aud passim (cf p 804 b 26); cf Galen Περὶ τοῦ προγνώσκειν πρὸς Ἐπιγένην (ed Kühn XIV p 629/30): 'ἐπιδέξαντος δὲ καὶ ὡς ἡ τοιαύτη (scil ἐκφύσησις) μόνη κατὰ τὴν διὰ τοῦ φάρυγγος ἔξοδον ὑπὸ τῶν κατὰ τὸν χόνδρον πληττομένη τὴν φωνὴν ἐργάζοιτο'.   2-3 cf Prov 16, 24   6-7 cf Joh 1, 23   8-9 cf II Cor 13, 3   8-10 cf supra p 235, 19-236, 2   13-14 Prov 6, 8 b

ER^a ΛYSΘ Σ PVT C Syr 1 προπτώσει Θ(πτ ex corr)   ἀλτηρίας C(corr C^2)   πν.ῦμα Λ(corr $Λ^2$)   2 κηρίον P(sscr α)   2-3 εἰσιν coll ante οἱ ΛYSΘ   3 post ἐστιν lacuna 6 fere litt S   ἡ pr om Σ   ἧς coll ante ἡ pr Λ(corr $Λ^2$)YSΘ   ἡ alt om Λ(sscr $Λ^2$)YS   γέννησις T   4 φάρυγος E(eras γ pr)R^aΘΣ   ὑπηρέτας τε καὶ om Syr   τε om Θ   τε καὶ ὑποφήτας om P   προφήτας T   5 ἐν om T   τούτων ΛY   6 ἁμαρτήσει V   7 ὅστις: ὡς τίς Θ   8 ἦν om P   9 τοῦ om Λ(sscr $Λ^2$)   ᾧ: οὗ E^2(in ras)R^av   ἑαυτοῦ ΣPVTC: αὐτοῦ ΛYSΘ ἑαυτῷ ER^av   10 super (χ)ρ(ήσας)sscr ϊ P   11 τὰ om SΘ   φωνητικὰ om Syr   et τῶν φωνητικῶν et ὀργάνων V   12 ante αὐτοῖς add ἐν ΛYSΘT   πνεῦμα R^a ἐγίνοντο ER^aΣTv Syr: γίνονται cett   13 φάρυγγος PVC   ὃ: ᾧ C(corr C^2)v ὅπερ οἱ Σ   14 φέρον.αι Θ(sscr προσ) προφέρονται P   17 ἑαυτὸν PV   18 τὸ om V   κάλλους V

φωνῆς ὑπογράφουσα· Ὅλος γάρ, φησίν, ἐπιθυμία. ὡς μακάρια τὰ μέλη ἐκεῖνα, δι' ὧν τὸ ὅλον ἐπιθυμία γίνεται, διὰ τῆς ἐν παντὶ ἀγαθῷ τελειότητος σύγκρατον ἐκ πάντων τὸ ἐράσμιον ἀπεργαζόμενα κάλλος, ὥστε ὅλον, μὴ ἐν ὀφθαλμῷ μόνον καὶ κέρασιν[ἢ βοστρύχοις] ἀλλὰ καὶ ἐν ποσὶ καὶ ἐν χερσὶ καὶ ἐν κνήμαις καὶ κατὰ τὸν φάρυγγα παραπλησίως ἐπιθυμητὸν εἶναι μηδενὸς ἐν τοῖς μέλεσι κατὰ τὴν ὑπερβολὴν τοῦ κάλλους ἐλαττουμένου.

1085 M. Οὗτος, φησίν, ἀδελφιδός μου καὶ οὗτος πλησίον μου, θυγατέρες Ἰερουσαλήμ· πάντα γὰρ ὑπ' ὄψιν αὐταῖς ἀγαγοῦσα διὰ τῆς τοῦ λόγου γραφῆς τὰ γνωρίσματα, δι' ὧν ἦν δυνατὸν γενέσθαι τὴν τοῦ ζητουμένου φανέρωσιν, τότε τῷ δεικτικῷ

2-4 ad doctrinam illam pervulgatam spectare videtur de summa pulchritudine e pulcherrimis quibusque partibus commixta. cf ex. gr. Lucian Imag 5/6 4-8 quoad interpretationem allegoricam I Cor 12, 12 sqq cf supra p 215, 3-242, 13 4 βοστρύχοις: cf supra p 326, 5-7. quoad κέρασιν cf ex. gr. Archiloch frg 59 (Diehl): τὸν κεροπλάστην ἄειδε Γλαῦκον. 9-10 Cant 5, 16

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὑπογράφουσαν V 2 μέλη ER^aΣTv Syr: μέρη cett 3 ἀγαθοτελειότητος P 4 ὀφθαλμοῖς PVC Syr, sed cf I Cor 12, 16 sqq 5 καὶ pr: ἢ ἐν T κέρασιν correxi: χερσὶν codd v χειράσιν Syr (ut vid, sed vox Syriaca homonyma est. si praefers sensum alterum = γένυσιν, non repugnabo) post ἢ add ἐν T ἢ βοστρύχοις ut glossam pervetustam delevi. ἐν χερσὶ καὶ ἐν ποσὶ P idem (om ἐν alt) SΘ καὶ ἐν ποσὶ om Syr καὶ ἐν χερσὶ om V ἐν tert om TC 6 ante κνήμαις add ταῖς ER^av id est: Gregorio ante oculos fuisse videtur interpretatio allegorica Ps 91, 11 (fort Origen Comm). quoad usum vocis κέρας = θρίξ vel κόμη cf schol Ilias Λ 385 et lexicographos. quam utilis fuerit haec quamvis falsa doctrina ad explicationem vet test, facile perspicies, cf ex. gr. Deut 33, 17 et Ps 91, 11. scriptores librarii sensum non intellegentes vocem κέρασιν cum corruperunt tum coniecturis suis vexaverunt mendo latius latiusque se diffundente. τὸν ER^aPV: τὴν cett om v φάρυγα E (eras γ pr) R^aΘΣ ἐπιθυμητὸς v 8 ἐναλλαττομένου Θ 9 φησίν om SΘ et ante ἀδελφιδός et ante πλησίον add ὁ v post οὗτος alt add φησὶν ER^av 10 ὕφ' C (corr C^2) ὑπ' ὄψιν coll post αὐταῖς ER^aTv ἄγουσα C 11 ὑπογραφῆς ER^aT$Λ^2$ (sscr ὑπο) v

κέχρηται λόγῳ, οὗτός ἐστι, λέγουσα, ὁ ζητούμενος, ὃς διὰ τοῦ ἀδελφὸς γενέσθαι ἐξ Ἰούδα ἡμῖν ἀνατείλας πλησίον ἐγένετο τοῦ ἐμπεπτωκότος εἰς τοὺς λῃστὰς ἐλαίῳ καὶ οἴνῳ καὶ ἐπιδέσμοις τὰς πληγὰς ἰασάμενος καὶ ἐπὶ τοῦ ἰδίου ἄρας ὑποζυγίου καὶ τῷ πανδοχείῳ ἐναναπαύσας καὶ τὰ δύο δηνάρια πρὸς τὴν ζωὴν παρασχόμενος καὶ ἐν τῇ ἐπανόδῳ αὐτοῦ τὸ προστεθὲν εἰς τὸ τῆς ἐντολῆς ἔργον ἀποδώσειν ἐπαγγειλάμενος. πάντως δὲ φανερόν ἐστι τούτων ἕκαστον εἰς ὅ τι βλέπει· τῷ γὰρ ἐκπειράζοντι τὸν κύριον νομικῷ βουλομένῳ ὑπὲρ τοὺς ἄλλους ἑαυτὸν δεῖξαι καὶ ἐν ὑπερηφανίᾳ τὸ πρὸς τοὺς λοιποὺς ὁμότιμον διαπτύοντι ἐν τῷ λέγειν· Καὶ τίς ἐστί μου πλησίον; τότε ἐν διηγήματος εἴδει πᾶσαν τὴν φιλάνθρωπον οἰκονομίαν ὁ λόγος ἐκτίθεται, τὴν ἄνωθεν κάθοδον τοῦ ἀνθρώπου διηγησάμενος καὶ τὴν τῶν λῃστῶν ἐνέδραν καὶ τὴν τοῦ ἀφθάρτου ἐνδύματος περιαίρεσιν καὶ τὰ τῆς ἁμαρτίας τραύματα καὶ τὸ εἰς ἥμισυ τῆς φύσεως προχωρῆσαι τὸν θάνατον τῆς ψυχῆς ἀθανάτου διαμεινάσης καὶ τοῦ νόμου τὴν ἀνωφελῆ πάροδον οὔτε ἱερέως οὔτε Λευΐτου τὰς πληγὰς τοῦ παραπεπτωκότος τοῖς λῃσταῖς θεραπεύσαντος· ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφελεῖν ἁμαρτίας, ἀλλὰ τὸν πᾶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς ἀπαρχῆς τοῦ φυράματος περιθέμενον, ἐν ᾗ παντὸς

1-p 428, 7 cf Origen Comm Prolog p 70, 27-29; cf Ambros (scil de Origen) Expositio Luc VII 71-81 (= p 311, 20-315, 14 Schenkl); cf infra p 436, 11-16 2 cf Hebr 7, 14 2-8 cf Luc 10, 30-35 9 cf Luc 10, 25 12 Luc 10, 29 20-21 cf Isai 1, 11; cf Hebr 9, 12/13 22 cf Rom 11, 16

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὅς: ὡς Λ (corr $Λ^2$) Y διὰ τοῦ: δι' αὐτοῦ V 5 τῷ: τὸ E (corr E^2) πανδοκείω S πανδοχεῖ Θ πανδοχίω C (corr C^2) ἐπαναπαύσας ΣPC 7 αὐτοῦ Λ (ut vid, corr ἑαυ. $Λ^2$) ἑαυτοῦ YPV δώσειν SΘ ἀποδίδωσιν C (corr C^2) 9 κύριον: θεὸν ΛYSΘ χριστὸν T νομίμω P 10 δεῖξαι: δόξαι C δικαιῶσαι Luc 10, 29 11 τὸ om Σ (sscr $Σ^2$) 12 τότε om V 13 φιλανθρωπίαν YΛ (ut vid, corr $Λ^2$) 15 περιαίρεσιν ἐνδύματος PVC 16 τὸ: τω ut vid E (corr E^2) 17 προχωρῆσαι om SΘ διαμενούσης ΛYSΘP (sed corr) v 18 ἱερεὺς V 19 λευΐτης V περιπεπτωκότος T παρεμπεπτωκότος C^2 (corr εμ ex α) 20 τράγων καὶ ταύρων (scil sec Hebr 9, 13) PVv 21 ἀφαιρεῖν ER^av 22 παραθέμενον C

ἦν ἔθνους τὸ μέρος, Ἰουδαίου τε καὶ Σαμαρείτου καὶ Ἕλληνος καὶ πάντων ἅπαξ ἀνθρώπων, τοῦτον μετὰ τοῦ σώματος, ὅπερ ἐστὶν ὑποζύγιον, τῷ τόπῳ τῆς τοῦ ἀνθρώπου κακώσεως ἐπιστάντα καὶ θεραπεῦσαι τὰ τραύματα καὶ ἐπὶ τοῦ ἰδίου αὐτὸν κτήνους ἐπαναπαῦσαι καὶ καταγώγιον ποιῆσαι αὐτῷ τὴν ἰδίαν φιλανθρωπίαν, ᾗ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι ἐναναπαύονται. ὁ δὲ ἐν αὐτῷ γενόμενος δέχεται πάντως ἐν ἑαυτῷ τὸν ἐν ᾧ ἐγένετο οὕτως εἰπόντος τοῦ λόγου ὅτι Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ. δεξάμενος οὖν τῷ ἰδίῳ χωρήματι πανδοχεύει ἐν ἑαυτῷ τὸν ἀχώρητον, παρ' οὗ δέχεται τὰ δύο νομίσματα, ὧν τὸ μέν ἐστιν ἡ ἐξ ὅλης ψυχῆς εἰς τὸν θεὸν ἀγάπη, τὸ δὲ ἕτερον ἡ εἰς τὸν πλησίον ὡς ἑαυτόν, καθὼς καὶ ὁ νομικὸς ἀπεκρίνατο. ἀλλ' ἐπειδὴ Οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται, χρὴ μὴ μόνον δέξασθαι τὰ δύο ταῦτα νομίσματα (τὴν πίστιν λέγω τὴν εἰς τὸ θεῖον καὶ τὴν ἀγαθὴν πρὸς τοὺς ὁμοφύλους συνείδησιν),

9 Joh 6, 56 11 cf Luc 10, 35 12-13 cf Luc 10, 27 14-15 Rom 2, 13

ER^a ΛΥSΘ Σ PVT C Syr 1 ἦν coll post ἔθνους ΛΥSΘΣ post μέρος v τὸ: τῳ C(corr C^2) 2 τούτων E(corr E^2)P τοῦτο ΛΥ τοῦτον—σώματος om V 3 κακώσεως coll ante τοῦ T 4 ἐπιστάντι Sv 5 κτήνους αὐτὸν ἀναπαῦσαι PVC 6 ἰδίαν φιλανθρωπίαν: φιλάνθρωπον οἰκονομίαν ER^{a}v ᾗ: οἳ C πάντες οἱ κοπιῶντες in marg add V 7 ἐναναπαύονται ER^a: ἐπαναπαύονται cett Syr συναναπαύονται v ἐν: ἐπ' C Syr(et add καὶ ἀναπαυόμενος post γενόμενος) 8 πάντως: πάν R^a ἐν pr—οὕτως scr in ras T^2 αὐτῷ Θ τὸν: τὸ PCT^2 10 χωρήματι corr in ras $Λ^2$ πανδοκεύει SΘ(corr -δεχ-) πανδοχεύειν P πανδοχεύσει T αὐτῷ Θ 11 τὰ om T post μὲν add ἕν PVC 12 ψυχῆς: καρδίας Ev τῆς καρδίας R^a τῆς ψυχῆς T ψυχῆς scr in ras C(pr m ut vid) post ψυχῆς add καὶ ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης δυνάμεως Syr εἰς pr: πρὸς V τὸν pr om T θεὸν scr in ras 8 fere litt Θ 12-13 τὸ—ἑαυτόν om C 13 post πλησίον add ἀγάπη V Syr(scil de loco non liquet) et 14 et 15 τοῦ om(scil sec Rom 2, 13) C 15 ἀλλὰ v μὴ om Θ(sscr $Θ^1$)C(sscr C^2) 16 τὰ δύο om C(sscr τὰ post ταῦτα C^2) εἰς: πρὸς C τὸ: τὸν VC om PT 16-17 τὴν pr—συνείδησιν om Syr 17 θεὸν PVTC

ἀλλά τι καὶ αὐτὸν συνεισενεγκεῖν διὰ τῶν ἔργων πρὸς τὴν τῶν ἐντολῶν τούτων ἐκπλήρωσιν. διὰ τοῦτό φησιν πρὸς τὸν πανδοχέα ὁ κύριος ὅτι πᾶν τὸ περὶ τὴν θεραπείαν τοῦ κεκακωμένου παρ' αὐτοῦ γενόμενον ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ κατὰ τὴν ἀξίαν τῆς σπουδῆς ἀπολήψεται. ὁ τοίνυν πλησίον ἡμῶν γεγονὼς διὰ τῆς τοιαύτης φιλανθρωπίας, ὁ διὰ τοῦ ἐξ Ἰούδα ἡμῖν ἀνατεῖλαι ἀδελφιδὸς γενόμενος
1088 M. οὗτός ἐστιν, ὃν μηνύει ταῖς νεάνισιν ὁ τῆς νύμφης λόγος, οὗτός ἐστιν ὁ ταῖς θυγατράσιν Ἰερουσαλὴμ παρὰ τῆς ἀχράντου νύμφης δηλούμενος, δι' ὧν φησιν ὅτι Οὗτος ἀδελφιδός μου καὶ οὗτος πλησίον μου, θυγατέρες Ἰερουσαλήμ· ὃν καὶ ἡμεῖς διὰ τῶν δηλωθέντων γνωρισμάτων εὕροιμέν τε καὶ καταλάβοιμεν ἐπὶ σωτηρίᾳ τῶν ψυχῶν ἡμῶν διὰ τῆς τοῦ ἁγίου πνεύματος χειραγωγίας, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λόγος ιε'

Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; (6,1)
ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου;
καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ.

7 cf Hebr 7, 14

ER^a ΛΥSΘ Σ PVT C Syr 1 τι: δεῖ ER^{a}v συνεισενέγκαι v ante διὰ eras 12 fere litt Σ 3 πανδοκέα S πᾶν τὸ: πάντα C (corr C^2) 4 κεκαμωμένου PV(corr utraque m pr) αὐτοῦ alt om P(αὐτο)ῦ corr in ras E(pr m ut vid) 5 ἀπολήψηται E (corr E^2) 7 τοῦ: τὸ SΘΣTC(ut vid, eras ὁ et corr οῦ C^2) ἀνατείλας V ἀδελφὸςER^{a}Σ 8-9 ὃν—ἐστιν om SΘ 9 ἐστιν om v 9-10 παρὰ—νύμφης om Syr 10 ἀχράν//του Σ ὧν: ὃν ΛΥΘ 11 ἀδελφιδούς V post μου pr add ἐστὶ YSΘ 13 λάβοιμεν ER^{a}v 14 post δόξα add καὶ τὸ κράτος Σ 14-15 ᾧ—ἀμήν om P(add in marg, sed legi non possunt nisi ὧ ἡ) 15 τῶν αἰώνων om SΘVTC post ἀμήν add ἐτελειώθη λόγος πέμπτος καὶ δέκατος Syr 16 Λόγος ιε̄ ΛΥV(in marg): λόγος ἕκτος καὶ δέκατος Syr τοῦ αὐτοῦ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων λόγος ϊε̄ Σ(in marg sup λόγος ϊε) τῶν ᾀσμάτων λόγος ϊε' T(in marg λόγος ϊε) ὁμιλία ιε̄ ESv τοῦ αὐτοῦ ὁμιλία ιε R^a(post lemma in marg 'logos ιε' (sic) R^{a2}) ϊε Θ(in marg post lemma) ΙΔ (sic) C om titul P 18 ἀπέβλεψεν: ἀπῆλθεν ER^a ἀδελφιδούς V 19 ζητήσωμεν ER^{a}ΛΥΣPC

Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ (2)
εἰς φιάλας τοῦ ἀρώματος
ποιμαίνειν ἐν κήποις καὶ συλλέγειν κρίνα.
Ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ὁ ἀδελφιδός μου ἐμοί, (3)
ὁ ποιμαίνων ἐν τοῖς κρίνοις.
Καλὴ εἶ, ἡ πλησίον μου, ὡς εὐδοκία, (4)
ὡραία ὡς Ἰερουσαλήμ,
θάμβος ὡς τεταγμέναι.
Ἀπόστρεψον ὀφθαλμούς σου ἀπεναντίον ἐμοῦ (5)
ὅτι αὐτοὶ ἀνεπτέρωσάν με.
τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν
αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλαάδ,
Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων (6)
αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ,
αἱ πᾶσαι διδυμεύουσαι
καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς,
Ὡς σπαρτίον κόκκινον χείλη σου (7)
καὶ ἡ λαλιά σου ὡραία,
ὡς λέπυρον ῥόας μῆλόν σου
ἐκτὸς τῆς σιωπήσεώς σου.
Ἑξήκοντά εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαὶ (8)
καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.
Μία ἐστὶ περιστερά μου, τελεία μου, (9)
μία ἐστὶ τῇ μητρὶ αὐτῆς,
ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν.

ER^a ΛYSΘ Σ PVT C Syr 1 ante ἀδελφιδός add ὁ Σv ἀδελφιδούς V 3 ποιμένην Σ κήποις: κρίνοις V 4 ὁ om ΛYSΘVC LXX ἀδελφιδοῦς alt PV 6 εἶ om R^aΛYΣP ἡ om V 7 ὡραί C(sscr α C^2) ὡς om T 8 ὡς ex corr T post ὡς add στρατιαὶ v 9 ante ὀφθαλμούς add τοὺς SP ὀφθαλμόν Θ ἀπέναντΐ P ἐμοῦ (cf infra p 446, 14)PVTC: μου cett v LXX 11 ἀγέλη T Syr 13 ἀγέλη Syr 14 ἀνεφάνησαν Σ 15 διδυμέουσαι ΛY 17 ὡς: ὦ R^a ante κόκκινον add τὸ LXX ante χείλη add τὰ YΛ(ut vid, eras) 18 ante ἡ add ὡς YΛ (ut vid, eras) 19 λέπυρος v ante ῥόας add τῆς v LXX 21 εἰσι om v παλακαὶ Λ(corr $Λ^2$) YS(corr S^2)Σ 23-24 περιστερά—ἐστὶ om C 25 ἐστι om v τῇ—αὐτήν om P(add in

Ὁ ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου μαρτυρηθεὶς εἶναι Φίλιππος ὁ ἀπόστολος (ἐγκώμιον γάρ μοι δοκεῖ τοῦ Φιλίππου τὸ πολίτην αὐτὸν τῶν ἀδελφῶν ἐκείνων εἶναι τῶν προθαυμασθέντων ἐν τῷ εὐαγγελίῳ διὰ τῆς περὶ αὐτῶν ἱστορίας· ὁ μὲν γὰρ Ἀνδρέας ὑποδείξαντος τοῦ βαπτιστοῦ, τίς ἐστιν ὁ ἀμνὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, αὐτός τε τὸ μυστήριον κατενόησε κατόπιν τοῦ δειχθέντος ἀκολουθήσας καὶ ὅπου μένει μαθὼν καὶ τῷ ἰδίῳ ἀδελφῷ παρεῖναι τὸν προμηνυθέντα παρὰ τῆς προφητείας εὐαγγελίζεται, ὁ δὲ φθάσας μικροῦ δεῖν τῇ πίστει τὴν ἀκοὴν ὅλῃ τῇ ψυχῇ προστίθεται τῷ ἀμνῷ καὶ διὰ τῆς τοῦ ὀνόματος ὑπαλλαγῆς μεταποιεῖται παρὰ τοῦ κυρίου πρὸς τὸ θειότερον ἀντὶ Σίμωνος Πέτρος καὶ ὀνομασθεὶς καὶ γενόμενος. καίτοι τῷ Ἀβραὰμ καὶ τῇ Σάρρᾳ πολλοῖς ὕστερον χρόνοις μετὰ πολλὰς θεοφανείας τῆς ἐκ τῶν ὀνομάτων μεταδίδωσιν εὐλογίας ὁ κύριος τὸν μὲν πατέρα τὴν δὲ ἄρχουσαν διὰ τῆς τῶν ὀνομάτων μεταποιήσεως χειροτονήσας. ὡσαύτως δὲ καὶ ὁ Ἰακὼβ μετὰ τὴν παννύχιον πάλην ἀξιοῦται τῆς τοῦ

1-2 cf Joh 1, 44 5-6 cf Joh 1, 29 7-13 cf Joh 1, 37-42 14-17 cf Gen 17, 5 et 15 16 ἄρχουσαν: cf Origen Homil in Gen VI, 1 (p 66, 18 sqq Baehrens): '.. Sarram, quae interpretatur princeps vel principatum agens'; cf Philo De Abrah 99: ἑλληνιστὶ δὲ ἄρχουσα (sc. Σάρρα) διὰ τὸ μηδὲν ἀρετῆς ἀρχικώτερον καὶ ἡγεμονικώτερον 18-432, 1 cf Gen 32, 29

marg) αὐτῆς E(ut vid, eras -ς et corr -ν E^2) pars codd LXX nota bene in lemm def fin versus 6, 9; quae verba explicantur in fine commentarii (cf infra p 468, 17 sqq).

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὁ om P(scil rubricator) 2 ὁ ἀπόστολος om Syr μοι γὰρ Σ μοι: οἶμαι P δοκεῖν P 3 τὸ: τοῦτο τὸ Ev τοῦτο R^a om P συμπολίτην SΘTC^2(sscr συμ) post αὐτὸν add γενέσθαι v ἐκείνων om ER^aPv εἶναι om ER^av 4 τῷ om v αὐτὸν Λ(corr $Λ^1$)Y 6 τίς: ὅτι οὗτος T ὁ ἀμνὸς om P post ἀμνὸς add τοῦ θεοῦ (scil de Joh 1, 36) ΛY Syr τοῦ κόσμου coll ante τὴν ΛYSΘΣ 8 ποῦ Σ μαθῶ C(corr C^2) 9 παρὰ: διὰ T 10 et (δ)ὲ et (δ)εῖν corr in ras E^2 11 μεταλλαγῆς PVC 12 ποιεῖται C(sscr μετα C^2) παρὰ τοῦ κυρίου om P τοῦ om Θ 14 ἁβραὰμ ΛYSΘΣPTC 16 ante τὸν add καὶ V

Ἰσραὴλ ἐπωνυμίας τε καὶ δυνάμεως. ὁ δὲ μέγας Πέτρος οὐ κατὰ μικρὸν δι' αὐξήσεως προῆλθεν ἐπὶ τὴν χάριν ταύτην, ἀλλ' ὁμοῦ τε ἤκουσε τοῦ ἀδελφοῦ καὶ ἐπίστευσε τῷ ἀμνῷ καὶ ἐτελειώθη διὰ τῆς πίστεως καὶ προσφυεὶς τῇ πέτρᾳ Πέτρος ἐγένετο) οὗτος τοίνυν ὁ Φίλιππος ὁ ἄξιος τῶν τοσούτων τε καὶ τηλικούτων πολίτης, ἐπειδὴ εὕρεμα τοῦ κυρίου γενόμενος, καθώς φησι τὸ εὐαγγέλιον ὅτι Εὑρίσκει
1089 M. τὸν Φίλιππον ὁ Ἰησοῦς, ἀκόλουθος ἐχειροτονήθη τοῦ λόγου τοῦ εἰπόντος ὅτι Ἀκολούθει μοι καὶ τῷ φωτὶ τῷ ἀληθινῷ προσεγγίσας καθάπερ τις λύχνος ἐκεῖθεν ἔσπασε πρὸς ἑαυτὸν τὴν τοῦ φωτὸς κοινωνίαν, καὶ περιλάμπει τὸν Ναθαναὴλ δᾳδουχήσας αὐτῷ τὸ τῆς εὐσεβείας μυστήριον δι' ὧν φησιν· Ὃν ἔγραψε Μωϋσῆς καὶ οἱ προφῆται εὑρήκαμεν, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. τοῦ δὲ Ναθαναὴλ

4 πέτρα: cf I Cor 10, 4; cf Origen in Joh frg XXII (= p 502, 15/16) 7-9 Joh 1, 43; nota bene Gregorium oppugnare explicationem Origenis, cf Origen in Joh frg XXIII (= p 502, 25 sqq): δοκεῖ δὲ μᾶλλον περὶ τοῦ Ἀνδρέα εἶναι τὸ λεγόμενον ···· εὑρόντος τὸν Φίλιππον. τούτῳ τῷ εὑρεθέντι ὑπὸ Ἀνδρέου Φιλίππῳ λέγει ὁ Ἰησοῦς ···· 9 cf Joh 1, 9 13-14 Joh 1, 45 (om υἱὸν τοῦ Ἰωσὴφ et add sec Marc 1, 9 τῆς Γαλιλαίας). non dubito quin Gregorius spectaverit ad Tatiani Διὰ τεσσάρων, cf Expositio Ephraemi (ed Aucher-Moesinger p 50): 'Ita respondit, quia ex domo David et ex Bethlehem Christum nasciturum fore scriptum erat, ille vero (scil Philippus) ex Galilaea eum prodiisse et in Nazareth ortum dixerat'. versiones Tatiani et Arabica et vetus Germanica etiam hoc loco ad textum canonicum adaptatae esse videntur (cf Preuschen V 14 = p 76).

ER^a ΛYSΘ Σ PVT C Syr 2 παρῆλθεν V 4 προσφυὴς Y (η in ras)Σ^2(corr -ῆς ex -εῖς) 5 ὁ pr om C 6 τοιούτων ΛYSΘ Syr τε om ΛYSΘVv τε καὶ τηλικούτων om Syr συμπολίτης C^2(sscr συμ) πολιτειῶν V εὕρημα v τοῦ om ΛY 7 τὸ om v ὅτι om C εὑρίσκοι R^a 8 τὸν om P ὁ Ἰησοῦς om Syr ἐγενήθη Σ 10 προσεγγίσας: πρὸς Σ(infra lin add ἐγγίσας Σ^2) τις om Cv 11 inde ab καὶ περιλάμπει inc apodosis totius periodi. τὸν: τῶ Λ(corr Λ^2)Y πρὸς τὸν P 12 αὐτὸ (om τὸ)Θ(et corr et sscr τὸ Θ^1) 13 ὧν: ὃν Y μωσῆς E(-ς laes) R^{a}C ante καὶ add ἐν τῷ νόμῳ (scil de Joh 1, 45) PVC εὕραμεν C(corr C^2) 14 ἰ(ησοῦ)ν scr in ras E^2 τῆς Γαλιλαίας om Syr

ἐπιστατικῶς δεξαμένου τὸ εὐαγγέλιον διὰ τὸ μετὰ πάσης ἀκριβείας κατηχῆσθαι παρὰ τῆς προφητείας αὐτὸν τὸ περὶ τοῦ κυρίου μυστήριον καὶ εἰδέναι μὲν ὅτι ἐκ Βηθλεὲμ ἡ πρώτη διὰ σαρκὸς γενήσεται θεοφάνεια, διὰ δὲ τὴν ἐν Ναζαροῖς διαγωγὴν Ναζωραῖος κληθήσεται, πρὸς ἀμφότερα τοίνυν ἀποσκοποῦντος καὶ λογιζομένου, ὅτι ἐν μὲν τῇ τοῦ Δαβὶδ Βηθλεὲμ διὰ τὴν οἰκονομίαν τῆς κατὰ σάρκα γεννήσεως ἀναγκαῖον ἦν γενέσθαι τὸ κατὰ τὸ σπήλαιον καὶ τὰ σπάργανα καὶ τὴν φάτνην μυστήριον, ἡ δὲ Γαλιλαία (ἐθνῶν δὲ τόπος ἡ Γαλιλαία) ἐπονομασθήσεταί ποτε τῷ τοῖς ἔθνεσιν ἐμφιλοχωρήσαντι λόγῳ, καὶ διὰ τοῦτο συνθεμένου τῷ τὸ φῶς αὐτῷ τῆς γνώσεως φήναντι καὶ εἰπόντος ὅτι Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι, τότε ὁδηγὸς πρὸς τὴν χάριν ὁ Φίλιππος γίνεται λέγων· Ἔρχου καὶ ἴδε. διὸ καταλιπὼν ὁ Ναθαναὴλ τὴν τοῦ νόμου συκῆν, ἧς ἡ σκιὰ πρὸς τὴν μετουσίαν τοῦ φωτὸς διεκώλυε, καταλαμβάνει τὸν τὰ φύλλα τῆς συκῆς διὰ τὴν τῶν ἀγαθῶν ἀκαρπίαν

1-14 cf Joh 1, 46; cf Origen in Joh frg XXV (= p 503, 16 sqq): τὸ Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι, ἤτοι ἀμφιβάλλων ... ἢ τεθαρρηκότως λέγει, ἐκ τῆς Ναζαρέτ ἐστιν ὄντως ὁ εὑρεθεὶς καὶ ἀληθῶς ἀγαθόν ἐστιν. 2 π. ἀκρ. κατηχῆσθαι: cf Tatian apud Ephraem l.l.: 'ecce verus scriba Israelita, in quo dolus non est'. 3 cf Micha 5, 1 5 cf Matth 2, 23; cf Judic 13, 5 8-9 cf Luc 2, 7/12/16 10 cf Isai 8, 23 15-16 cf Hebr 10, 1 17-434,|1 cf Matth 21, 19

ER^a ΛYSΘ Σ PVT C Syr 2 κατηχῆσθαι Σ: κατηρτῆσθαι V κατηχεῖσθαι cett v post παρὰ add τοῦ νόμου καὶ Syr αὐτὸ ΛYP αὐτῶ SΘ 3 περὶ: παρὰ ΛYΘV om C Syr τὸν κύριον v lacuna R^a τοῦ Χριστοῦ Syr 4-5 et τῆς et διαγωγῆς P 5 ναζαροῖς ER^{a}ΣVCv: ναζαρὲτ ΛYSΘPTC^2 post διαγωγὴν add ὅτι P ναζοραῖος PC(corr C^2) Ναζαραῖος v πρὸς: lacuna R^a 6 διαλογιζομένου P 8 ἀναγκαῖος R^a τὸ pr: τὰ T 9 μυστήρια T 10 et δὲ et ἡ Γαλιλαία om Tv ἐθνῶν—Γαλιλαία om P 11 ἐμφιλοχωρηθέντι P ante λόγῳ add τῷ T 12 post τῷ eras ut vid 1 litt E post αὐτῷ add τὸ C φάναντι ER^{a}Λ^2(e φήν.)v εἰπόντι TC 13 τότε: ὅτε ut vid C(corr C^2) 14 ἔργου(?)Λ(corr Λ^2) διότι T δι' ὧν ER^{a}v 14-15 κατὰ λειπὼν C 15 ὁ Ναθαναὴλ om PVC τὴν alt om PVC

ἀποξηραίνοντα. διὸ καὶ μαρτυρεῖται παρὰ τοῦ λόγου γνήσιος εἶναι καὶ οὐχὶ νόθος Ἰσραηλίτης ἐν τῷ ἀδόλῳ τῆς προαιρέσεως καθαρὸν ἐφ' ἑαυτοῦ δεικνὺς τοῦ πατριάρχου τὸν χαρακτῆρα· Ἴδε γάρ, φησίν, ἀληθινὸς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστιν.

Πρὸς ὅ τι δὲ βλέπει τὸ ἐν τῷ προοιμίῳ διήγημα, φανερόν ἐστι πάντως τοῖς εὐμαθεστέροις ἀκροαταῖς ἐκ τῆς προτεθείσης κατὰ τὸ ἀκόλουθον ἡμῖν ἀναγνώσεως τῶν ἐκ τοῦ Ἄισματος τῶν Ἀισμάτων· ὡς γὰρ ὁ μὲν Ἀνδρέας τῇ φωνῇ τοῦ Ἰωάννου πρὸς τὸν ἀμνὸν ὡδηγήθη, ὁ δὲ Ναθαναὴλ φωταγωγηθεὶς παρὰ τοῦ Φιλίππου καὶ τῆς περιεχούσης αὐτὸν τοῦ νόμου σκιᾶς ἔξω γενόμενος ἐν τῷ φωτὶ τῷ ἀληθινῷ γίνεται, οὕτω καὶ αἱ νεάνιδες πρὸς τὴν εὕρεσιν τοῦ μηνυθέντος αὐταῖς ἀγαθοῦ καθηγεμόνι χρῶνται τῇ τελειωθείσῃ διὰ τοῦ κάλλους ψυχῇ λέγουσαι πρὸς αὐτήν· Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου; καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ. ἀκολούθως δὲ προσάγουσι τῇ διδασκάλῳ τὴν πεῦσιν αἱ παρθένοι ψυχαί· πρῶτον γὰρ τὸν περὶ τοῦ τί ἐστιν ἐποιήσαντο λόγον ἐν τῷ πρὸ ταύτης τῆς ῥήσεως ἐρωτήματι λέγουσαι· Τί ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; ὅπερ διδαχθεῖσαι διὰ τῶν εἰρημένων σημείων ὅτι λευκὸς καὶ πυρρὸς καὶ τὰ λοιπά, δι' ὧν ὑπεγράφη τὸ εἶδος

3 cf Gen 25, 27 4 Joh 1, 47 10-11 cf Hebr 10, 1 11 cf Joh 1, 9 14-16 Cant 6, 1 19-20 Cant 5, 9

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἀποξηράναντα SΘT ἀποξηράνοντα $Λ^2$ (-ά- e corr) 2 καὶ om v 3 ἑαυτῷ Σ τὸν χαρακτῆρα τοῦ πατριάρχου ER^av 4 ἀληθῶς VS (ut vid) Joh 1, 47 (cf Origen in Joh p 505, 4) ἀνὴρ C om ER^av Syr 'verus scriba' Tatian (cf supra ad p 433, 2) γραμματεὺς ἀληθινὸς conieci 6 πάντως om PVC 7 τῶν (scil ῥημάτων) ΛYSΘV Syr (add ῥημάτων): τοῦ ER^a τῆς PCv om ΣT 9 post ἀμνὸν add τοῦ θεοῦ Syr 10 νόμου: κόσμου Y 11 τῷ pr om VC 14-15 ποῦ—γυναιξίν om C 15 ὁ PVCv Syr: φασὶν ὁ Λ (corr φησὶν ut vid $Λ^2$) φησιν ὁ cett σου alt om ΛY 16 ζητήσωμεν ER^aΛYΣPC ἀκολούθως δὲ om T προσάγουσαι ER^a 17 τῇ: τῷ C (corr C^2) διδασκαλίᾳ ΛYP σπεῦσιν R^a 18 τὸν om ER^aPv ἐποιήσαντο: ἐποίησαν τὸν ER^aC (corr C^2) v 19 ῥήσεως: ἐρωτήσεως SΘ ἀδελφός Σ post σου add ἀπὸ ἀδελφιδῶν Syr 21 πυρὸς Σ δι': δὲ C om ER^a ὑπογράφει SVTv

τοῦ ζητουμένου, περὶ τοῦ ποῦ πυνθάνονται. διὸ λέγουσι· Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου; ἢ Ποῦ ἀπέβλεψεν; ἵνα
1092 M. πάντως ὅπου μέν ἐστι μαθοῦσαι προσκυνήσωσιν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ, ὅπου δὲ ἀποβλέπει διδαχθεῖσαι οὕτω στήσωσιν ἑαυτάς, ὥστε καὶ αὐταῖς ἐποφθῆναι τὴν δόξαν αὐτοῦ, οὗ ἡ ἐπιφάνεια σωτηρία τῶν ἐποπτευόντων γίνεται, καθώς φησιν ὁ προφήτης ὅτι Ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα. καὶ ἡ διδάσκαλος καθ' ὁμοιότητα Φιλίππου τοῦ εἰπόντος· Ἔρχου καὶ ἴδε καθηγεῖται τῶν παρθένων πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν ἀντὶ τοῦ εἰπεῖν τὸ Ἴδε τὸν τόπον ὑποδεικνύουσα ἐν ᾧ ἐστιν ὁ ζητούμενος καὶ ὅπου βλέπει· φησὶ γὰρ ὅτι Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ εἰς φιάλας τοῦ ἀρώματος. ἕως τούτου τὸ ἐν ᾧ ἐστιν ὑπὸ τοῦ λόγου σημαίνεται, τὸ δὲ ἀπὸ τούτου, τί ὁρᾷ καὶ ὅπου βλέπει, τῷ λόγῳ δείκνυσιν ἡ διδάσκαλος εἰποῦσα ὅτι Ποιμαίνει ἐν κήποις καὶ συλλέγει κρίνα. αὕτη μὲν οὖν ἡ σωματικὴ τοῦ λόγου πρὸς τὰς νεάνιδάς ἐστιν ὁδηγία, δι' ὧν μανθάνουσι καὶ ὅπου ἐστὶ καὶ ὅπου βλέπει.

7-8 Ps 79, 4 9 Joh 1, 46 12-13 Cant 6, 2

ER^a ΛYSΘ Σ PVT C Syr 1 τοῦ ποῦ SΘ: τὸ ποῦ ΛY τὸ ὅπου ER^aC (corr τοῦ C^2) τοῦ ὅπου PVTv τοῦ ὅπου ἐστὶν Σ διό: διὰ Y 2 ποῦ alt om ΛY 3 προσκυνήσουσιν E (corr E^2) ΣV 4 οὗ: ὅπου ΛYSΘ ὅπου: ποῦ C 5 στήσουσιν ΣP (corr ου ex ω) αὐταῖς: ἑαυταῖς P 6 ἐποπτευόντων ER^av: ἐποφθέντων cett τοῖς ἠξιωμένοις αὐτῆς Syr (scil interpr) 7 ὅτι om ΛYSΘ 8 σωθησώμεθα Σ 9 ante Φιλίππου add τοῦ SΘ, fort recte τοῦ om PVC 10 παρθένων: πάντων v 11 τὸ: ἔρχου καὶ Syr om T post ἴδε add γε T ὑποδεικνῦσα SΘ ἀποδεικνύουσα ΛY 12 ἀποβλέπει SΘV post ὅτι add ὁ Θ ἀδελφιδούς P 13 αὐτοῦ om ER^av post αὐτοῦ add καὶ SΘ φυάλας P τοῦ om P ἕως: ἀπὸ T τὸ ΣPVTC Syr: om cett v 14 τὸ: τοῖς Syr δὲ coll post τούτου T 15 τί ὁρᾷ καὶ om Syr ὅπου: ὅ τι V ὁ λόγος Syr ἡ διδάσκαλος om Syr 16 εἰποῦσα om SΘ λέγουσα v ποιμαίνει ΛYSΘΣT: ποιμαίνειν cett v Syr LXX συλλέγει ΛYSΘΣT: συλλέγειν PVC Syr LXX συνάγειν ER^av 17 οὖν om ER^av σημαντικὴ v 18 ὁδηγία: ὁμιλία T ὧν: ἧς Syr ὅπου pr: ποῦ PVC ὅπου alt: ποῦ P

Χρὴ δὲ πάντως καὶ τὸ ὠφέλιμον τῆς θεοπνεύστου ταύτης ἐπιγνῶναι γραφῆς διὰ τῆς πνευματικῆς θεωρίας. οὐκοῦν ὅταν ἀκούσωμεν ὅτι Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ, τὸ εὐαγγελικὸν μυστήριον διὰ τῶν εἰρημένων μανθάνομεν ἑκάστου τῶν ὀνομάτων τούτων τὸν μυστικὸν λόγον ἡμῖν σαφηνίζοντος· ὁ ἐν σαρκὶ φανερωθεὶς θεὸς διὰ τὸ ἐξ Ἰούδα μὲν ἀνατεῖλαι, λάμψαι δὲ τοῖς ἔθνεσι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις καλῶς καὶ προσφυῶς τῷ ὀνόματι τοῦ ἀδελφιδοῦ παρὰ τῆς μνηστευθείσης αὐτῷ πρὸς ἀΐδιον συζυγίαν κατονομάζεται ἀδελφῆς οὔσης τοῦ ἐξ Ἰούδα λαοῦ, τὸ δὲ Κατέβη δηλοῖ ὅτι διὰ τὸν ἀπὸ Ἱεροσολύμων εἰς Ἰεριχὼ καταβάντα καὶ ἐν τοῖς λῃσταῖς γενόμενον ἄνθρωπον καὶ αὐτὸς τῇ καθόδῳ τοῦ ἐμπεσόντος τοῖς πολεμίοις συγκατέρχεται, δι' ὧν σημαίνει τὴν ἐκ τῆς ἀφράστου μεγαλειότητος γενομένην ἐπὶ τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν συγκατάβασιν· διὰ δὲ τοῦ κατὰ τὸν κῆπον αἰνίγματος τοῦτο μανθάνομεν ὅτι ἀναφυτεύει τὸ ἑαυτοῦ γεώργιον ὁ ἀληθινὸς γεωργός, ἡμᾶς τοὺς ἀνθρώπους (ἡμεῖς γάρ ἐσμεν αὐτοῦ τὸ γεώργιον κατὰ τὴν τοῦ Παύλου φωνήν.

6 cf I Tim 3, 16 7 cf Hebr 7, 14 7-8 cf Luc 1, 79 ~ Isai 9, 1 et 42, 6 12-13 cf Luc 10, 30; cf supra p 427, 2-428, 7 17-18 cf Ps 79, 9 et 16 19 cf I Cor 3, 9

ER^a ΛYSΘ Σ PVT C Syr 1-2 γραφῆς coll ante ταύτης ΛY 3 ἀδελφιδούς PV μου ΛYSΘΣT Syr: om cett v 5 μανθάνωμεν ΣC(corr C^2) τῶν: αὐτῶν C^2(adscr αὐ in marg) om PV ὀνομάτων om PVC τοῦτον Cv 5-6 τὸν λόγον τὸν μυστικὸν V 6 post σαφηνίζοντα(sic) add ὅτι V post ὁ add γὰρ Syr 7 post ἀνατεῖλαι add ἡμῖν Syr 11 ἐξ om v ὅτι: τὸ V om ΛYT διὰ om PVT 12 Ἱερουσαλὴμ ER^av ἐς Yv καὶ om C ἐν om ΛY 13 ἄνθρωπον correxi(cf supra p 427, 20 et 428, 3) :· ατοῦτο E(in ras 1 litt, fort ν?, scr in initio lin δι E^2) διὰ τοῦτο R^aSΘΣPTC(corr τοῦτον C^2)v διὰ τούτου ΛY om V Syr id est: siglum ΑΝΟΝ vel laesum vel parum diligenter scriptum scribae librarii aut cum ν antecedenti per errorem commiscuerunt (cf E) aut omiserunt (cf Syr) τῇ—ἐμπεσόντος om PVC 14 ὧν: ὃν V τὴν: τῆς ut vid E (corr E^2) 15 ἀφθάρτου T 16 post κῆπον spatium 5 fere litt Θ 18-19 ὁ—γεώργιον om ΘV 19 τὸ om(scil sec I Cor 3, 9) ER^av τοῦ om ER^aΣTv

ἐπεὶ οὖν ἐκεῖνός ἐστιν ὁ κατ' ἀρχὰς ἐν τῷ παραδείσῳ γεωργήσας τὴν ἀνθρωπίνην φυτείαν ἣν ἐφύτευσεν ὁ πατὴρ ὁ οὐράνιος, διὰ τοῦτο τοῦ μονιοῦ τοῦ ἀγρίου κατανεμηθέντος ἡμᾶς, τὸν κῆπον, καὶ λυμηναμένου τὸ θεῖον γεώργιον κατέβη τοῦ πάλιν ποιῆσαι κῆπον τὴν ἔρημον τῇ τῶν ἀρετῶν φυτείᾳ καλλωπιζόμενον τὴν καθαρὰν καὶ θείαν τῆς διδασκαλίας πηγὴν ἐπὶ τὴν τῶν τοιούτων φυτῶν ἐπιμέλειαν ὀχετηγήσας τῷ λόγῳ)· αἱ δὲ τοῦ ἀρώματος φιάλαι ἐν μὲν τῇ τοῦ κάλλους ὑπογραφῇ πρὸς τὸ τῶν σιαγόνων ἐγκώμιον παρελήφθησαν, δι' ὧν καταλεαίνεται τὰ πνευματικὰ σιτία τοῖς τρεφομένοις, ἐνταῦθα δὲ τόπος εἶναι τοῦ νυμφίου καὶ ἐνδιαίτημα παρὰ τοῦ λόγου μηνύεται τοῦτο μανθανόντων ἡμῶν ὅτι οὔτε ἐν ἐρήμῳ τῶν ἀρετῶν ψυχῇ ὁ νυμφίος αὐλίζεται καί, εἴ τις κατὰ τὸν προαποδοθέντα λόγον φιάλη ἀρώματος γένοιτο φύουσα τὰ μυρεψικά, ὁ τοιοῦτος κρατὴρ τῆς σοφίας γενόμενος δέχεται ἐν ἑαυτῷ τὸν θεῖόν τε καὶ ἀκήρατον οἶνον δι' οὗ
1093 M. γίνεται τῷ δεξαμένῳ ἡ εὐφροσύνη. ὁ δὲ ἐφεξῆς λόγος διδάσκει ἡμᾶς ποίαις νομαῖς τὰ ποίμνια τοῦ καλοῦ ποιμένος πιαίνεται· οὐ γὰρ εἰς ἐρήμους τινὰς καὶ ἀκανθοφόρους τόπους ἐξελαύνει

3-4 cf Ps 79, 14 8-10 cf Cant 5, 13 et explic supra p 401, 12-403, 11 15 cf supra 403, 6/7; κρατὴρ τῆς σοφίας cf Prov 9, 2 16-17 cf Ps 103, 15 18 cf Joh 10, 11

ER^a ΛYSΘ(inde a 19 γὰρ def fol 1) Σ PVT C Syr 1 τῷ om v 2 φυτείαν: φύσιν ER^av Syr 3 τοῦ alt om YP ἀγροῦ YΘ(sscr ι $Θ^1$) om P ἡμῶν v 4 λυμηνάμενος Y λυμαινομένου v 5 κῆπον ποιῆσαι V 6 ante τὴν add καὶ PVC 7 ἐπὶ: εἰς PC om V ὀχετηγῆσαι V(-χαιτ-)C^2(et acc et αι e corr) ὀχετήσας Pv 8 φυάλαι P 9 παρελήμφθησαν YΛ (eras μ) 11 τόπος εἶναι: τὸ προσεῖναι YΛ(ut vid, corr $Λ^2$)SΘ τόπον εἶναι P(-πον εἶ- in ras ut vid) 12 μηνύεται: σημαίνεται V τοῦτο: τοῦ C(sscr το C^2) ὅτι οὔτε: τοῦτε(vel τοῦτο) C(corr ὡς οὔτε C^2) οὔτε: οὐ τῇ Σ 13 ὁ eras E om R^av καί: ἀλλ' ΛYSΘ om Σv εἴ τις: ἥτις V 14 φυάλη P γένηται T 15 τὰ om(scil sec Cant 5, 13) ER^aSΘv intellege: 'τὰ ποικίλα τῶν ἀρετῶν ἄνθη, quae supra (cf p 403, 10-11) laudavimus'. itaque articulo opus est. τῆς om T 16 αὐτω(sic) V τε om ER^aTv 17 δὲ: δι R^a 18 ποιμαίνεται V(in marg πιαίνεται) 19 ἀκανθηφόρους SVT ἐξελαύνεται ΛYS

τὰ πρόβατα, ὥστε τὴν χορτώδη δρέψασθαι πόαν, ἀλλὰ τροφὴ πρόκειται αὐτοῖς τὰ ἐκ τῶν κήπων ἀρώματα, ἀντὶ δὲ χόρτου τὸ κρίνον γίνεται ὅπερ φησὶ παρὰ τοῦ ποιμένος εἰς διατροφὴν τῶν προβάτων συλλέγεσθαι, ταῦτα φιλοσοφοῦντος ἡμῖν διὰ τούτων τοῦ λόγου ὅτι ἡ περιεκτικὴ τῶν ὄντων φύσις καὶ δύναμις πάντα ἐν ἑαυτῇ περιείρουσα τόπον ἑαυτῆς καὶ χώρημα ποιεῖται τῶν δεχομένων τὴν καθαρότητα, ἐν οἷς ὁ πολυειδῶς διὰ τῶν ἀρετῶν γεωργούμενος κῆπος κομᾷ μὲν τοῖς τῶν κρίνων ἄνθεσι, βρύει δὲ τῇ τῶν ἀρωμάτων καρπογονίᾳ· τὰ μὲν γὰρ κρίνα τοῦ λαμπροῦ καὶ καθαροῦ τῆς διανοίας αἴνιγμα γίνεται, ἡ δὲ τῶν ἀρωμάτων εὔπνοια τοῦ πάσης ἁμαρτιῶν δυσωδίας ἀλλοτρίως ἔχειν. τούτοις οὖν φησι τὸν τῶν λογικῶν ἐπιστάτην ποιμνίων ἐναναστρέφεσθαι, ἐν μὲν τοῖς κήποις νομεύοντα, τὰ δὲ κρίνα πρὸς τὴν τῶν προβάτων διατροφὴν κείροντά τε καὶ συλλέγοντα, ἅπερ διὰ τοῦ μεγάλου Παύλου τοῖς προβάτοις προτίθησι τοῦ ἐκ τῆς θείας ἀποθήκης προβάλλοντος ἡμῖν τὴν ἐκ τῶν κρίνων διατροφήν. ἔστι δὲ ταῦτα Ὅσα ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος. ταῦτά ἐστι κατά γε τὸν ἐμὸν

2 cf ex. gr. Ps 22, 2; Ezech 34, 14   3 χόρτου: cf Isai 40, 6-8 = I Petr 1, 24; cf I Cor 3, 12   18-20 Phil 4, 8

ER^a ΛYS Σ PVT C Syr 1 (ἀλ)λὰ sscr $Λ^2$ 3 τὰ κρίνα et ἅπερ Syr   παρὰ τοῦ ποιμένος: παραιτούμενος YΛ (ut vid, corr $Λ^2$)   5 ἡμῖν coll post τούτων P   6 πάντα: τὰ PVC   αὐτῇ PVCR^a (sscr ἑ)   7 ποιεῖται coll ante καὶ V   8 θεωρούμενος V (sed corr pr m)   κῆπος om S   9 μὲν: ἐν T   ἀρωμάτων: ἀρετῶν ER^a 9-10 et τὴν et καρπογονίαν P (sscr et ῆ et α) V   12 τοῦ C^2 (corr e τὸ) Syr: τὸ cett v   (δυσω)δί(ας) corr in ras 3 litt C^2 τοιούτοις v   14 νομεύεσθαι V   15 κήροντά VC (corr C^2)   16 ἅπερ: ἅπαν V   προστίθησι V   17 προβαλόντος E προβαλλόντος R^a 17-18 ἡμῖν—διατροφήν om S   18 ὅσα σεμνά coll ante ὅσα ἀληθῆ T   18-19 ὅσα σεμνά, ὅσα δίκαια om PVC   19 ὅσα ἁγνά coll post προσφιλῆ ER^av (ἅγια)   ὅσα προσφιλῆ om ΛY   εἴ: ἤ V (in ras) C (corr C^2) ἤ T   20 τ(αῦτα) in init lin in ras E^2 γε om PVTC

λόγον τὰ κρίνα οἷς διατρέφεται παρὰ τοῦ καλοῦ ποιμένος τε καὶ διδασκάλου τὰ ποίμνια.

Ὁ δὲ ἐφεξῆς λόγος, ὃν ἡ καθαρὰ καὶ ἀκηλίδωτος νύμφη πεποίηται λέγουσα· Ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ὁ ἀδελφιδός μου ἐμοί, κανὼν καὶ ὅρος τῆς κατ' ἀρετήν ἐστι τελειότητος· μανθάνομεν γὰρ διὰ τούτων τὸ μὴ δεῖν πλὴν τοῦ θεοῦ μηδὲν ἐν ἑαυτῷ ἔχειν μηδὲ πρὸς ἄλλο τι βλέπειν τὴν κεκαθαρμένην ψυχήν, ἀλλ' οὕτως ἑαυτὴν ἐκκαθᾶραι παντὸς ὑλικοῦ πράγματός τε καὶ νοήματος, ὡς ὅλην διόλου μετατεθεῖσαν πρὸς τὸ νοητόν τε καὶ ἄϋλον ἐναργεστάτην εἰκόνα τοῦ ἀρχετύπου κάλλους ἑαυτὴν ἀπεργάσασθαι. καὶ ὥσπερ ὁ ἐπὶ τοῦ πίνακος ἰδὼν τὴν γραφὴν δι' ἀκριβείας πρός τι τῶν ἀρχετύπων μεμορφωμένην, μίαν ἀμφοτέρων εἶναι τὴν μορφὴν ἀποφαίνεται καὶ τὸ ἐπὶ τῆς εἰκόνος κάλλος τοῦ πρωτοτύπου λέγων εἶναι καὶ τὸ ἀρχέτυπον ἐναργῶς ἐν τῷ μιμήματι καθορᾶσθαι, τὸν αὐτὸν τρόπον ἡ εἰποῦσα ὅτι Ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ὁ ἀδελφιδός μου ἐμοί, συμμεμορφῶσθαι λέγει τῷ Χριστῷ τὸ ἴδιον κάλλος ἀπολαβοῦσα, τὴν πρώτην τῆς φύσεως ἡμῶν μακαριότητα, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ πρώτου καὶ μόνου καὶ ἀληθινοῦ κάλλους ὡραϊσθεῖσα.

4-5 Cant 6, 3   6-11 haud sane operae est coacervare testimonia doctrinae et apud Platonicos et apud Christianos usque laudatae. sufficit in memoriam reduxisse et Plat Theaet 176 a sqq et Origen in Joh II 2 (= p 55, 1 sqq) et ibid XXXII 27 (= p 472, 29 sqq) scil in explic II Cor 3, 18 sqq   17-18 cf Rom 8, 29   19-20 cf Gen 1, 26

ER^a ΛYS Σ PVT C Syr 1 (τ)ὰ in ras E^2 τοῦ om R^a (add R^{a2})   πομένος C (ins ι C^2)   2 τε καὶ διδασκάλου om Syr   τὸ ποίμνιον ER^av   3 ante καὶ add τε P   4 post τῷ eras 1 litt E   ὁ om VT   5 ἐστὶ coll ante τῆς T   6 μανθάνωμεν C (corr C^2)   τοῦ om T   8 ἐκκαθᾶραι S: ἐκκαθῆραι Y ἐκκαθάραι cett v   παντῶς C (corr C^2)   9 μεταθεῖσαν R^a πρὸς om C (ins εἰς C^2)   τὸ: τὸν PTC (eras ν)   10 ἐνεργεστάτην C (corr C^2)   11 ὥσπερ καὶ ΛYS   11-12 τὴν coll ante ἐπὶ V   12 τι: τὸ C τὴν ER^av   τοῦ ἀρχετύπου ER^av   post ἀρχετύπων add εἶδος C^2 13 διαμεμορφωμένην T   14 ἐπὶ om T   κάλλος om PVC   e τοῦ πρωτοτύπου corr ἐν τῷ πρωτοτύπῳ C^2 λέγω E (sscr ν E^2)   15 ἐνεργῶς C (corr C^2)   16 ὅτι om ST   17 ἀδελφιδοῦς P   19 ante κατ' add τὴν V   20 καὶ μόνου—κάλλους: κάλλους τοῦ ἀληθινοῦ καὶ μόνου v   20 ὡραϊσθεῖσαν VT (add postea ν)

καὶ οἷον ἐπὶ τοῦ κατόπτρου γίνεται, ὅταν τεχνικῶς τε καὶ καταλλήλως τῇ χρείᾳ κατεσκευασμένον ἐν καθαρᾷ τῇ ἐπιφανείᾳ δι' ἀκριβείας ἐν ἑαυτῷ δείξῃ τοῦ ἐμφανέντος προσώπου τὸν χαρακτῆρα, οὕτως ἑαυτὴν ἡ ψυχὴ προσφόρως τῇ χρείᾳ κατασκευάσασα καὶ πᾶσαν ὑλικὴν ἀπορριψαμένη κηλῖδα καθαρὸν τοῦ ἀκηράτου κάλλους ἑαυτῇ τὸ εἶδος
1096 M. ἐνετυπώσατο. λέγει οὖν τὴν φωνὴν ταύτην τὸ προαιρετικόν τε καὶ ἔμψυχον κάτοπτρον ὅτι· ἐπειδὴ ἐγὼ ὅλῳ τῷ κύκλῳ τὸ τοῦ ἀδελφιδοῦ πρόσωπον βλέπω, διὰ τοῦτο ὅλον τῆς ἐκείνου μορφῆς τὸ κάλλος ἐν ἐμοὶ καθορᾶται. ταύτας ἄντικρυς μιμεῖται τὰς φωνὰς ὁ Παῦλος λέγων τῷ θεῷ ζῆν ὁ νεκρὸς τῷ κόσμῳ γενόμενος καὶ ὅτι ζῇ ἐν αὐτῷ ὁ Χριστὸς μόνος· ὁ γὰρ εἰπὼν ὅτι Ἐμοὶ τὸ ζῆν Χριστός, τοῦτο διὰ τοῦ λόγου βοᾷ ὅτι οὐδὲν τῶν ἀνθρωπίνων τε καὶ ὑλικῶν παθημάτων ἐν αὐτῷ ζῇ, οὔτε ἡδονὴ οὔτε λύπη οὔτε θυμὸς οὔτε φόβος οὔτε δειλία οὔτε πτόησις οὔτε τῦφος οὔτε θράσος, οὐ μνησικακία οὐ φθόνος οὐκ ἀμυντική τις διάθεσις οὐ φιλοχρηματία οὐ φιλοδοξία οὐ φιλοτιμία, οὐκ ἄλλο τι τῶν τὴν ψυχὴν διά τινος σχέσεως κηλιδούντων, ἀλλ' ἐκεῖνός μοι μόνος ἐστὶν ὃς οὐδὲν τούτων ἐστίν· πᾶν γὰρ τὸ ἔξω τῆς ἐκείνου φύσεως θεωρούμενον ἀποξυσάμενος οὐδὲν ἔχω ἐν ἐμαυτῷ τοιοῦτον

1-10 cf De beatit VI p 1272 B/C (Migne) 1 cf II Cor 3, 18 5-8 cf Sap Sal 7, 26 11-12 cf Rom 6, 11 12 cf Gal 2, 20 13 Phil 1, 21 20-21 cf supra p 407, 15-408, 14

ER^a ΛYS Σ PVT C Syr Θ(inde a 10 ἄντικρυς) 1 οἷον: ὃ PVC τε om T 2 χροιᾷ P ante ἐν add ᾗ ER^{a}Λ^2(ᾗ ἐν in ras)v add ὂν V 3 ἐν om PVC(ins C^2) δείξει Λ(corr Λ^2) YR^{a}E^2(ex -η ut vid)v ἐπιφανέντος ER^{a}Tv 4 τὸν: τὴν R^a 5 χροιᾷ P 6 ante ἑαυτῇ add ἐν ER^{a}v 7 ἀνετυπώσατο ER^{a}Vv ταύτην coll ante τὴν V 8 ἐγὼ ἐπειδὴ P(corr numeris β et α sscr) τῷ κύκλῳ ἐγὼ ὅλῳ ER^{a}v 12 ζῇ coll post αὐτῷ ER^{a}v 13 ante Χριστός add ὁ PC 15 ἑαυτῷ V ἐμοὶ Syr, conieci ἐμαυτῷ (cf infra 21) ζῇ coll ante ἐν Θ οὔτε alt: οὐ Syr(et sic semper 15/16) 16 δειλία οὔτε coll ante θράσος ΛYSΘΣ θάρσος C οὐ pr: οὔτε PVC οὐ alt: οὔτε P 17-18 οὐ φιλοδοξία om ER^{a}v 18 οὐ φιλοτιμία ΛYSΘΣT Syr: om cett v 19 κηλινδούντων S(eras ν pr)V (eras ν pr)C^2(corr η ex ι) ἐστὶν: φησὶν PVC ζῇ Syr(ἐν ἐμοὶ) ὃς: ὧν T 21 ἐν ἐμ' αὐτῳ ἔχω(sic)V

οἷον ἐν ἐκείνῳ οὐκ ἔστιν. οὗ χάριν Ἐμοὶ τὸ ζῆν Χριστός, ἤ, καθὼς ἡ νύμφη, Ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ὁ ἀδελφιδός μου ἐμοί, ὅς ἐστιν ἁγιασμὸς καὶ καθαρότης καὶ ἀφθαρσία καὶ φῶς καὶ ἀλήθεια καὶ τὰ τοιαῦτα ὅσα. ποιμαίνει τὴν ἐμὴν ψυχὴν οὐκ ἐν χόρτοις τισὶν ἢ φρυγάνοις ἀλλ' ἐν ταῖς λαμπρότησι τῶν ἁγίων· ἡ γὰρ τῶν κρίνων φύσις ἐν τῷ λαμπρῷ τῆς εὐχροίας ταύτην ὑπαινίσσεται ἡμῖν τὴν διάνοιαν. οὐκοῦν διὰ τοῦτο ἐπὶ τοὺς λειμῶνας τῶν κρίνων ἄγει τὸ ἑαυτοῦ ποίμνιον ὁ ἐν τοῖς κρίνοις ποιμαίνων, ἵνα γένηται Ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς· τῷ γὰρ εἴδει τῆς τροφῆς συνδιατίθεται πάντως καὶ τὸ τρεφόμενον. οἷον τί λέγω; ἔστω καθ' ὑπόθεσιν κοῖλόν τι σκεῦος ἐξ ὑέλου πεποιημένον, ἐν ᾧ πᾶν τὸ βαλλόμενον διαφαίνεται οἱονδὴ ἂν ᾖ, εἴτε ἀσβόλη τὸ ἐγκείμενον εἴη εἴτε τι τῶν καθαρωτέρων τε καὶ λαμπροτέρων. οὐκοῦν τὴν λαμπρότητα τῶν κρίνων ταῖς ψυχαῖς ἐντιθεὶς λαμπρὰς δι' αὐτῶν τὰς ψυχὰς ἀπεργάζεται διαφαινομένου τοῦ ἐγκειμένου εἴδους ἐπὶ τὸ ἔξωθεν. ὡς δ' ἂν πρὸς τὸ σαφέστερον ἡμῖν προαχθείη τὸ νοητόν, τοῦτό φαμεν ὅτι τρέφεται μὲν διὰ τῶν ἀρετῶν ἡ ψυχή, κρίνα δὲ κατονομάζει τὰς ἀρετὰς δι' αἰνίγματος,

1 Phil 1, 21 10 Ps 89, 17

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἐν om E(sscr E^2)VC ἐκεῖνο E (corr E^2)V post χάριν add πεποιθότως φημὶ ὅτι Syr ante Χριστός add ὁ P 2 ἡ om ER^{a}P post νύμφη add ὅτι Σ add φησὶν ὅτι Syr ἀδελφιδοῦς P 3 ὅς: ὅ ER^{a}v 4 καὶ φῶς om ΛYT post ἀλήθεια add καὶ ζωὴ Syr πάντα τὰ τοιαῦτα, δι' ὧν ποιμαίνει Syr ὅσα: ὃς ΣPVTC 5 οὐκ ἐν: οὐ ΛY 7 τῆς: τοῖς R^a 8 τούτων V ἄγει om R^a(sscr R^{a1}) 10 ἡμῶν om PC 12 τι alt: τὸ C 13 πεποιημένον om ER^{a}v 13-14 διαφαίνεται—ἐγκείμενον om v 14 οἱονδὴ ἂν scripsi (scil Gregorius locutus est cum crasi οἱονδᾶν, quod, si mavis, et est scribendum): οἷον ἂν V οἷον Θ οἷον δ' ἂν cett ᾖ: εἴη SΘPVT τὸ ἐγκείμενον εἴη om V εἴη: ᾖ C 15 καθαρῶν ER^{a}Tv τε om SΘ τε καὶ λαμπροτέρων om PVC λαμπρῶν v post οὐκοῦν add ὁ PVT 16 ἑαυτῶν ΛYSΘ(eras ἑ)PVC 17-18 διαφαινομένου—ἔξωθεν om Syr 18 ὡς: ὃς YE(? fort, eras et corr E^2) δὲ v πρὸς: ἐπὶ SΘPVC προσαχθείη P 19 τῶν om PV 19-20 τρέφεται—ψυχή om C ἡ ψυχὴ coll ante διὰ ER^{a}v

ὧν ὁ διὰ τῆς ἀγαθῆς πολιτείας ἐμφορηθεὶς ἐπίδηλον ποιεῖ διὰ τοῦ βίου ἑκάστης ἀρετῆς τὸ εἶδος διὰ τοῦ ἤθους ἐπιδεικνύμενος. ἔστω κρίνον καθαρὸν ἡ σωφροσύνη τε καὶ δικαιοσύνη καὶ ἀνδρεία καὶ φρόνησις καὶ Ὅσα φησὶν ὁ ἀπόστολος ἀληθῆ καὶ ὅσα σεμνὰ καὶ ὅσα προσφιλῆ, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος· πάντα γὰρ ταῦτα ἐντὸς τῆς ψυχῆς γενόμενα τῷ καθαρῷ διαδείκνυται βίῳ, καλλωπίζοντά τε τὸν περιέχοντα καὶ αὐτὰ διὰ τοῦ εἰσδεξαμένου καλλωπιζόμενα.

Ἡ τοίνυν ἀναθεῖσα ἑαυτὴν τῷ ἀδελφιδῷ καὶ δεξαμένη τοῦ ἀγαπηθέντος τὸ κάλλος ἐν τῇ ἰδίᾳ μορφῇ οἵων ἀξιοῦται παρὰ τοῦ τοὺς δοξάζοντας αὐτὸν δοξάζοντος, ἀκούσωμεν διὰ τῆς προσκειμένης τοῖς εἰρημένοις ἀκολουθίας· φησὶ γὰρ πρὸς τὴν νύμφην ὁ λόγος· Καλὴ εἶ, ἡ πλησίον μου, ὡς εὐδοκία, ὡραία ὡς Ἰερουσαλήμ, θάμβος ὡς τεταγμέναι.
1097 M. ὅτι μὲν οὖν ἡ δόξα παρὰ τῆς οὐρανίου στρατιᾶς ἀναπέμπεται τῷ ἐν ὑψίστοις θεῷ ὑπὲρ τῆς ἐν ἀνθρώποις εὐδοκίας ἐν ταῖς ἀκοαῖς τῶν ποιμένων, ὅτε εἶδον γεννηθεῖσαν ἐπὶ γῆς τὴν

4-6 Phil 4, 8 12 cf I Reg 2, 30 14-15 Cant 6, 4 16-p 443, 1 cf Luc 2, 13/14

ER^a ΛYSΘ Σ PVT C Syr 1 διὰ om V post ἐπίδηλον add ἑαυτὸν $R^a$$E^2$(sscr)v 2-3 ἐπιδεικνύμενον P 3 ἔστω: ἐν τῷ VC (add τὸ ante ἐν C^2) ἐν ἑαυτῷ P post ἔστω add σοὶ ER^av κρίνω C^2(e κρίνον) κρίνῳ τὸ V et post καθαρὸν ins οἷον et quater nominativum corr in accus C^2 τε om PT καὶ δικαιοσύνη coll post 4 φρόνησις T ante δικαιοσύνη add ἡ SΘVΛ^2(sscr) 4 post καὶ pr add ἡ ΘV ἀνδρία E^2(ex -ει- ut vid)R^aSΘΣv ante φρόνησις add ἡ Θ ὁ om v 5 καὶ pr om ER^av καὶ alt SΘΣC: om cett v ὅσα προσφιλῆ coll post 6 ἁγνά(scil sec Phil 4, 8) ΛYSΘΣ post προσφιλῆ add καὶ T post δίκαια add καὶ SΘ 6 ἁγνά: ἅγια v post ἁγνὰ add καὶ ΘP post εὔφημα add καὶ P εἴ pr: ἡ VT^2(sscr super εἴ) 6-7 ταῦτα γὰρ πάντα ER^av 7 τῇ ψυχῇ R^a 8 τε om ΛY 10 post καὶ add ἡ T 11 ἐν om E(sscr E^2) οἷον P 12 δοξάζοντας αὐτὸν om v ἀντιδοξάζοντος P 13 προσκειμένης C^2(sscr σ), cf ex. gr. p 446, 11: προκειμένης cett v εἰρημένοις: ῥήμασιν ER^av 14 εἶ ἡ ER^aTv: εἶ SΘV ἡ ΛYΣPC 15 ὡς alt om T τεταγμένη T 16 στρατηγίας Σ ἀνεπέμπετο V 17 θεῷ om E(ins E^2) τῆς: τοῖς P(sed corr) εὐδοκία P 18 ποιμαίνων Θ εἶδεν Y γεννηθεῖ(sic) R^a γενηθεῖσαν v om V

εἰρήνην, καὶ ὅτι πόλις τοῦ μεγάλου βασιλέως ἡ Ἰερουσαλὴμ παρὰ τοῦ δεσπότου πάσης κτίσεως ὀνομάζεται, παντὶ δῆλον ἂν εἴη τῷ τοῖς εὐαγγελικοῖς καθομιλήσαντι λόγοις, ὡς διὰ τούτων μὴ ἀγνοῆσαι, ποῖον μαρτυρεῖ τῇ νύμφῃ κάλλος ὁ λόγος διὰ τῆς πρὸς τὴν Ἰερουσαλὴμ καὶ πρὸς τὴν εὐδοκίαν συγκρίσεως. δῆλον γὰρ ὅτι τοῦτο περὶ αὐτῆς ὁ λόγος ἐνδείκνυται τὸ διὰ τῆς κατορθουμένης ἀνόδου μέχρις ἐκείνου τὴν ψυχὴν ὑψωθῆναι, ὡς πρὸς τὰ τοῦ δεσπότου θαύματα ἑαυτὴν ἐπεκτεῖναι· εἰ γὰρ ὁ ἐν ὑψίστοις θεός, Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, ὑπὲρ τῆς ἐν ἀνθρώποις εὐδοκίας αἵματι καὶ σαρκὶ κατακίρναται, ἵνα γεννηθῇ ἐπὶ τῆς γῆς εἰρήνη, δῆλον ὅτι ἡ πρὸς ταύτην τὴν εὐδοκίαν τὸ ἑαυτῆς ὁμοιώσασα κάλλος τὸν Χριστὸν μιμεῖται τοῖς κατορθώμασιν, ἐκεῖνο γινομένη τοῖς ἄλλοις ὅπερ ὁ Χριστὸς τῇ φύσει τῶν ἀνθρώπων ἐγένετο· καθάπερ καὶ ὁ μιμητὴς τοῦ Χριστοῦ Παῦλος ἐποίει ἑαυτὸν τῆς ζωῆς ἀφορίζων, ἵνα τοῦ ἰδίου πάθους τὴν σωτηρίαν τῷ Ἰσραὴλ ἀνταλλάξηται, λέγων· Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα. πρὸς ὃν εἰκότως εἰπεῖν ἁρμόζει τὸ εἰρημένον τῇ νύμφῃ ὅτι·

1-2 cf Matth 5, 35 10 Joh 1, 18 12-14 cf Ambros De Isaac 7, 57 (= p 681, 2) = Origen Comm: '. . bene placita nominatur quasi ei complacita qui conplacuit patri'. 18-19 Rom 9, 3

ER^a ΛYSΘ Σ PVT C Syr 1 ἡ ΣPVTC: om cett v 2 post πάσης add τῆς ΣPVTC κατονομάζεται V παντὶ: πᾶσι P 3 λογίοις V 4 post τούτων eras 14 fere litt Θ ποῖον: πόσον ΛYSΘΣ 5 κάλλος coll post λόγος ER^av 5-6 πρὸς τὴν om V 6 τοῦ(το) sscr E^2 7 τὸ om ER^av 9 ὁ om PC(sscr C^2) 10 ὁ om ER^av 11 εὐδοκίας coll ante 10 ἐν alt ER^av κατακίρναται ER^aC: κατακιρνᾶται cett v γενηθῇ E(corr E^2)ΛYVv 12 εἰρήνη(scil nomen praedicativum) ER^aΣTv: ἡ εἰρήνη PVC ἡ εἰρήνη ἡμῶν ΛYSΘ ἡ ΛYSΘΣT Syr: om cett v 14 γενομένη T 15 καὶ om T τοῦ om ΣPVTC 17 τῷ ἰδίῳ πάθει ER^av post πάθει eras 2 litt E τὴν om V τῷ: τοῦ ER^aΣv 18 εὐχόμην ER^aSv post ηὐχόμην add γὰρ ἐγὼ (scil de Rom 9, 3)P τοῦ om ΘV 19 μου pr om V μου alt om ER^aPC ante κατὰ add τῶν V post σάρκα add οἵτινές εἰσιν Ἰσραηλῖται (scil de Rom 9, 4) Syr 20 εἰπεῖν coll ante εἰκότως S post ἁρμόζειν(sic)V ante ὅτι ER^av τῇ νύμφῃ coll ante τὸ ER^av

τοιοῦτόν ἐστι τῆς ψυχῆς σου τὸ κάλλος, οἵα ἡ τοῦ δεσπότου γέγονεν ὑπὲρ ἡμῶν εὐδοκία, ὃς Ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, καὶ ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ Δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς ἐν τῷ θανάτῳ αὐτοῦ ζήσωμεν καὶ ἐν τῇ πτωχείᾳ αὐτοῦ πλουτήσωμεν καὶ ἐν τῇ τῆς δουλείας αὐτοῦ μορφῇ βασιλεύσωμεν. τὸ δὲ αὐτὸ μέγεθος καὶ ἡ πρὸς Ἰερουσαλὴμ ὡραιότητος ὁμοιότης ἐνδείκνυται, τὴν ἄνω δηλαδὴ Ἰερουσαλήμ, τὴν ἐλευθέραν, τὴν τῶν ἐλευθέρων μητέρα, ἣν πόλιν τοῦ μεγάλου βασιλέως εἶναι παρὰ τῆς τοῦ δεσπότου φωνῆς μεμαθήκαμεν· ἡ γὰρ χωρήσασα ἐν ἑαυτῇ τὸν ἀχώρητον, ὥστε ἐνοικεῖν αὐτῇ καὶ ἐμπεριπατεῖν τὸν θεόν, τῇ ὡραιότητι τοῦ ἐν αὐτῇ κατοικοῦντος καλλωπισθεῖσα Ἰερουσαλὴμ ἐπουράνιος γίνεται τὸ ἐκείνης κάλλος ἐφ' ἑαυτῆς δεξαμένη. κάλλος δὲ τῆς πόλεως τοῦ βασιλέως καὶ ὡραιότης, αὐτοῦ πάντως ἐστὶ τοῦ βασιλέως τὸ κάλλος· ἐκείνου γάρ ἐστι κατὰ τὸν λόγον τῆς ψαλμῳδίας ἡ ὡραιότης καὶ τὸ κάλλος, πρὸς ὃν ἡ προφητεία φησὶ Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· τούτοις γὰρ τὸ θεῖον κάλλος χαρακτηρίζεται, τῇ ἀληθείᾳ λέγω καὶ τῇ δικαιοσύνῃ καὶ τῇ

2-3 Phil 2, 7 4-6 cf II Cor 8, 9 7 βασιλεύσωμεν: cf Rom 5, 17 8-9 cf Gal 4, 26 9-10 cf Matth 5, 35 12 cf II Cor 6, 16 13-14 cf Hebr 12, 22 18-20 Ps 44, 4/5

ER^{a} ΛYSΘ Σ PVT C Syr 1 ἡ om R^{a} (sscr R^{a1}) post δεσπότου add σου Syr 5 ἐν pr om ΛYSΘ 5-6 ἐν alt—καὶ om T coll ante ἐν τῷ θανάτῳ Syr 6 αὐτοῦ pr scr in ras ut vid Λ^{1}(vel Λ^{2}) om ER^{a}v 7 συμβασιλεύσωμεν V αὐτὸ E(corr αὐτοῦ E^{2})ΘPVTC Syr: αὐτοῦ R^{a}Σ αὐτῆς ΛYSv μέγεθος om Syr, fort recte πρὸς correxi: τῆς codd v Syr(ut vid) 8 ὡραιότητος ὁμοιότης ER^{a}T: ὡραιότης ὡραιότης Θ(alt exp) ὡραιότης ὁμοίως v Syr(ut vid) ὡραιότης cett 9 ἣν: τὴν V 10 εἶναι: εἶ R^{a} τοῦ alt om v 11 ἑαυτῇ: αὐτῇ Tv 12 post ἐνοικεῖν add ἐν ΛYSΘPVC 13 αὐτῷ V 14 ἐκείνης ER^{a}PVCv Syr: ἐκείνου cett 15 post τοῦ add μεγάλου ΛYSΘT post καὶ add ἡ ER^{a}ΣPVTC(eras) αὐτοῦ R^{a} Syr: αὐτῆς T αὐτὸ cett v 16 ἐκείνου correxi: ἐκεῖνος codd v Syr 18 προφήτης P 19 ἔντειναι ST ἔντεινε ΘV εὔθυνον v 20 κάλλος ΣPVTC Syr: om cett v 21 καὶ pr om T

πραότητι. ἡ τοίνυν ἐν τοῖς τοιούτοις κάλλεσι μορφωθεῖσα ψυχὴ ὡραία γίνεται ὡς Ἰερουσαλὴμ τῇ τοῦ βασιλέως ὥρᾳ καλλωπισθεῖσα.

Ἀλλὰ ταῦτα μὲν πρόδηλον ἔχει τοῦ τῆς νύμφης κάλλους τὸν ἔπαινον τῇ πρὸς τὴν εὐδοκίαν τε καὶ τὴν Ἰερουσαλὴμ
1100 M. συγκρίσει πληρούμενον, τὸν δὲ ἐφεξῆς λόγον ἐγκώμιον μὲν εἶναι τῆς νύμφης οὐκ ἀμφιβάλλομεν, τὴν δὲ διάνοιαν, καθ' ἣν τῷ τοιούτῳ ἐπαίνῳ σεμνύνεται ἡ τῆς εὐφημίας ταύτης ἀξιωθεῖσα, οὐκ ἔστιν ἐκ τοῦ προχείρου μαθεῖν. ἔχει γὰρ ἡ λέξις οὕτως· Θάμβος ὡς τεταγμέναι. τάχα δ' ἄν τις τοῖς προθεωρηθεῖσιν ἑπόμενος εἴποι διὰ τῆς πρὸς τὴν ὑπερκόσμιον φύσιν συγκρίσεως μεγαλύνεσθαι ὑπὸ τοῦ λόγου διὰ τῶν ἐπαίνων τὴν νύμφην· ἐκεῖ γάρ εἰσιν αἱ τεταγμέναι [δυνάμεις] ὅπου αἱ μὲν ἐξουσίαι διὰ παντὸς ἐν τῷ κυριεύειν εἰσί, κρατοῦσι δὲ διόλου αἱ κυριότητες, βεβήκασι δὲ παγίως οἱ θρόνοι, ἀδούλωτοι δὲ μένουσιν αἱ ἀρχαί, εὐλογοῦσι δὲ ἀδιαλείπτως τὸν θεὸν αἱ δυνάμεις, ἥ τε πτῆσις τῶν Σεραφὶμ οὐχ ἵσταται καὶ ἡ στάσις οὐ μεταβαίνει καὶ τὰ Χερουβὶμ ἀνέχοντα τὸν ὑψηλόν τε καὶ ἐπηρμένον θρόνον οὐκ ἀπολήγει, οἵ τε λειτουργοὶ ποιοῦντες τὸ ἔργον

14-17 quoad caelestes potestates cf Col 1, 16; Eph 1, 21; Rom 8, 38. quibus locis usus docuit Origen 'De rationabilibus naturis' (De princ I 5, cf p 69, 9-20 et 71, 21-72, 6; cf et II 8 = p 159, 4-14). Gregorium secutus esse videtur Dionysius ille, qui dicitur Areopagita (cf Cael Hierarch VI). nota bene Origenem Seraphin valde diverse explicasse (cf De princ I 3, 4 = p 53, 1 sqq et IV 3, 14 = p 346, 11 sqq). 17 et 20-446, 1 cf Ps 102, 20-22 18 cf Isai 6, 2 19-20 cf Ezech 10, 15 et passim

ER^{a} ΛYSΘ Σ PVT C Syr 1 πραΰτητι SΘT ἐν om ΛYSΘ τοιούτοις om PVC 2 ψυχή: νύμφη Syr 8 τῷ—ἐπαίνῳ: οὕτω PVC 10 γὰρ: δὲ P post ὡς add δυνάμεις v 13 ἐκεῖ correxi: ἐκεῖναι codd v Syr 14 δυνάμεις delevi. in enumerandis substantiis τῆς ὑπερκοσμίου φύσεως (cf lin 12) non nisi infra lin 17 de 'potestatibus' (αἱ δυνάμεις) mentionem infert. 16 παγίως: πλαγίως Λ(corr Λ^{2})Y πάντως PVC 17 δὲ om ΛY ἀδιαλήπτως E(corr E^{2})R^{a}C(corr C^{2}) τὸν θεὸν coll post δὲ ER^{a}Σv 17-18 αἵ τε πτήσεις PVC 18 σεραφεὶμ E(corr E^{2})ΣC ἵστανται PVC 19 χερουβεὶμ E(corr E^{2})C τε om VT

καὶ ἀκούοντες τῶν λόγων οὐ παύονται. ἐπὶ οὖν αἱ ἐξουσίαι αὗται ὑπὸ τοῦ θεοῦ τεταγμέναι εἰσὶ καὶ ἡ τάξις τῶν νοητῶν καὶ ὑπερκοσμίων δυνάμεων ἀσύγχυτος εἰς τὸ διηνεκὲς μένει μηδεμιᾶς κακίας ἀνατρεπούσης τὴν εὐταξίαν, διὰ τοῦτο καὶ ἡ πρὸς μίμησιν ἐκείνων [ψυχὴ] πάντα κατὰ τάξιν καὶ εὐσχημόνως ποιοῦσα τοιοῦτον ἐφ᾽ ἑαυτῆς κινεῖ τὸ θαῦμα οἷον ἐν ταῖς δυνάμεσιν ἐκείναις ταῖς τεταγμέναις ἐστίν· ἔκπληξιν γὰρ ἡ τοῦ θάμβους ἑρμηνεύει διάνοια, διὰ δὲ τῆς ἐκπλήξεως τὸ θαῦμα νοοῦντες τῆς ἀληθείας οὐχ ἁμαρτάνομεν.

Ἡ δὲ τούτοις ἐκ τοῦ ἀκολούθου προσκειμένη ῥῆσις ἀμφίβολα ποιεῖ τὰ πρόσωπα, παρ᾽ οὗ τε εἴρηται καὶ πρὸς ὃν εἶπε τὸ Ἀπόστρεψον τοὺς ὀφθαλμούς σου ἀπεναντίον ἐμοῦ, ὅτι αὐτοὶ ἀνεπτέρωσάν με· τοῖς μὲν γὰρ δοκεῖ παρὰ τοῦ δεσπότου πρὸς τὴν καθαρὰν εἰρῆσθαι ταῦτα ψυχήν, ἐγὼ δὲ τῇ νύμφῃ πρέπειν ὑπονοῶ μᾶλλον τὸ ῥητὸν ἐφαρμόζεσθαι.

1-4 ordo perpetuus caelestium potestatum valde differt a doctrina illa Origenis de transitione mentium ad animas. Gregorius consentit doctrinae ecclesiae, cf ex. gr. Method De resurr I 49, 4 (= p 303, 8 sqq): χρὴ γὰρ ἐν τῷ ἰδίῳ τῆς ἕξεως αὐτοῦ τύπῳ τῶν γενητῶν ἕκαστον μένειν, ἵνα πάντα πάντων ὦσι πεπληρωμένα, οὐρανοὶ μὲν ἀγγέλων, θρόνοι δὲ ἐξουσιῶν, φῶτα δὲ λειτουργῶν, καὶ οἱ θειότεροι τόποι καὶ τὰ ἀκράτητα καὶ ἀκραιφνῆ φῶτα τῶν Σεραφίμ, ···, ὁ δὲ κόσμος ἀνθρώπων. ἐὰν δὲ μεταβάλλεσθαι δῶμεν τοὺς ἀνθρώπους εἰς ἀγγέλους κ.τ.λ. consentit et doctrina ipsius, ut videtur, Ammonii Saccae (cf excerpta ex Hieroclis Περὶ προνοίας apud Phot Biblioth cod 214 et 251, praecipue p 462 a Bekker). differt et Plotinus et qui eum sequuntur. 13-14 Cant 6, 5 14-15 scil Origeni, cf Ambros De Isaac 7, 57 (= p 681, 8 sqq) = Origen Comm: 'ideoque quasi perfectae dicit' (scil sponsus): 'averte oculos etc.'

ER^a ΛYSΘ Σ PVT C Syr 1 τὸν λόγον R^aVT om C 2 τοῦ om C post νοητῶν add τε ΛYSΘ 3 εἰς τὸ διηνεκὲς om V 5 et αἱ et ψυχαὶ PVC ψυχὴ delevi 6 ποιοῦσαι et ἑαυτῶν κινοῦσι PVC τοῦτο P(sscr τοιοῦτον)VC(corr C²) 8 ἔκπληξις et ἑρμηνεύεται ER^av Syr διάνοια: φωνή Syr 9 τῆς ἀληθείας om T 11 προκειμένη ER^aTv 13 τὸ YPVTC: ὅτι ER^aΛv om S(sed corr (εἶπ)εν in ras)ΘΣ 14 ἐμοῦ: μου ΛYSΘΣT LXX 15 δεσπότου: νυμφίου Syr ταῦτα om VT ψυχήν: νύμφην Syr 16 post τῇ eras 1 litt Σ

ταύτῃ γὰρ κατάλληλον εὑρίσκω τὴν τῶν σημαινομένων ὑπὸ τοῦ λόγου διάνοιαν. τὰ δέ μοι παραστάντα δι᾽ ὀλίγων ἐκθήσομαι· ἤκουσα πολλαχῇ τῆς θεοπνεύστου γραφῆς πτέρυγας εἶναι τῷ θεῷ διηγουμένης, νῦν μὲν τῆς προφητείας λεγούσης ὅτι Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, καὶ ὅτι Ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς, πάλιν δὲ τοῦ Μωϋσέως ἐν τῇ μεγάλῃ ᾠδῇ τὸ αὐτὸ ὑπογράφοντος ἐν οἷς φησιν ὅτι Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς. καὶ τὸ παρὰ τοῦ κυρίου πρὸς τὴν Ἰερουσαλὴμ εἰρημένον, ὅτι Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις συνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας αὐτῆς, οὐκ ἔξω τοῦ προκειμένου νοήματος εἴποι τις ἂν εἶναι πρὸς τὸ ἀκόλουθον βλέπων. εἰ τοίνυν κατά τινα λόγον ἀπόρρητον πτέρυγας εἶναι περὶ τὴν θείαν φύσιν ὁ θεόπνευστος διορίζεται λόγος, ἡ δὲ πρώτη τοῦ ἀνθρώπου Κατασκευὴ τὸ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν θεοῦ γεγενῆσθαι τὴν φύσιν ἡμῶν μαρτύρεται,

5 Ps 16, 8 6 Ps 90, 4 8 Deut 32, 11 10-11 Matth 23, 37. nota bene textum Tatiani praebuisse: '... quemadmodum gallina congregat pullos suos sub alas s u a s. .' (cf versio Arabica, ed Ciasca, cap XLI), at cf interpretatio Rufini Origen Hom in Lev VIII 10 (p 409, 16 Baehrens) 15-16 cf Gen 1, 26

ER^a ΛYSΘ Σ PVT C Syr 1 ταύτης YΛ(eras ς)SΘ εὑρίκων Θ 2 τὰ δέ μοι om Θ δ᾽ ἐμοὶ V 3 πολλαχοῦ ER^av 4 πτέρυγες PC(corr C²) τῷ om ER^a 5 post λεγούσης add ἐκ προσώπου τοῦ θεοῦ V ὅτι om SΘ ante σκέπῃ add τῇ P σκεπάσῃς VC(corr C²) σκεπασθήσομαι T(om με) 7 μωυσέος YST μωσέως V τὸ αὐτὸ: τοῦτο ER^av 8 ὅτι om V 10 ἐπισυνάξαι (scil sec Luc 13, 34) PVC 11 ἐπισυνάγει Matth 23, 37 post νοσσία add αὐτῆς (scil de Matth 23, 37) SΘ αὐτῆς: ἑαυτῆς T om Matth Luc 12 ante οὐκ add ἃ E²R^av add ὅθ(εν?)τὸ ῥηθ(ὲν?)C² εἴποι: ἐποίει C(corr C²) 15 ἡ πρώτη τοῦ ἀνθρώπου Κατασκευή intellege sensu 'narrationis de hominis opificio primae' (id est Gen 1, 26/27), cf ex. gr. Homin opific p 125 C(Migne): τῆς Ἑξαημέρου (= 'narratio operum quae deus sex diebus absolvit'). τὸ om ER^av 16 θεοῦ coll ante καὶ R^a γενέσθαι Y 16-448, 1 μαρτύρεται, ὁρίζεται scripsi sequens Syr ('testatur, determinatur', sed, si mavis, poteris alteram vocem Syriacam non minus recte interpretari: 'cognoscitur' vel etiam 'manifestum est'): ὁρίζεται Σ(in marg adnot γρ μαρτύρεται Σ²) μαρτύρεται cett v

ὁρίζεται πάντως ὅτι διὰ πάντων εἶχεν ὁ κατ' εἰκόνα γενόμενος τὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα. ἀλλὰ μὴν ἐπτέρωται
1101 M. κατὰ τὴν ἁγίαν γραφὴν τὸ πρωτότυπον. οὐκοῦν πτερόεσσα καὶ ἡ τοῦ ἀνθρώπου κατεσκευάσθη φύσις, ὡς ἂν καὶ ἐν ταῖς πτέρυξιν ἔχοι πρὸς τὸ θεῖον ὁμοίως. δῆλον δὲ ὅτι τὸ τῶν πτερύγων ὄνομα διά τινος τροπικῆς θεωρίας εἴς τι θεοπρεπὲς μεταληφθήσεται νόημα, δυνάμεώς τε καὶ μακαριότητος καὶ ἀφθαρσίας καὶ τῶν τοιούτων διὰ τοῦ ὀνόματος τῶν πτερύγων σημαινομένων. ἐπεὶ οὖν ταῦτα καὶ περὶ τὸν ἄνθρωπον ἦν, ἕως ὅτε τῷ θεῷ διὰ πάντων ὅμοιος ἦν, μετὰ ταῦτα δὲ ἡ πρὸς τὴν κακίαν ῥοπὴ τῶν τοιούτων πτερύγων ἡμᾶς ἀπεσύλησεν (ἔξω γὰρ τῆς σκέπης τῶν τοῦ θεοῦ πτερύγων γενόμενοι καὶ τῶν ἰδίων πτερύγων ἐγυμνώθημεν), διὰ τοῦτο ἐπεφάνη ἡ τοῦ θεοῦ χάρις φωτίζουσα ἡμᾶς, ἵνα ἀποθέμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας πάλιν δι' ὁσιότητός τε καὶ δικαιοσύνης πτεροφυήσωμεν. οὐκοῦν εἰ ταῦτα τῆς ἀληθείας οὐκ ἀπεσχοίνισται, πρέπει παρὰ τῆς νύμφης ὁμολογεῖσθαι τὴν ἐπ' αὐτῆς γεγενημένην παρὰ

3-12 Gregorium cum e Platone (cf Phaedr 246 sqq) tum ex Origene (cf De princ I 8, 4 = p 102, 12-103, 16) hausisse manifestum est, sed fontem explicationis non fuisse Origen Comm ab Ambrosio demonstratur (cf supra 446, 14-15 et adnotat). testimonia biblica ad usum suum adaptata ipse Gregorius collegisse videtur, in interpretatione ecclesiastica μύθου Platonici secutus est Methodium (cf Conv VIII, 1 = p 80, 22-84, 26) 14-16 cf Tit 2, 11/12

ER^{a} ΛYSΘ Σ PVT C Syr 1 πάντως: πάντων Θ ὁ ΣPVC: om cett v 2 ὁμοιότητα: ὡραιότητα V ἐπτέρωτο PVC 3 post οὐκοῦν add εἰ ΛY 4 καὶ pr om C 5 ἔχῃ SΘV ἔχει C(corr C^{2}) ante πρὸς add τῆς SΘ πρὸς om ER^{a}v τὸν θεὸν S ὁμοίως ΛYΣT: ὁμοίωσιν PVC Syr(ut vid) ὁμοιώσεως SΘ ὁμοίωμα ER^{a}v τῶν om v 6 τινος: τῆς T 7 post μακαριότητος add καὶ πνευματικῆς φύσεως ('spiritualitatis') καὶ ταχυτῆτος Syr 9 σημαινομένων(scil particip passivum) TC^{2}(-ων corr ex -ου): σημαινομένου cett v 9-10 τῶν ἀνθρώπων R^{a}V 10 ὁμοίως P 12 τῶν om v 13 ἀπεγυμνώθημεν PVC 14 ἡ τοῦ θεοῦ χάρις ER^{a}v: ἡ χ. τοῦ θ. (scil sec Tit 2, 11) PVC τοῦ θ. ἡ χ. cett ἡμᾶς om P 18 ὡμολογῆσθαι P(ῆ corr ex εῖ) αὐτοῖς T γενομένην ER^{a}PVCv

τῶν θείων ὀφθαλμῶν χάριν· ὁμοῦ τε γὰρ ἐπεῖδεν ἡμᾶς τοῖς τῆς φιλανθρωπίας ὀφθαλμοῖς ὁ θεὸς καὶ ἡμεῖς κατὰ τὴν ἀρχαίαν χάριν ἀνεπτερώθημεν. ταὐτὰ οὖν οἶμαι διὰ τῶν εἰρημένων τὸν λόγον ἐνδείκνυσθαι, ἃ προσευχόμενος ὁ Δαβὶδ ἐν ἑξκαιδεκάτῃ ψαλμῳδίᾳ φησὶ πρὸς τὸν κύριον ὅτι Οἱ ὀφθαλμοί σου ἰδέτωσαν εὐθύτητας, τὰς ἐμὰς δηλονότι· Ἐδοκίμασας γάρ, φησί, τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός, ἐπύρωσάς με καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. ἴσον οὖν ἐστιν εἰπεῖν ὅτι Οἱ ὀφθαλμοί σου ἰδέτωσαν εὐθύτητας, καὶ ὅτι οἱ ὀφθαλμοί σου τὸ ἐναντίον μὴ θεασάσθωσαν· ὁ γὰρ τὸ εὐθὲς ἰδὼν σκολιὸν οὐκ εἶδε καὶ ὁ σκολιὸν μὴ ἰδὼν τὸ εὐθὲς πάντως τεθέαται. οὐκοῦν διὰ τῆς τοῦ ἐναντίου ὑπεξαιρέσεως τὸ ἀγαθὸν τοῖς θείοις ὀφθαλμοῖς ὑποδείκνυσι, δι' ὧν ἀναπτεροῦται πάλιν ἡ ψυχή, ἡ διὰ τῆς παρακοῆς τῶν πρωτοπλάστων πτερορρυήσασα. τοῦτο τοίνυν διὰ τῶν εἰρημένων κατενοήσαμεν ὅτι· οἱ ὀφθαλμοί σου, ὅταν ἐπ' ἐμὲ ἐπιβλέπωσιν, ἀποστρέφονται ἀπὸ τοῦ ἐναντίου· οὐ γὰρ ὄψονταί τι ἐν ἐμοὶ τῶν ἐναντιουμένων μοι. διὰ τοῦτο γίνεταί μοι ἀπὸ τῶν ὀφθαλμῶν σου τὸ πάλιν πτερωθῆναι καὶ ἀναλαβεῖν διὰ τῶν ἀρετῶν τὰς πτέρυγας τῆς ὡσπερεὶ περιστερᾶς, δι' ἧς γίνεταί μοι ἡ τῆς

6-8 Ps 16, 2-3 20-450, 1 cf Ps 54, 7

ER^{a} ΛYSΘ Σ PVT C Syr 1 γὰρ om P 3 ταὐτὰ scripsi: ταῦτα codd v Syr 4 τὸν λόγον om SΘ 5 ἑξκαιδεκάτῃ ER^{a}ΣC: ἑξκαιδεκάτῳ VT ἑξεκαιδεκάτῃ Sv ἑκκαιδεκάτῃ ΛYΘP ψαλμῷ T τὸν om T(sed sscr)v κύριον: θεὸν PVC Syr 6 ὅτι om V σου: μου (scil sec Ps 16, 2)C(corr C^{2}) 7 φησὶν coll post μου ER^{a}v post νυκτὸς add καὶ ΛYSΣ 8 ηὑρέθη Σ 9 σου: μου C(corr C^{2}) ὅτι alt om T 10 σου: μου C(corr C^{2}) θεάσθωσαν ΣΘ(sscr σά) 11 ante σκολιὸν pr add τὸ Θ οὐχ C(corr C^{2}) 11-12 πάντως coll ante τὸ SΘ coll post τεθέαται ΛY 12 post διά add τε P ὑφεξαιρέσεως YΛ(corr Λ^{2}) 13 ἐπιδείκνυσι ER^{a}v 14 ἀκοῆς V τῶν πρωτοπλάστων om Syr 16 ὅτι: ὅτε v ὅταν om v ἐπ' om ΛYVTC(sscr C^{2}) ἐπιβλέπουσιν Λ(corr Λ^{2})YΣC(corr C^{2})v 17 ἔψονται C(corr C^{2}) τι om ΛYSΘ 17-18 τῶν—μοι pr om PVC 18 μοι pr: ἐμοί Λ(corr Λ^{2})YΣ οὐδέν SΘ om T 19 super πτερωθῆναι sscr με C^{2} τὰς om V 20 τῆς pr—περιστερᾶς om V Syr τῆς pr: αὐτῆς T ὡσπερεὶ correxi: om R^{a}v ὡς cett(eras E) Ps 54, 7 LXX(cod Sin) ὡσεὶ LXX(codd cett). nota bene articulum τῆς deesse Ps 54, 7 δι' ἧς: δι' ὧν V καὶ Syr 20-450, 1 ἡ coll post πτήσεως v

πτήσεως δύναμις, ὥστε πετασθῆναι καὶ καταπαῦσαι, ἐκείνην δηλαδὴ τὴν κατάπαυσιν ἣν κατέπαυσεν ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ.

Πάλιν δὲ μετὰ τὰς φωνὰς ταύτας ἡ τοῦ κάλλους τῆς νύμφης ὑπογραφὴ διαδέχεται τῶν εἰς τὴν ὥραν αὐτῆς συντελούντων ἕκαστον διά τινος προσφυοῦς ὁμοιώσεως τοῦ λόγου σεμνύνοντος· ἐπαινεῖται γὰρ αὐτῆς τῶν τε τριχῶν τὸ κάλλος καὶ τῶν ὀδόντων ἡ θέσις καὶ τὸ ἐπὶ τοῦ χείλους ἄνθος καὶ τὸ ἡδὺ τῆς φωνῆς τῆς τε παρειᾶς τὸ ἐρύθημα. ὁ δὲ περὶ ἑκάστου τῶν εἰρημένων ἔπαινος διά τινος καταλλήλου συγκρίσεώς τε καὶ παραθέσεως πληροῦται τῇ νύμφῃ. αἱ μὲν γὰρ τρίχες ἀγέλαις αἰγῶν ταῖς ἀναφανείσαις ἀπὸ τοῦ Γαλαὰδ ὡμοιώθησαν, αἱ δὲ τῶν κεκαρμένων ἀγέλαι αἱ διδύμοις τόκοις ἐπαγαλλόμεναι τὸ τῶν ὀδόντων ἐγκώμιον πληροῦσι διὰ τῆς ὁμοιώσεως, σπαρτίῳ δὲ κοκκο-
1104 M. βαφεῖ τὸ χεῖλος εἰκάζεται καὶ τῷ λεπύρῳ τῆς ῥόας ἡ παρειὰ καλλωπίζεται. ἔχει δὲ ἡ λέξις οὕτω· Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλαάδ, ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς, ὡς σπαρτίον κόκκινον χείλη σου καὶ ἡ λαλιά σου ὡραία, ὡς λέπυρον ῥόας μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου. ὧν ἁπάντων ἐν τοῖς φθάσασιν ἱκανῶς ἐξητασμένων περιττὸν ἂν εἴη διὰ τῆς τῶν αὐτῶν θεωρημάτων παλιλλογίας ὄχλον

2-3 cf Gen 2, 2; quoad interpretat allegor cf Origen Contra Celsum VI 61 (= Vol II Koetschau, p 131, 17-23); cf Philo Leg Alleg I § 5 et 16 17-22 Cant 6, 5-7 23 cf supra p 219, 20-231, 4

ER^{a} ΛYSΘ Σ PVT C Syr 1-2 καὶ—δηλαδὴ: πρὸς Syr 4 μετὰ om P, elegantia vincit Gregorium καλοῦ ΛY 5 αὐτοῦ v 7 τε om VT 9 τῆς τε: καὶ τῆς VT 11 τε om Y 14 αἱ (cf infra 20) YΣVC: om cett v διδύμους τόκους T τόκοις: τόποις P ἐφαλλόμεναι Θ ἐπαγγελλόμεναι PVC (corr C^{2}) 15 παρτίῳ P 15-16 κοκκινοβαφεῖ T 16 καὶ om T ῥοᾶς S ῥοιᾶς Θ 17 ὡς om v 20 ἀτεκνοῦσαι Y 21 παρτίον P 22 ῥοᾶς YS 23 ἐξισταμένων V

ἐπεισάγειν τῷ λόγῳ. εἰ δέ τις καὶ νῦν τὸν περὶ τῶν αὐτῶν λόγον ἐπιζητοίη γενέσθαι διὰ τοὺς ἀνηκόους τῶν πρώην εἰς τὰ ῥητὰ ταῦτα θεωρηθέντων, δι' ὀλίγων τὴν διάνοιαν τῶν αἰνιγμάτων ἐπιδραμούμεθα· αἱ τρίχες τοῦ σώματος ἰδιάζουσαν ἔχουσι παρὰ τὸ λοιπὸν σῶμα τὴν φύσιν· παντὸς γὰρ τοῦ σώματος αἰσθητικῇ δυνάμει διοικουμένου, ἧς ἄνευ ἐν τῷ ζῆν εἶναι φύσιν οὐκ ἔχει (ζωὴ γὰρ τοῦ σώματός ἐστιν ἡ αἴσθησις), μόνας ὁρῶμεν τὰς τρίχας καὶ μέρος οὔσας τοῦ σώματος καὶ ἀμοιρούσας αἰσθήσεως. δείκνυσι δὲ ταύτην ἐπὶ τοῦ μέρους τούτου τὴν ἰδιότητα τὸ μήτε διὰ καύσεως μήτε διὰ τομῆς καθ' ὁμοιότητα τοῦ ἄλλου σώματος καὶ ταύτας ἀλγύνεσθαι. ἐπειδὴ τοίνυν κατὰ τὴν Παύλου φωνὴν δόξα τῆς γυναικός ἐστιν ἡ κόμη <ἡ> διὰ τῶν πλοκάμων τὴν κεφαλὴν ὡραΐζουσα, τοῦτο διὰ τοῦ ἐπαίνου τῶν τῆς νύμφης τριχῶν διδασκόμεθα ὅτι χρὴ τοὺς περὶ τὴν κεφαλὴν τῆς νύμφης θεωρουμένους, δι' ὧν ἡ ἐκκλησία δοξάζεται, κρείττους τῶν αἰσθήσεων εἶναι κρύπτοντας διὰ τῆς σοφίας τὴν αἴσθησιν, καθὼς ἡ Παροιμία φησὶν ὅτι Σοφοὶ κρύψουσιν αἴσθησιν· οἷς οὐχ ὅρασις τοῦ καλοῦ κριτήριον γίνεται, οὐ τῇ γεύσει τὸ ἀγαθὸν δοκιμάζεται, οὐκ ὀσφρήσει τε καὶ ἁφῇ οὐδὲ ἄλλῳ τινὶ αἰσθητηρίῳ ἡ τοῦ καλοῦ ἐπιτρέπεται κρίσις, ἀλλὰ πάσης νεκρωθείσης αἰσθήσεως διὰ μόνης τῆς ψυχῆς τῶν

4-p 452, 16 cf supra p 220, 2-223, 9 12-14 cf I Cor 11, 15 18 Prov 10, 14

ER^{a} ΛYSΘ Σ PVT C Syr 1 ἐπεισάγειν (praestat claus) ΛSΘΣ: ἐπεισάγει Y ἐπεισαγαγεῖν cett v τὸν coll ante νῦν ΛYSΘ om PVC περὶ τῶν αὐτῶν coll post καὶ ΛYSΘ 2 λόγων ΣVC (corr C^{2}) ἐπιζητοίη λόγον T πρώην: πρώτων Ev πρῶτον R^{a} 3 ῥήματα T 6 διακονουμένου v 7 ἐν eras E om R^{a}v τῷ: τὸ E^{2} (corr e τῶ) R^{a} τῇ V τοῦ v ζῆν: ζωῇ V εἶναι om ER^{a}P (sed sscr) v 10-11 τομῆς et καύσεως mutato ordine T (-ς vocis τομῆς corr in ras ut vid 2 litt T^{2}) 12 post τὴν add τοῦ ΘΣPV 13 ἡ alt suppl Jaeger 14 κεφαλὴν: γῆν Y ὡραΐζουσαν P τῶν om Λ (sscr Λ^{1}) 15 διδασκώμεθα C (corr C^{2}) 16 θεωροῦντας T 17 τὴν σοφίαν T 18 κρύπτουσιν v 19 κριτηρίου R^{a}V οὐ: οὔτε ER^{a}Sv Syr an recte οὔτε γεύσει (om τῇ)? 20 οὐκ: οὔτε Syr 21 super ἐπιτρέπεται sscr ἐπιτέτραπται P

κατ' ἔννοιαν φαινομένων ἀγαθῶν ἐφάπτονταί τε καὶ ἐπορέγονται καὶ οὕτω δοξάζουσι τὴν γυναῖκα, τὴν ἐκκλησίαν, οὔτε τιμαῖς διογκούμενοι οὔτε μικροψυχίαις πρὸς τὰ λυπηρὰ συστελλόμενοι, ἀλλὰ κἂν τέμνεσθαι δέῃ διὰ τὴν εἰς Χριστὸν πίστιν, κἂν θηρίοις ἢ πυρὶ παραβάλλεσθαι, κἂν ἄλλο τι τῶν λυπηρῶν ὑπομένειν, τὴν τῶν τριχῶν ἀναισθησίαν ἐν τῇ πείρᾳ τῶν ἀλγεινῶν ὑποκρίνονται. τοιοῦτος Ἠλίας ἦν ὁ ἐκ τοῦ Γαλαὰδ ἀνασχὼν ἐν δασεῖ καὶ αὐχμῶντι τῷ σώματι, δέρμασιν αἰγὸς σκεπαζόμενος, πρὸς πᾶσαν ἀπειλὴν τοῦ τυράννου μένων ἀπτόητος. ὅσοι τοίνυν κατὰ μίμησιν τῆς τοῦ προφήτου μεγαλοφυΐας τοῦ κόσμου παντὸς ἑαυτοὺς ὑπεραίρουσιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὧν οὐκ ἔστιν ἄξιος ὁ κόσμος, οὗτοι ἀγεληδὸν περὶ τὴν τοῦ παντὸς κεφαλὴν θεωρούμενοι δόξα γίνονται τῆς ἐκκλησίας ἐπὶ τὴν οὐράνιον χάριν τῷ Γαλααδίτῃ συναναβαίνοντες.

Τὸ δὲ τῆς αἰγὸς ζῷον εἰς τὸν τῶν τριχῶν ἔπαινον ἀνελήφθη
1105 M. τάχα μὲν ὅτι καὶ ἡ φύσις τοῦ τοιούτου ζῴου κατάλληλος πρὸς γένεσιν τριχῶν κατεσκεύασται, ὥστε αἴνιγμα τοῦ διὰ τῶν τριχῶν κόσμου γενέσθαι τὸ ζῷον τὸ ταῖς θριξὶ φυσικῶς δασυνόμενον, ἢ ὅτι διὰ τῶν πετρῶν ἀνολισθήτως

7-10 cf IV Reg 1, 8-17, sed cf adnotat ad p 222, 14-15 12-14 cf Hebr 11, 37/8 17-p 454, 5 differt a p 221, 22-223, 9; cf p 222, 1-3: ἃ μὲν χρὴ δι' ἀκριβείας περὶ τούτων γινώσκειν, οὔπω καταλαβεῖν ἠδυνήθημεν.

ER^a ΛYSΘ Σ PVT C Syr 1 τε om ER^{a}v 4 τέμνησθαι SΘ δέοι T ἐς v 5 παραβάλεσθαι (sic) Λ (corr Λ^2) Y παραδίδοσθαι V κἂν alt: καὶ T 6 λυπηρὸν (om τῶν) T 7 ὑποκρινόμενοι V ἦν Ἠλίας ER^{a}v 8 ἐν om v οὐχμῶντι ut vid C (corr C^1 vel C^2) τῷ om V 9 δέρμα V ἐσκεπασμένος ER^{a}v ante τοῦ et add et eras τῶν E τοῦ om V 10 μένων om v 11 ἑαυτοὺς om C 12 ὑστερούμενοι om SΘ ante ἐν suppl de Hebr 11, 38 ἐπὶ ἐρημίαις πλανώμενοι καὶ Syr 14 περὶ: πρὸς ΛY 15 τῇ ἐκκλησίᾳ V Syr, at cf supra p 451, 13 15-16 (οὐράνι)ον χάριν τῷ γαλααδίτῃ corr in ras C^2 17 παρελήφθη ER^{a}v 18 καὶ om Syr scil respondet 21 ἢ τοιοῦ (sic) Σ τούτου Θ (coll post ζῴου) κατάλληλος P: καταλλήλως cett v 19 τὴν γένεσιν τῶν τριχῶν ER^{a}v 21 διὰ om V

βαίνει καὶ περὶ τὰς κορυφὰς τῶν ὀρῶν ἀναστρέφεται διὰ τῶν δυσπορεύτων τε καὶ ἀποτόμων εὐθαρσῶς τὴν πορείαν ποιούμενον, ὅπερ τοῖς τὴν τραχεῖαν τῆς ἀρετῆς ὁδὸν κατορθοῦσι προσφυῶς ἁρμοσθήσεται· μᾶλλον δ' ἄν τις εἴποι διὰ τὸ πρὸς πολλὰ τῆς νομικῆς ἱερουργίας ὑπὸ τοῦ νομοθέτου παρειλῆφθαι τὸ ζῷον συντελεῖν ταύτας τῇ κεφαλῇ πρὸς ἐγκώμιον. οἶδα δὲ καὶ ἐν τοῖς τῆς Παροιμίας αἰνίγμασιν ἐν τοῖς τέσσαρσι τοῖς εὐοδουμένοις ἓν καὶ τοῦτο τῶν καλῶς διαβαινόντων ἀπηριθμῆσθαι τὸν τράγον τὸν ἡγούμενον τοῦ αἰπολίου. ὃ δὲ περὶ τούτου στοχαστικῶς ὑπονοοῦμεν τοιοῦτόν ἐστι· πᾶν ἐπιτήδευμα δι' ἑνὸς ἀρχόμενον εἰς πολλοὺς διαδίδοται· ὡς ἐπὶ τῆς χαλκευτικῆς ἡ γραφὴ τὸν Θόβελ εὑρετὴν τῆς τέχνης εἰποῦσα πάντων τῶν μετ' αὐτὸν μεταχειριζομένων τοῦ σιδήρου τὴν ἐργασίαν εἰς ἐκεῖνον ἀνάγει τὴν ἐπιστήμην. οὕτω καὶ τῆς ποιμαντικῆς ὁ Ἄβελ ἡγήσατο καὶ ὁ Κάϊν τῆς γεωργίας, καὶ τὸν Νεβρὼδ ἀρχηγὸν λέγει τῆς κυνηγετικῆς ἐπιστήμης καὶ τῆς ἀμπελουργίας τὸν Νῶε καὶ τῆς εἰς θεὸν ἐλπίδος τὸν Ἐνὼς φησιν ἄρξασθαι· καὶ πολλὰ τοιαῦτα παρὰ τῆς ἁγίας ἔστι διδαχθῆναι γραφῆς, ὅτι ἑνός τι ἐπιτηδεύσαντος εἰσῆλθε κατὰ μίμησιν εἰς τὸν βίον τὸ ἐπιτήδευμα. ἐπειδὴ τοίνυν τοῦ θείου ζήλου διαφερόντως κατὰ πᾶσαν ἐξοχὴν ὁ Ἠλίου καθηγήσατο, ὅσοι μετ' ἐκεῖνον τὸν ἐκείνου μιμησάμενοι ζῆλον τοῖς αὐτοῖς

5-6 cf ex. gr. Lev 4, 23; 9, 3; 16, 5; 23, 19; Num 7, 16 et passim 8-10 cf Prov 30, 29 et 31 12-13 cf Gen 4, 22 15-16 cf Gen 4, 2 16-17 cf Gen 10, 9 17-18 cf Gen 9, 20 18 cf Gen 4, 26

ER^a ΛYSΘ Σ PVT C Syr 1 ὀρέων ER^{a}Tv ἀνατρέφεται P 2 τε om ER^{a}Sv εὐθαρσῶς om P παριὰν Σ 3 ὁδὸν coll ante τῆς VT 4 προσφυοῦς C (corr C^2) ἁρμοσθήσεται om v 5 πρὸς om SΘ νομοθέτου: νόμου SΘ 7 καὶ om v 8 τῶν: τὸ ut vid E (corr E^2) 9 ἀπηριθμεῖσθαι Λ (corr Λ^2) VC (corr C^2) 10 (το)ῦ αἰπο(λίου) corr in ras C^2 11 post ἐπιτήδευμα add ἢ εὕρεμα (scil var lect) Syr 13 θοβὲλ ΣC θῶβελ S βοθὲλ P αὐτῶν E (corr E^2) R^{a}Λ (corr Λ^2) Y 14 ἐς v 16 ὁ om v νεβρὼθ ΛYΘ 18 τὸν pr: τῶ ut vid (?) E (corr E^2) ἐνὼχ ΛY φησιν om T 19 ἁγίας: θείας ER^a 20 τι om PVC 21-23 ἐπειδὴ—ἐκεῖνον om Λ (in marg suppl Λ^2) Y 22 Ἠλίου (scil ζῆλος) Tv: ἠλίας Σ Syr ἡλιοῦ cett

ἴχνεσι τῆς τοῦ προφήτου παρρησίας ἐπηκολούθησαν, αἰπόλιον γεγόνασι τοῦ ἡγησαμένου τῆς τοιαύτης ζωῆς· οἵτινες δόξα τῆς ἐκκλησίας καὶ ἔπαινος γίνονται εἰς τὸν τῶν τριχῶν καταταγέντες κόσμον, ὧν ἡ αἰσθητικὴ ζωὴ κεχώρισταί τε καὶ ἠλλοτρίωται. διὰ τῶν ὁμοίων δὲ πληροῖ καὶ τοῖς ὀδοῦσι τὸν ἔπαινον. οὗτοι δ' ἂν εἶεν οἱ τρέφοντες δι' ἑαυτῶν τῆς ἐκκλησίας τὸ σῶμα, οὓς βούλεται πάντοτε μὲν ὡς ἀπὸ λουτροῦ καθαροὺς ὁρᾶσθαι, ἀπερίττους δὲ διὰ παντὸς ὡς ἀπὸ προσφάτου κουρᾶς, κατὰ δὲ τὸν τόκον τῶν ἀρετῶν διδυμεύοντας τῆς διπλῆς καθαρότητος γινομένους πατέρας, τῆς τε κατὰ ψυχὴν καὶ τῆς κατὰ σῶμα θεωρουμένης, ὡς ἐξόριστον εἶναι τῶν ὀδόντων τούτων πᾶν τὸ ἀγονοῦν ἐν τῷ κρείττονι. τὸ δὲ σπαρτίον ἐπὶ τοῦ χείλους τιθέμενον τὴν μεμετρημένην τοῦ λόγου διακονίαν παραδηλοῖ τῷ αἰνίγματι, ὅπερ ὁ προφήτης φυλακήν τε καὶ θύραν περιοχῆς κατωνόμασεν, ὅταν ἐν καιρῷ ἀνοίγηται τῷ λόγῳ τὸ στόμα καὶ κατὰ καιρὸν ἐπικλείηται. μέτρου δὲ ὄνομα τὸ σπαρτίον εἶναι παρὰ τῆς προφητείας Ζαχαρίου ἐμάθομεν, ὅτι σπαρτίον γεωμετρικὸν ἐν χερσὶν εἶχεν ὁ ἐν αὐτῷ λαλῶν ἄγγελος. τότε δὲ μάλιστα τυγχάνει τοῦ μέτρου ὁ λόγος, ὅταν περικεχρωσμένος

5-13 cf supra p 225, 16-228, 3 13-p 455, 9 differt ab explicatione p 228, 4-229, 20 15 cf Ps 140, 3 18-19 cf Zach 2, 5

ER^a ΛYSΘ Σ PVT C Syr(def inde a 16 ὅταν)Sin 1 τῆς: τοῖς V 4 καταγέντες PV τε ΣT: om (obstat claus) cett v 5 καὶ ἠλλοτρίωται om SΘ δὲ om v 7 μὲν πάντοτε ER^{a}Tv 8 δὲ om ER^{a}v διὰ om V post παντὸς add τὰς τρίχας ER^{a}Σv non habet Syr ὡς om VC 10 γενομένους v 11 post κατὰ pr add τὴν T τῆς alt om ΛYSΘ post κατὰ alt add τὸ ΣT 12 ἀτονοῦν PVC 13 ante ἐπὶ add τὸ ER^{a}v ἐπὶ τ.χ. τιθ. intellege sensu: 'ad labrum comparatum' 14 διακονίαν: διάνοιαν P 15 περιοχήν τε καὶ θύραν φυλακῆς V 16-17 ὅταν—ἐπικλείηται om SΘ 16 ἀνοίγεται E(sscr η E^2)PC(corr C^2) ante τῷ add τε ΣTC^2 add τις V τὸ στόμα τῶ λόγω ER^{a}v(τοῦ λόγου) 17 ἐπικλείεται P κατακλείηται ER^{a}v παρτίον P 18 ante Ζαχαρίου add τοῦ ER^{a}v μεμαθήκαμεν ER^{a}v 18-19 γεωμετρητικὸν T 19 εἶχεν coll ante ἐν pr SΘ ἐν alt eras Λ 20 περικεχρωσμένον ΛYSΘ

τύχῃ τῷ ἐρυθήματι, ὅπερ τοῦ αἵματος τοῦ λυτρωσαμένου ἡμᾶς αἴνιγμα γίνεται. ἐὰν οὖν τις κατὰ τὸν Παῦλον λαλοῦντα ἔχῃ ἐν ἑαυτῷ τὸν Χριστὸν τὸν τῷ ἰδίῳ αἵματι ἡμᾶς λυτρωσάμενον, οὗτος ἔχει τὸ γεωμετρικὸν σπαρτίον ἐπὶ τοῦ στόματος τῇ βαφῇ τῇ αἱματώδει καλλωπιζόμενον. ὁ δὲ ἐφεξῆς λόγος
1108 M. ἑρμηνεία ἐστὶ τοῦ αἰνίγματος· λαλιὰν γὰρ ὡραίαν ὀνομάζει τὸ σπαρτίον τὸ κόκκινον, δι' οὗ πάλιν σημαίνει τὸ κάθωρον καὶ ἔμμετρον· τὸ γὰρ ἀκριβῶς ὡραῖον, ἐν τῷ ἰδίῳ τῆς ἀκμῆς καιρῷ προφαινόμενον, οὔτε ἄωρόν ἐστιν οὔτε ἔξωρον. τῷ δὲ λεπύρῳ τῆς ῥόας τὸ μῆλον τῆς παρειᾶς ὡραΐζων μεγάλην τινα προσμαρτυρεῖ τῇ νύμφῃ τὴν ἐν τοῖς ἀγαθοῖς τελειότητα· σημαίνει γὰρ μὴ ἐν ἄλλῳ τινὶ τὸν θησαυρὸν αὐτῇ παρεσκευάσθαι, ἀλλ' αὐτὴν εἶναι θησαυρὸν ἑαυτῆς παντὸς ἀγαθοῦ παρασκευὴν ἐν ἑαυτῇ περιέχουσαν. ὡς γὰρ τῷ λεπύρῳ περιέχεται τῆς ῥόας τὸ ἐδώδιμον, οὕτως ἐνδείκνυται τῷ φαινομένῳ κάλλει τοῦ βίου τὸν ἔνδον αὐτῆς θησαυρὸν περιέχεσθαι. οὗτος οὖν ἐστιν ὁ κρυπτὸς θησαυρὸς τῶν ἐλπίδων, ὁ ἴδιος καρπὸς τῆς ψυχῆς ὁ τῷ ἐναρέτῳ βίῳ

1-4 cf I Petr 1, 18/19 2-3 cf II Cor 13, 3 10-p 456, 1 cf supra p 229, 21-231, 4 12 cf Matth 6, 20/1 ~ Luc 12, 33/4 13-14 cf Matth 12, 35 ~ Luc 6, 45 18 cf Matth 7, 17; nota bene Tatianum imagines et fructuum bonae arboris et thesauri in unum contraxisse (cf versio Arabica ed Ciasca cap X). ordo apud Tatian est: Matth 7, 17/18; Luc 6, 45; Matth 7, 19-23

ER^a ΛYSΘ(def inde a 12 τινὶ) Σ PVT C Sin(def inde a 10 τὸ) 1 αἵματος: αἰνίγματος Λ(corr Λ^2)Y 2 et ante et post αἴνιγμα(sic) eras binas litt E(fort(?) ἐν et τι) οὖν: μὲν ER^{a}v 3 ἔχει PV(sed corr)C(corr C^2)v τὸν alt om P τῷ om v 3-4 λυτρωσάμενον ἡμᾶς v 4 οὕτως C(corr C^2) (γεω)μέτρι(κον) corr in ras Λ^2 (γεωμ)ετρ(ικόν)corr in ras E^2 σώματος V(sed corr) 5 δ' ER^{a}v 6 post τοῦ add πρόσθεν v γὰρ om Σ 7-8 σημαίνει coll post ἔμμετρον ΛY κάθωρον V Sin(in Paraphr): καθαρὸν cett v 8 ante ἐν add καὶ v 8-9 καιρῷ coll ante τῆς ER^{a}v 9 φαινόμενον PVC προσφερόμενον T ἐστιν om P 10 e τῶ δὲ λεπύρω corr ὁ δὲ ὡς λεπύρον C^2 ῥοᾶς E (corr E^2)ΛYS ὡραΐζον E^2(corr ex -ων)R^{a}Y(corr ex -ων)T 11 μαρτυρεῖ V 13 ἑαυτῆς: αὐτῆς P 14 ἑαυτῶ ἔχουσαν Λ (corr Λ^1) 15 τῷ om Σ ῥοᾶς E(corr E^2)S 17 et om οὗτος et coll ἔστιν οὖν P

καθάπερ τινὶ ῥόας λεπύρῳ περικρατούμενος. τὸ δὲ Ἐκτὸς τῆς σιωπήσεώς σου ταύτην οἶμαι τὴν διάνοιαν ἔχειν, ὅτι ὁ ἔπαινος οὐκ ἐκ τῶν φαινομένων τοσοῦτόν ἐστιν ὅσα τῷ λόγῳ μηνύεται, ἀλλὰ μᾶλλον <ἐκ τῶν> ὅσα τῇ σιωπῇ ὑποκέκρυπται τὴν τοῦ λόγου διαφεύγοντα μήνυσιν· ὥσπερ γὰρ τὸ ἐκτὸς τοῦ λόγου ἡ σιωπὴ νοεῖται, οὕτω καὶ τὸ ἐκτὸς τῆς σιωπῆς τὸν λόγον νοῶν τις οὐχ ἁμαρτήσεται. ἐκεῖνο γὰρ σιωπῶμεν ὃ διὰ τῶν ῥημάτων ἐξαγγεῖλαι ἀδυνατοῦμεν. εἰ οὖν τὸ ἐκτὸς ἐκείνου ἡ σιωπὴ νοεῖται, τὸ ἐκτὸς τῆς σιωπῆς ἀκόλουθόν ἐστι πάντως τὸν λόγον οἴεσθαι. οὐκοῦν ὁ εἰπὼν τὸ Ἐκτὸς τῆς σιωπήσεως, τοῦτο σαφῶς τῷ λόγῳ παρίστησιν ὅτι καλὰ μέν ἐστι καὶ μεγάλα τὰ τῷ λόγῳ φανῆναι δυνάμενα, ὅσα ἐκτός ἐστι τῆς σιωπήσεως, τὰ δὲ τοῦ λόγου ἐκτός, τὰ τῇ σιωπῇ καλυπτόμενα, τὰ ἄρρητά τε καὶ ἀνεκφώνητα, μείζω πάντως καὶ θαυμασιώτερα τῶν ἐκφωνουμένων ἐστίν.

Ἀκούσωμεν δὲ καὶ τῶν ἐφεξῆς ἐπαίνων, ὧν ἡ διάνοια τῷ τῆς ἱστορίας ἔοικε φρέατι οὗ βαρύς τις λίθος ἐπέχων τὸ στόμιον ἄπορον ἐποίει ταῖς ποιμαινούσαις τὴν μετουσίαν τοῦ ὕδατος. ἀλλ' ὁ Ἰακὼβ ἐπιστὰς ἀναμοχλίζει τε τοῦ στομίου τὸν λίθον καὶ πλήρη τὰ ποτιστήρια ποιήσας

1-15 cf supra p 219, 10-19 17-p 457, 8 cf Gen 29, 2-10

ER^a ΛYS Σ PVT C 1 ῥοᾶς E(corr E^2)S δὲ om Λ(add $Λ^2$)Y 2 τῆς om Y 3 ante οὐκ add σου $ER^aΛ^2$(sscr)v οὐ(sic) coll post φαινομένων T τοσοῦτος PT ὅσος P 4 μημηνύεται Σ ἐκ τῶν supplevi τῇ om v ἀποκέκρυπται ER^aΣv, fort recte 5 μήνυσιν: μίμησιν V 6 τοῦ om ΣPVC καὶ om v τὸ om V ἐκτὸς: ἐκ R^a(sed corr τῆς in τὸς) τῆς om ER^a(vid supra)Σv σιωπήσεως ΛYSC 7 νοῶν τις: νοῶντες Λ(corr $Λ^2$)Y ἐκείνω Λ(corr $Λ^2$)Y 8 ὃ: ἐν ᾧ YΛ(ut vid, eras et corr $Λ^2$) ἀδυνατοῦμεν ἐξαγγεῖλαι v 9 νοεῖτε Σ post νοεῖται add καὶ T τῆς om v 10 ἐστι om v 11 τὸ scripsi: ὅτι τὸ PTC ὅτι τὸν Σ ὅτι cett v post σιωπήσεώς add σου(scil de Cant) ER^aSPC^2(sscr)v 12 ἐστι om P φωνῆναι Y 13 ἐστι om V post σιωπήσεως add σου ER^av 15 μείζω om ER^av 16 ὧν: ᾧ Y 17 τῷ: τὸ YC(corr C^2) οὗ: οὐ YV οὗ βαρύς: ᾧπέρ ER^av 18 ποιεῖ ER^av ἐμποιεῖ P 19 ἀναμοχλεύει ΛYSΣ, fort recte τε: ται C(corr C^2) 20 πότισρα E(corr E^2) ποτήρια R^a

τοῦ ὕδατος ἔδωκε τοῖς θρέμμασι κατ' ἐξουσίαν ἐντρυφῆσαι τῷ νάματι. τίνα τοίνυν ἐστὶν ἃ τῷ τοιούτῳ φρέατι προσεικάζομεν; Ἑξήκοντά εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαὶ καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶ περιστερά μου, τελεία μου· μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν. τίς οὖν ἡμῖν ἀποκυλίσει τῆς ἀσαφείας ταύτης τὸν λίθον; τίς ἐξαντλήσει τῶν νοημάτων τὸ ὕδωρ οὕτως ἐν βάθει κείμενον, ὡς ἀνέφικτον εἶναι τῷ ἡμετέρῳ λόγῳ; ἀλλά μοι καλῶς ἔχειν δοκεῖ τοῦτο ταῖς ἀκοαῖς ὑμῶν διαμαρτύρασθαι ὅτι τὸ ταῦτα γνῶναι μόνων ἐκείνων ἐστὶν πρὸς οὓς φησιν ὁ ἀπόστολος ὅτι Ἐν παντὶ ἐπλουτίσθητε,
1109 M. ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. ἡ δὲ ἡμετέρα πενία τῶν προκειμένων τοῦ λόγου θησαυρῶν περιδράξασθαι ἀδυνάτως ἔχει. πλὴν ὡς ἂν τοῦ τῆς ἀργίας κατακρίματος ἔξω γενοίμεθα, διὰ τὸν ἐρευνᾶν τὰς γραφὰς ἡμῖν νομοθετήσαντα μικρόν τινα καὶ τούτοις ἱδρῶτα προσθεῖναι οὐ κατοκνήσομεν. φαμὲν τοίνυν δόγμα τι τῶν ἀστειοτέρων τὴν ἐν τοῖς ῥητοῖς τούτοις φιλοσοφίαν διὰ τῶν ἐπαίνων τῆς νύμφης ἡμῖν παρατίθεσθαι. τὸ δὲ δόγμα τοιοῦτόν ἐστιν· οὐ μετὰ τῆς αὐτῆς ἀκολουθίας καὶ τάξεως κτίζεται τὰ ὄντα καὶ ἀνακτίζεται· ὅτε μὲν γὰρ κατ' ἀρχὰς διὰ τῆς θείας δυνάμεως ἡ τῆς κτίσεως ὑφίσταται φύσις, ἐφ' ἑκάστου τῶν ὄντων

3-6 Cant 6, 8/9 6-7 cf Marc 16, 3 11-12 I Cor 1, 5 15 cf Joh 5, 39

ER^a ΛYS Σ PVT C 1 τοῦ ὕδατος coll ante 456, 20 ποιήσας T om P ἐξουσίαν: ἀξίαν S 2 τῶν ναμάτων ER^av τοῖς νάμασιν T φρέατι: φωτὶ ER^a 3 παλακαὶ S καὶ alt om v 5 ἐκλεκτική v 6 ἀποκυλίσῃ EC(corr E^2C^2) 7 ταύτης om V λίθον: λόγον Λ(ut vid, corr $Λ^2$)Y 8 κατακείμενον ER^av ἀν' ἐφικτὸν E^2(ex ἀνέ-)R^aΛYV 9 ἀλλ' οἶμαι T 10 ἡμῶν P διαμαρτύρεσθαι P τὸ ταῦτα: τὸ σαῦτα(sic) R^a 12 post καὶ add ἐν ER^aPv πάσῃ om E(sscr E^2) 14 ἔχειν Λ(corr $Λ^2$) 15 τὸν: τὸ V(ante τὸ ins τὸν V^2) 16 οὐκ ὀκνήσομεν T κατοκνήσωμεν ER^aVC καθοκνήσωμεν YΛ(corr $Λ^2$) 17 ἀστειροτέρων R^a 20 κτίζεσθαι Y 21 ὅτε(sic) E^2(post o eras 1 litt) ἅτε PVC(corr ἐν ὅσοις C^2) ὅτι T διὰ om E(sscr E^2)C (adscr in fin lin ὑπὸ C^2) παρὰ PV 22 ὑφίσταται E(ut vid, corr -το E^2)ΣPVC: ὑφίστατο R^aΛYSTv

ἀδιαστάτως τῇ ἀρχῇ συναπηρτίσθη τὸ πέρας πᾶσι τοῖς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγομένοις ὁμοῦ τῇ ἀρχῇ συνανασχούσης τῆς τελειότητος. ἓν δὲ τῶν κτισθέντων καὶ ἡ ἀνθρωπίνη φύσις ἐστίν, οὐδὲ αὐτὴ καθ' ὁμοιότητα τῶν ἄλλων ἐκ προαγωγῆς προελθοῦσα ἐπὶ τὸ τέλειον, ἀλλ' ἀπὸ τῆς πρώτης ὑπάρξεως συμπλασθεῖσα τῇ τελειότητι· ἐγένετο γὰρ ὁ ἄνθρωπος, φησί, κατ' εἰκόνα θεοῦ καὶ ὁμοίωσιν. ὅπερ ἐνδείκνυται τὸ τῶν ἀγαθῶν ἀκρότατόν τε καὶ τελειότατον. τί γὰρ ἂν ὑπέρτερον εὑρεθείη τῆς πρὸς τὸν θεὸν ὁμοιώσεως; ἐπὶ μὲν οὖν τῆς πρώτης κτίσεως ἀδιαστάτως τῇ ἀρχῇ συνανεφάνη τὸ πέρας καὶ ἀπὸ τῆς τελειότητος ἡ φύσις τοῦ εἶναι ἤρξατο. ἐπειδὴ δὲ τῷ θανάτῳ διὰ τῆς πρὸς τὴν κακίαν σχέσεως οἰκειωθεῖσα τῆς ἐν τῷ ἀγαθῷ διαμονῆς ἀπερρύη, οὐκ ἀθρόαν καθ' ὁμοιότητα τῆς πρώτης συστάσεως ἐπαναλαμβάνει τὴν τελειότητα, ἀλλ' ὁδῷ τινι πρόεισιν ἐπὶ τὸ μεῖζον διά τινος ἀκολουθίας καὶ τάξεως κατ' ὀλίγον ἀποσκευαζομένη τὴν πρὸς τὰ ἐναντία προσπάθειαν· ἐπὶ μὲν γὰρ τῆς πρώτης κατασκευῆς οὐδὲν ἦν τὸ κωλῦον συνδραμεῖν τῇ γενέσει τὸ τῆς φύσεως τέλειον κακίας οὐκ οὔσης, ἐπὶ δὲ τῆς δευτέρας ἀναστοιχειώσεως ἀναγκαίως ἡ διαστηματικὴ παράτασις συμπαρομαρτεῖ τοῖς πρὸς τὸ πρῶτον ἀγαθὸν

7 cf Gen 1, 26   10-13 cf Sap Sal 2, 23/4   17-p 460, 2 cum e Platone (cf Phaedr 248 c sqq) tum ex Origene compilata nec non correcta

ER^a ΛYS Σ PVT C 1 συναπηρτῆσθαι ΛY συναπηρτίσθαι $SΛ^2$ πασῶν(sic) coll ante τὸ ΛY   2 παραγαγομένοις Σ παραγενομένοις ER^aVCv   τῇ ἀρχῇ om E(in marg suppl E^2) PVC   4 οὐδὲ: καὶ T   5 ἐκ προαγωγῆς om T   προσαγωγῆς ΛYSΣ   ἀλλ' ἀπρὸ(sic) Y εὐθὺς T   6 ante τῇ add ἐπὶ S   7 post γὰρ add ὡς E^2(adscr in fin lin)R^av   ἄνθρωπος ΛYSΣTC^2(corr in ras 3 ut vid litt, quarum pr λ): λόγος ER^aPVv   φησιν coll ante ὁ SPT   8 τελεώτατον SPV τελεώτερον ΛY   9 τί: εἰ V   ἂν om T   τὸν om Pv ὁμοιότητος ΛYSΣT   11 συνεφάνη PV(sscr αν)   12 εἴρξατο C(corr C^2)   14 οὐκαθόραν C(corr οὐ καθαρὰν C^2)   ἀθρόαν: ἀδιαστάτως πάλιν V   τῆς συστάσεως τῆς πρώτης ER^av   17 ἐπὶ: ἀπὸ YΛ(eras et corr $Λ^2$)   21 παράστασις ΣTv   συμπαρακολουθεῖ P   ante πρὸς add ἐπακολουθήσει ER^av add ἐπακολουθεῖ C(eras), scil var lect ad συμπαρομαρτεῖ (cf P!) per errorem textui ins   πρῶτον: κρεῖττον T   21-459, 1 et τῇ et ἀνατρεχούσῃ v

ἀνατρέχουσιν. διότι τῇ ὑλικῇ προσπαθείᾳ συνδεθεῖσα διὰ κακίας ἡμῶν ἡ διάνοια κατ' ὀλίγον ὥσπερ φλοιοῦ τινος τοῦ περιέχοντος διὰ τῆς ἀστειοτέρας ἀγωγῆς περιξύεται τὴν συμφυΐαν τοῦ χείρονος. τούτου χάριν πολλὰς εἶναι παρὰ τῷ πατρὶ μονὰς μεμαθήκαμεν κατὰ τὴν ἀναλογίαν τῆς ἐν ἑκάστῳ πρὸς τὸ καλὸν σχέσεως καὶ τῆς τοῦ χείρονος ἀποστάσεως, ἑτοιμαζομένης πᾶσι τῆς ἀντιδόσεως· ὁ μὲν γάρ τις ἐν ἀρχῇ τῆς τοῦ βελτίονός ἐστι κληρώσεως ἄρτι καθάπερ ἐκ βυθοῦ τινος τοῦ κατὰ κακίαν βίου πρὸς τὴν μετουσίαν τῆς ἀληθείας ἀνανηξάμενος, τῷ δέ τις γέγονεν ἤδη δι' ἐπιμελείας καὶ προσθήκῃ τοῦ κρείττονος, ἄλλος ἐπὶ πλεῖον διὰ τῆς ἐπιθυμίας τῶν ἀγαθῶν ἐπηυξήθη, ὁ δὲ μέσως ἔχει τῆς τῶν ὑψηλῶν ἀναβάσεως, ἕτερος καὶ τὸ μέσον παρέδραμεν, εἰσὶ δέ τινες οἳ καὶ τούτων ἑαυτοὺς ὑπεράραντες, ἄλλοι κἀκείνους παρήλασαν καὶ ὑπὲρ τούτους ἕτεροι πρὸς τὸν ἄνω δρόμον συντείνονται. καὶ ὅλως κατὰ τὴν ποικίλην τῶν προαιρέσεων διαφορὰν ἕκαστον ὁ θεὸς ἐν τῷ ἰδίῳ προσδέχεται τάγματι τὰ πρὸς ἀξίαν ἀποκληρῶν

2-4 imagine φλοιοῦ philosophi saepius usi sunt, cf ex. gr. Marc Anton Aurel XII 2/3 et 8 (cf et adnotat Guil Theiler = ed MA p 344), cf Procl in Tim III, 296, 11 (ed Diehl)   4-5 cf Joh 14, 2   5-6 cf Rom 12, 6. quo loco et I Cor 15, 23 (cf infra 18) usus Origen in Comm versus Cant 6, 8/9 explicavisse videtur (cf Method Conv VII 3 = p 73, 19-75, 2)   18 cf I Cor 15, 23

ER^a ΛYS Σ PVT C 1 διὸ E(ins τι E^2)PVC   προσδεθεῖσα ΛYSΣT   2 τοῦ om R^a 2-3 φλοϊόν τινα τὸ περιέχον V (φλο)ιὸν καρποῦ τινος (περιέχοντ)α corr in ras C^2(ult α ex ος)   3 περιξύεται SVC(ut vid, corr in ras περιξέει ἀφ' ἑαυτῆς C^2): περιξυομένη cett v   4 ante τοῦ add ἀπωθεῖται E^2(in marg) $R^aΛ^2$(sscr)v   5 κατ'(om τὴν) T   7 ἑτοιμαζομένοις V   8 κληρώσεως correxi sec Plato Phaedr 249 b, cf infra 18: βρώσεως E(corr βιώσεως E^2)Vv βρόσεως C(corr βρώ- C^2) βιώσεως R^a αἱρέσεως (scil var lect, cf Plato l. l.) ΛYSΣT γνώσεως P   10 ἀναδειξάμενος P(sscr νη)   τῷ: τὸ TC(ut vid, corr ὁ C^2)   11 καὶ eras EC(corr in ras ἐν C^2) om R^av, fort recte   προσθήκης ΛYSPT   12 ἀγαθῶ E(adscr ν E^2)   13 μέσης v   post ἕτερος add δὲ T   14 τινες καὶ οἱ v   18 δέχεται v   post τάγματι eras 1 litt E   τὰ om Σ   ἀποπληρῶν ER^aΛYSv

1112 M. τοῖς πᾶσι, καὶ συνάγων τοῖς ὑψηλοτέροις τὰς τῶν ἀγαθῶν ἀμοιβὰς καὶ συμμετρῶν τοῖς ἐλάττοσιν. ταῦτα διὰ τῶν προκειμένων ῥητῶν φιλοσοφεῖν τὸν λόγον ὑπενοήσαμεν τὴν διαφορὰν τῶν ψυχῶν, αἳ πρὸς τὸν νυμφίον ὁρῶσιν, ἐν τοῖς εἰρημένοις ἡμῖν διαστείλαντα· τὰς μὲν γὰρ ὀνομάζει νεάνιδας τὴν τοῦ ἀριθμοῦ φύσιν διὰ τοῦ πλήθους νικώσας, ἄλλας δὲ παλλακίδας καὶ ἄλλας βασιλίδας εἶναί φησιν, ὀκτὼ δεκάσι τῶν παλλακίδων τὸν ἀριθμὸν περιγράψας, τὰς δὲ βασιλίδας συντελεῖν εἰπὼν εἰς ἑξήκοντα, ὑπερτίθησι δὲ πασῶν τὴν ἐν τῇ μονάδι θεωρουμένην τελείαν περιστεράν, ἣν καὶ μόνην τῇ μητρὶ καὶ ἐκλεκτὴν εἶναι τῇ τεκούσῃ αὐτὴν ἀποφαίνεται. ταῦτα οὖν διὰ τῶν θείων τούτων λογίων νοεῖν ἐναγόμεθα ὅτι οἱ μὲν ἄρτι καθάπερ νηδύος τινὸς τῆς ἐν βάθει κειμένης ἀπάτης ἔξω γενόμενοι, ἀρτιγενεῖς τινες ὄντες καὶ οὔπω διηρθρωμένον ἐν ἑαυτοῖς τὸν λόγον χωρήσαντες τῇ ἀλογωτέρᾳ συγκαταθέσει τῆς πίστεως ἐν ἀπείρῳ θεωροῦνται πλήθει, σωτήριον μὲν εἶναι πεπιστευκότες τοῦ μυστηρίου τὸν λόγον, οὐ μὴν ἐν ἐπιστήμῃ τινὶ καὶ τῇ διὰ τοῦ λόγου πληροφορίᾳ καθιδρυμένην ἔχοντες ἐν ἑαυτοῖς τὴν ἀλήθειαν. αὗταί εἰσιν αἱ ὀνομασθεῖσαι νεάνιδες διὰ τὸ ἔτι νέαν ἄγειν τὴν πνευματικὴν ἡλικίαν, αἳ γεννηθεῖσαι τῷ λόγῳ τῆς πίστεως οὐδέπω διὰ τῆς καθηκούσης αὐξήσεως τοιαῦται γεγόνασιν ὡς ἐπὶ γάμου ἀκμὴν προελθεῖν καὶ φθάσαι εἰς ἄνδρα τέλειον, εἰς μέτρον γαμικῆς ἡλικίας, ὥστε τῷ φόβῳ

14-16 cf I Petr 2, 2; Hebr 5, 13/14 20-461, 3 cf Origen Comm I

ER^a ΛYS Σ PVT C 2 τοῖς om v 6 τὸ πλῆθος V 7 παλλακὰς T 8 ὀκτωδεκάει V ὀκτωκαιδεκάσι ΛYS ὀκτωδεκάδι v 10 δὲ corr in ras E^2 om R^aΛYv 11 ἐκλεκτικὴν v εἶναι om V 12 τούτων coll post λογίων ΛYS om v λογίων om ER^a PVC (in marg add ῥημάτων C^2) 13 καθάπερ om ER^aPC (sscr ὡς C^2) v τινὸς om V 15 οὔπω: οὕτω P διηρθρωμένοι v 16 ἀλόγῳ ΛYS 17 εἶναι: εἶπε P τοῦ μυστηρίου om S 18 ἐν om ER^aPVCv 19 καθιδρυμένην ΛYSΣTE (ut vid, eras καθ et corr καὶ E^2): καὶ ἱδρυμένην PVC ἱδρυμένην R^av 20 νομισθεῖσαι Σ ἔτι om ER^aPVCv 22 τῆς om P 23 post ὡς add εἰς ΛY γάμου SΣT: γάμον P γάμων cett v 24 εἰς— ἡλικίας om Σ ἡλικίας γαμικῆς V (corr num β et α sscr)

τοῦ κυρίου δύνασθαι κυοφορῆσαι καὶ πνεῦμα σωτηρίας παιδοποιήσασθαι, ἀλλ' ἔτι τῷ νηπίῳ τε καὶ ἀτελεῖ τῆς διανοίας ἀλογωτέρᾳ πως συζῶσι τῇ διαθέσει. πλὴν ἀλλὰ καὶ οὗτοι τῶν σῳζομένων εἰσί, καθώς φησιν ὁ προφήτης ὅτι Ἀνθρώπους καὶ κτήνη σώσεις, κύριε, κτήνη λέγων τὸ ἀλογώτερον μέρος τῶν σῳζομένων.

Τῶν δὲ διὰ τῆς καθηκούσης ἐπιμελείας αὐξηθέντων τῇ διανοίᾳ καὶ καταλελοιπότων ἤδη τὴν νηπιότητα διπλῆν ὑπὸ τοῦ λόγου τὴν διαφορὰν διδασκόμεθα· γίνονται μὲν γὰρ αἱ ψυχαὶ σύσσωμοι τῷ λόγῳ καὶ αὗται κἀκεῖναι, ἀλλ' αἱ μὲν ἐρωτικῇ τινι διαθέσει προσκολλῶνται (οἵα ἦν ἡ τοῦ Δαβὶδ καὶ ἡ τοῦ Παύλου ψυχή, ἡ μὲν λέγουσα τὸ Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστιν, ἡ δὲ τὸ Οὐδεὶς χωρίσει ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ· οὐ ζωή, οὐ θάνατος, οὐ τὸ παρόν, οὐ τὸ μέλλον, οὐκ ἄλλο τι τῶν ὄντων οὐδέν), αἱ δὲ φόβῳ κολάσεως τὰς μοιχικὰς ἀποφεύγουσι πείρας· μένουσι γὰρ ἐν ἀφθαρσίᾳ καὶ ἁγιασμῷ καὶ αὗται, ἀλλὰ τῷ φόβῳ μᾶλλον ἢ τῷ πόθῳ μόνῳ παιδαγωγούμεναι τὸ κακὸν οὐ προσδέχονται. αἱ μὲν οὖν

p 103, 10-23; 110, 31-111, 25; Hom in Cant I 1 p 29, 4-7 23-461, 2 cf Method Conv VII 4 (= p 75, 12-18): παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλλακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόνῳ καὶ καθαρᾷ φιλοσοφίᾳ, ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν, πνεῦμα σωτηρίας κ.τ.λ. fort de Origen Comm 24-461, 2 cf Isai 26, 17-18

5 Ps 35, 7 12-13 Ps 72, 28 13-16 Rom 8, 35 et 38/9 16-462, 4 cf ex. gr. Clem Alex Strom VII 67, 2 (= p 48, 12-18); 79, 1 (= p 56, 11-17 Stählin)

ER^a ΛYS Σ PVT C 1 τοῦ om T κυρίου: ἰησοῦ R^a (ut vid, sed eras et corr) 3 ἀλογωτέρως V διαθέσει corr in διανοίᾳ $Σ^2$ 5 ὅτι om T 7 ἐπιμελείας om S 8 νηπιότητα: τελειότητα S 9 μὲν om T γὰρ om P 10 post ψυχαὶ add καὶ ER^aPVC (eras) v 12 ἡ pr om S (το)ῦ Παύλου corr in ras C^2 ψυχή om V τὸ: ὅτι S om T δὲ om T 14 ἡμᾶς χωρίσει ΛYPT ἀπὸ om R^aT θεοῦ: Χριστοῦ Yv 14-15 τῆς alt—Ἰησοῦ om v 15 τὰ παρόντα ΛYS τὰ μέλλοντα S 16 τι om Σ μοιχείας Λ (ante ins τῆς $Λ^2$) Y 18-19 παιδαγωγούμεναι μόνῳ ER^av

διὰ τῆς τελειοτέρας διαθέσεως πόθῳ τῆς ἀφθαρσίας ἀνακραθεῖσαι τῇ τοῦ θεοῦ καθαρότητι βασίλισσαι διὰ τὴν κοινωνίαν τῆς βασιλείας κατονομάζονται, τὰς δὲ τῷ τῆς ἀπειλῆς φόβῳ τὴν ἀρετὴν ἐκπονούσας παλλακίδας ὀνομάζει ὁ λόγος· οὔπω γάρ τις αὐτῶν μήτηρ βασιλέως καὶ κοινωνὸς
1113 M. τῆς ἀξίας γενέσθαι δυνατῶς ἔχει. πῶς γὰρ ἂν δυνηθείη ἡ μηδέπω ἀναλαβοῦσα ἐν ἑαυτῇ τὸ ἀδέσποτον καὶ αὐτοκρατὲς τοῦ ἐναρέτου φρονήματος, ἀλλὰ δουλικῷ φόβῳ τῆς τῶν κακῶν κοινωνίας ἀφισταμένη; ὑποδείγματα δὲ τῶν εἰρημένων ἐστὶν ἐπὶ μὲν τῶν βασιλίδων τὸ κατὰ τοὺς τῆς δεξιᾶς στάσεως ἠξιωμένους, πρὸς οὓς ὁ βασιλεὺς λέγει· Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· τοῦ δὲ δευτέρου καὶ ὑφειμένου τάγματος εἶεν ἂν ἐκεῖνοι, πρὸς οὓς λέγει ὁ κύριος· Φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα ἐξουσίαν ἐμβαλεῖν εἰς τὴν γέενναν τοῦ πυρός. ταύτην δέ μοι δοκεῖ τὴν διαστολὴν τῶν δύο ταγμάτων ἡ κατὰ τοὺς ἀριθμοὺς διαφορὰ παραδηλοῦν δι' αἰνίγματος. πῶς τοῦτό φημι; ἓξ εἰσιν ἐντολαὶ δι' ὧν ἡ βασιλεία τοῖς δεξιοῖς ἑτοιμάζεται. λογισώμεθα τούτων ἑκάστην τὸ δεσποτικὸν εἶναι τάλαντον, ὃ προσήκει παρὰ τοῦ ἀγαθοῦ καὶ

11-13 Matth 25, 34 14-15 Luc 12, 5 18-19 cf Matth 25, 35/6 19-p 463, 3 cf Matth 25, 14-21 ~ Luc 19, 13-17. Gregorius usus esse Tatiani Διὰ τεσσάρων videtur, cf Comm Ephraemi (ed Aucher—Moesinger p 218), cf Aphraatis Demonstr XXII

ERª ΛYS Σ PVT C 1-2 πόθῳ—ἀνακραθεῖσαι om E(add in marg E²)P(sed post καθαρότητι add προσκολλώμεναι)VC(in marg add προσκολλώμεναι C²) 2 διὰ: δὴ YΛ(ut vid, corr Λ²) 3 κοινωνίαν: διακονίαν P(sscr κοινωνίαν) τῷ om V 4 ἀπειλῆς: ἀρετῆς V ἀρετὴν: ἀπειλὴν V post ἀρετὴν spatium(an ras?) 5 fere litt Σ 6 γενέσθαι coll post ἔχει (praestat claus) S coll ante τῆς Σ ἂν om P 7 ἐν om V ante τὸ add καὶ T 8 τῶν om V 9 ὑπόδειγμα ΛYT ὑπόδειγματα(sic)Σ 10 τοὺς om V τῆς om ΛY post στάσεως add καὶ V 12 τοῦ πατρός μου om VT 13 δὲ om C(ins C²) τε καὶ T 14 φοβήθη Rª 16 ταῦτα E(ut vid, corr in ras -την E²)PVC(corr C²) 16-17 τῶν—ἡ om Λ(add in marg Λ²)Y 17 παραδηλοῖ Rª E²(-ι in ras 2 litt) post αἰνίγματος add ἡμῖν T 18 post βασιλεία add τοῦ θεοῦ v 19 λογισόμεθα C ἕκαστον v

πιστοῦ οἰκέτου δεκαπλασιασθῆναι διὰ τῆς ἐργασίας, ἵνα οὕτως εἰσέλθῃ εἰς τὴν χαρὰν τοῦ κυρίου αὐτοῦ ἐν ὀλίγοις πιστὸς εὑρεθεὶς καὶ ἐπὶ πολλῶν καθιστάμενος. εἰ τοίνυν διὰ τῶν ἓξ τούτων ἐντολῶν ἡ τῆς βασιλείας γίνεται τῇ ψυχῇ κοινωνία, τὸ δὲ τέλειον τῆς ἐργασίας ἐφ' ἑκάστης ἐστὶ τὸ δεκαπλασιάσαι τὴν ἐντολήν, καθὼς ἔφη ὁ ἀγαθὸς δοῦλος ἐκεῖνος ὅτι Δέκα τάλαντα τὸ ἕν σου τάλαντον κατειργάσατο, εὑρίσκομεν ἐκ τοῦ ἀκολούθου τὴν μίαν βασίλισσαν εἰς ἑξήκοντα πλατυνομένην, τὴν διὰ τοῦ δεκαπλασιασμοῦ τῶν ἓξ ἐντολῶν εἰς κοινωνίαν τῆς βασιλείας παραδεχθεῖσαν, ὡς πολλὰς εἶναι τὴν μίαν τῷ πολυτρόπῳ χαρακτῆρι τῶν ἐντολῶν ἐμμερισθεῖσαν καὶ ἑκάστῳ τῶν κατορθωμάτων ἰδιαζόντως ἐμμορφωθεῖσαν. οὕτως οὖν εἰς ἑξήκοντα βασιλίδας ἡ μία καταμερίζεται πρὸς τὰ εἴδη τῶν ἐντολῶν διαιρουμένη τε καὶ ἀριθμουμένη καὶ γίνεται κοινωνὸς τῆς τοῦ Χριστοῦ βασιλείας ἡ νύμφη, δῆμος βασιλίδων ἡ μία γεγενημένη ἡ διὰ τῶν τοσούτων, τῶν κατὰ τὰς ἐντολὰς ἀξιωμάτων, ἀριθμηθεῖσα.

Εἰ δὲ τὴν ἑξάδα τῶν ἐντολῶν ἐν μιᾷ κατὰ τὸ δεκαπλάσιον γεωργηθεῖσαν ψυχῇ διὰ τῶν ἑξήκοντα βασιλίδων σημαίνεσθαι

(Patrol Syr I p 1027): 'Ille cuius mna aut talentum decemplicata sunt, accepit vitae consummationem'. cf Ter Ephrem 'Erklärung des Evangeliums' (armeniace) ed et illust Jos. Schäfers (Münster 1917) p 172: ἐκάλεσε δούλους ἑαυτοῦ δέκα καὶ ἔδωκεν αὐτοῖς ἑκάστῳ τάλαντον (retroversio Schäfers). at versio Arabica et cod Fuldensis habent textum parabolae sec Matth solum, scil utraque adaptata ad textum canonicum. 7 Luc 19, 16 (sec Tatianum, cf supra)

ERª ΛYS Σ PVT C 3 καὶ om S πολλὰ S 4 γίνεται coll post ψυχῇ S ψυχῆς(om τῇ) Rª 5 post τὸ alt add δὲ P 6 φησιν ΛYSΣT 7 κατειργασάμην V 8 ἀκολούθου: καθόλου P 10 ἐς v παραχθεῖσαν Rª παραδειχθεῖσαν V 12-13 καὶ—ἐμμορφωθεῖσαν om S(in marg inf add ut vid S², sed legi nequeunt) 14 ἡ μία: ἡμῖν C 15 τε καὶ ἀριθμουμένη om ERªPVCv τοῦ om ΛY 16 ἡ μία: ἡμῖν V ἡ tert om ΛYSΣ 17 τῶν pr om ERªPVCv τῶν alt om ΛYS coll post ἐντολὰς T 20 γεωργηθεῖσα V ψυχὴ ΣV ψυχὴν E(corr E²)PC(corr C²)v ἑξήκοντα: ἓξ E(exp et in marg corr E²)PC post ἑξήκοντα add ἓξ Rª

δι' αἰνίγματος οὐκ ἔξω τοῦ εἰκότος ὑπενοήσαμεν, ἀκολούθως καὶ διὰ τῶν ὀγδοήκοντα τὸ τῆς ὀγδόης μυστήριον παραδηλοῦσθαί φαμεν διὰ τοῦ ὁμοίου αἰνίγματος, πρὸς ἣν βλέποντες οἱ τῷ φόβῳ παιδαγωγούμενοι τῆς τῶν κακῶν κοινωνίας ἀπείργονται· οὕτω γὰρ ἐν ταῖς ψαλμῳδίαις ἐμάθομεν, ἐν αἷς προτέτακται μὲν διὰ τῆς ἐπιγραφῆς ἡ ὀγδόη, μαστιγουμένων δὲ ἄντικρύς εἰσιν αἱ φωναὶ τῷ φόβῳ τῶν ἐλπιζομένων εἰς ἔλεον τὴν ἀκοὴν ἐπικάμπτουσαι. φησὶ γὰρ πρὸς τὸν φοβερὸν κριτὴν ὁ πρὸς τὴν ὀγδόην βλέπων· Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. ἐλέησόν με, κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ὅσα ἐκ τοῦ ἀκολούθου τῷ ἀδεκάστῳ κριτῇ διὰ τῆς ἱκετηρίας προτείνεται, ἐν οἷς
1116 M. καὶ τὸ μὴ εἶναι θεοῦ μνήμην ἐν τῷ θανάτῳ ὀδύρεται (πῶς γὰρ ἂν εἴη δυνατὸν τοῖς κλαυθμῷ τε καὶ βρυγμῷ καταδεδικασμένοις τὴν ἐκ τῆς μνήμης τοῦ θεοῦ εὐφροσύνην ἐγγίνεσθαι οὕτως εἰπόντος ἑτέρωθι τοῦ προφήτου ὅτι ἡ μνήμη τοῦ θεοῦ εὐφροσύνην ποιεῖ;), καὶ ἄλλα τοιαῦτά τινα προτεινάμενος ὁ δεδοικὼς τὴν ὀγδόην ἐν αἰσθήσει τῆς τοῦ ἐλέου γίνεται μετουσίας λέγων ὅτι Εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. πολλῶν δὲ μακαρίων φόβων ὑπὸ τῆς ἁγίας δηλουμένων γραφῆς εἴη ἂν καὶ ἐπὶ τούτων ἀναλόγως ταῖς

2-21 summam facit e tractatu Περὶ τῆς ὀγδόης (= p 608-616 Migne) 6 cf Ps 6, 1; quoad explic allegor τῆς ὀγδόης cf Lev 12, 3; cf Origen Hom in Lev VIII 4 (= p 399, 9-23 Baehrens) et Method (fort de Origen Comm) Conv VII 6(= p 77, 15 sqq) 9-12 Ps 6, 2/3 12-14 cf Ps 6, 4-6 15-16 cf Matth 8, 12; 13, 42 et 50; 22, 13; 24, 51; 25, 30; Luc 13, 28 17-18 cf Ps 76, 4 20-21 Ps 6, 9

ER^a ΛYS Σ PVT C 1 εἰκότως ΣV ἐνοήσαμεν YSΛ^2(ἐν- corr in ras) κατενοήσαμεν P ἐπενοήσαμεν T 2 καὶ om V 3 ὁμοίου: ἰδίου C 6 προστέτακται Λ(eras -σ-)Y μὲν eras E om R^{a}v 7 εἶναι ΛY 8 ἔλαιον C(corr C^2) 9 κύριε om ΛYT 10 ἐλέξῃς R^a 12 ὅσα: ὅτι Y ἀκολούθου: καθόλου P 14 μνήμη V 15 post τοῖς add ἐν T 16 γίνεσθαι T 18 ante καὶ add ταῦτα οὖν v, fort recte τινα τοιαῦτα ΛY προτεινόμενος ER^{a}PVCv 19 ὁ om ΛYS ἐλαίου Λ(corr ἐλέους Λ^2) YC(corr C^2) ἐλέους E^2(adscr -ς)R^{a}v 19-20 μετουσίας γίνεται P 20 κύριος ΣPC^2(sscr)LXX: om cett v

ἐξ ἐντολαῖς ἡ ἐπὶ τὸ δεκαπλάσιον αὔξησις, ὥστε τὸν διδαχθέντα παρὰ τῆς ψαλμῳδίας, πῶς κατορθοῦται τοῦ κυρίου ὁ φόβος ἐκ τοῦ ἐκκλῖναι μὲν ἀπὸ τοῦ κακοῦ ποιεῖν δὲ τὸ ἀγαθόν, οἷόν τινα μνᾶν ἢ τάλαντον δεκαπλασιάσαι διὰ τῆς ἐργασίας τὸ χρῆμα τοῦ φόβου καὶ οὕτω τὴν δευτερεύουσαν μετὰ τὴν βασιλίδα ψυχήν, ἣ φόβῳ καὶ οὐκ ἀγάπῃ τὸ καλὸν κατεργάζεται, πρὸς τὸν ἀριθμὸν τῶν ὀγδοήκοντα πλατυνθῆναι ἕκαστον εἶδος τῶν διὰ φόβου κατορθουμένων ἐπὶ τοῦ βίου ἑαυτῆς ἀσυγχύτως τε καὶ διακεκριμένως δεικνύουσαν, ὡς καὶ ἐπὶ ταύτης τὸν τῆς ὀγδόης λόγον τῇ πρὸς τὸ δεκαπλάσιον αὐξήσει συμπλατυνθῆναι καὶ οὕτω γενέσθαι ἐν φόβῳ δουλικῷ καὶ οὐχὶ ἔρωτι νυμφικῷ τῷ ἀγαθῷ προσεγγίζουσαν παλλακὴν ἀντὶ τῆς βασιλίδος διὰ τὸν τῆς ὀγδόης φόβον, ὃν δεκαπλασίως ἐν τοῖς κατορθώμασιν ηὔξησεν, εἰς τὸν ἀριθμὸν συντελοῦσαν τῶν ὀγδοήκοντα. ἣν κελεύει καὶ ὁ τῆς ἱστορίας λόγος νόθῳ πρὸς καιρὸν καὶ οὐκ εὐγενεῖ τόκῳ ὑπηρετήσασαν μὴ συνοικεῖν εἰς τέλος τῇ βασιλίδι, ὡς οὐκ οὔσης ἐκ τοῦ ἴσου τῆς βασιλικῆς κληρονομίας τῇ δουλικῇ γονῇ πρὸς τὸν ἐλεύθερον τόκον· Ἔκβαλε γάρ, φησί, τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. εἰ δέ τινι βιαιοτέρα φαίνεται ἡ εἰς τὸν προκείμενον τοῖς

3-4 cf Ps 33, 15 4 cf Luc 19, 16 (sec Tatianum, cf Aphraates l.l. 'Ille cuius mna aut talentum decemplicata sunt') 19-21 Gen 21, 10 (textus sec Gal 4, 30)

ER^a ΛYS Σ PVT C 2 διδεχθέντα C(corr C^2) διαδεχθέντα P 3 ὁ coll ante 2 τοῦ ER^{a}v ἐκκλίνειν ΛYS ἀπό: ἐκ T τοῦ alt om ΛYSPVv 4 τὰ ἀγαθὰ (at cf 7 τὸ καλὸν) ER^{a}PTCv δεκαπλασιάσας ΛYS 5 τὸ χρῆμα om Λ(add Λ^2)YS post τοῦ add θείου v 6 οὐκ om ER^a 7 τῶν: τὸν P 8 τῶν διὰ om V 9 αὐτῆς V διακεκριμένως: ἀκεκρυμμένως v 10 ἐπιδεικνύουσαν S δεικνύουσα Σv τὸν om v 11 οὕτω om v 12 ἐν om v 13 post παλλακὴν add γὰρ V τῆς om P 15 συντελοῦσα PT συντελούσης C 16 ἣν κελεύει: καθὼς λέγει V λόγος om E(adscr E^2)PC(ins C^2) προσκαίρῳ ER^{a}ΛΣv 17 εὐγενῆ V 19 ἔκβαλλε Λ ἐμβάλλει Y 20 φησι sscr T 20-21 κληρονομήσει C (corr C^2) 22 βεβαιοτέρᾳ V εἰς: ἐκ V super προ(κείμενον) sscr σ C^2 22-466, 1 ἀριθμὸν coll ante τοῖς T

ῥητοῖς ἀριθμὸν θεωρία, ἀναμνησθήτω ὅτι καὶ κατ' ἀρχὰς τὸ μὴ δύνασθαι τυχεῖν τῆς ἐν τούτοις ἀληθείας ἐμαρτυράμεθα τοσοῦτον μόνον ἁψάμενοι ὅσον μὴ ἀγύμναστα καθόλου παραδραμεῖν τὰ αἰνίγματα.

Πλὴν εἰ ἔξω βάλοι τελείως ἡ ἀγάπη τὸν φόβον κατὰ τὸ γεγραμμένον καὶ μεταποιηθεὶς ὁ φόβος ἀγάπη γένοιτο, τότε εὑρίσκεται μονὰς τὸ σῳζόμενον ἐν τῇ πρὸς τὸ μόνον ἀγαθὸν συμφυΐᾳ πάντων ἀλλήλοις ἑνωθέντων διὰ τῆς κατὰ τὴν περιστερὰν τελειότητος. τοιοῦτον γάρ τι νοοῦμεν ἐκ τοῦ ἐφεξῆς λόγου ὅς φησιν ὅτι Μία ἐστὶ περιστερά μου, τελεία μου· μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν. ὅπερ ἐν τῷ εὐαγγελίῳ διὰ τῆς τοῦ κυρίου φωνῆς σαφέστερον ἡμῖν ἑρμηνεύεται· πᾶσαν γὰρ τοῖς μαθηταῖς ἑαυτοῦ ἐναποτιθέμενος διὰ τῆς εὐλογίας δύναμιν τά τε ἄλλα διὰ τῶν πρὸς τὸν πατέρα λόγων ἀγαθὰ τοῖς ἁγίοις χαρίζεται καὶ προστίθησι τῶν ἀγαθῶν τὸ κεφάλαιον, τὸ μηκέτι αὐτοὺς ἐν διαφορᾷ τινι προαιρέσεων ἐν τῇ περὶ τοῦ καλοῦ κρίσει πολλαχῇ διασχίζεσθαι, ἀλλ' ἓν γενέσθαι τοὺς πάντας τῷ ἑνὶ καὶ μόνῳ ἀγαθῷ συμφυέντας, ὥστε διὰ τῆς τοῦ πνεύματος τοῦ ἁγίου ἑνότητος, καθώς φησιν
1117 M. ὁ ἀπόστολος, τῷ συνδέσμῳ τῆς εἰρήνης διασφιγχθέντας

5 cf I Joh 4, 18 12-19 cf Joh 17 17-19 cf ex. gr. De an et res p 133 D (Migne) 20-p 467, 2 cf Eph 4, 3/4

ER^a ΛYS Σ PVT C 1 ῥητοῖς om Σ (sscr $Σ^2$) ἀναμνήσθητι ut vid Y 2 ἐμαρτυρόμεθα V 3 ἅψασθαι R^a E^2 (corr σθαι in ras) v ὅσον: ὥστε ΛYPVC om E (in marg add ὅσον E^2) 5 βάλη P βάλλει T τελείως coll post ἀγάπη ER^av τελεία (sic) coll post ἡ (scil sec I Joh 4, 18) V τὸν φόβον coll post βάλοι ER^aCv 7 μονὰς om P τῷ σωζομένῳ ut vid E (corr E^2) ἐν—μόνον om E (in marg add E^2) PVC 8 ἀγαθῷ S συμφυΐᾳ πάντων: συμφώνως τούτων V πάντως S 10 ὅς: ὥς S ὅτι om ΛYSV 11 ἐκλεκτική v 13 ἡμῖν om ER^av γὰρ om P 14 αὑτοῦ R^aΛYVC διὰ om V 15 τῶν: τὸν V πρὸς τὸν πατέρα om S (spatio 7 fere litt rel, in marg add S^2) λόγον V 16 ἀξίοις ΛYSΣ at cf Joh 17, 19 ἡγιασμένοι καὶ om v ante τῶν add δὲ v 17 τινι om P 19 (συ)μφ(υέντας) corr in ras 3 vel 4 litt E^2 20 ante τοῦ alt eras in initio lin 4 vel 5 litt E 21 ante τῷ add ἐν Σ

ἓν σῶμα γενέσθαι τοὺς πάντας καὶ ἓν πνεῦμα διὰ μιᾶς ἐλπίδος εἰς ἣν ἐκλήθησαν. βέλτιον δ' ἂν εἴη αὐτὰς ἐπὶ λέξεως παραθέσθαι τὰς θείας τοῦ εὐαγγελίου φωνάς· Ἵνα πάντες ἓν ὦσι καθὼς σύ, πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν. τὸ δὲ συνδετικὸν τῆς ἑνότητος ταύτης ἡ δόξα ἐστίν· δόξαν δὲ λέγεσθαι τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἄν τις τῶν ἐπεσκεμμένων ἀντείποι πρὸς αὐτὰς βλέπων τὰς τοῦ κυρίου φωνάς· Τὴν δόξαν γάρ, φησίν, ἣν ἔδωκάς μοι, ἔδωκα αὐτοῖς. ἔδωκε γὰρ ὡς ἀληθῶς τοῖς μαθηταῖς τοιαύτην δόξαν ὁ εἰπὼν πρὸς αὐτούς· Λάβετε πνεῦμα ἅγιον. ἔλαβε δὲ ταύτην τὴν δόξαν ἣν πάντοτε εἶχε πρὸ τοῦ τὸν κόσμον εἶναι ὁ τὴν ἀνθρωπίνην φύσιν περιβαλόμενος, ἧς δοξασθείσης διὰ τοῦ πνεύματος ἐπὶ πᾶν τὸ συγγενὲς ἡ τῆς δόξης τοῦ πνεύματος διάδοσις γίνεται ἀπὸ τῶν μαθητῶν ἀρξαμένη. διὰ τοῦτό φησι· Τὴν δόξαν, ἣν ἔδωκάς μοι, ἔδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν ἐσμεν· ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς τὸ ἕν. ὁ τοίνυν ἐκ μὲν νηπίου πρὸς ἄνδρα τέλειον ἀναδραμὼν διὰ τῆς αὐξήσεως καὶ φθάσας εἰς τὸ μέτρον τῆς νοητῆς ἡλικίας, ἐκ δὲ τῆς δούλης τε καὶ τῆς παλλακίδος τὴν τῆς βασιλείας ἀξίαν μεταλαβών, δεκτικὸς δὲ τῆς τοῦ πνεύματος δόξης γενόμενος

3-5 Joh 17, 21 8-9 Joh 17, 22 10 Joh 20, 22 11-12 cf Joh 17, 5 15-17 Joh 17, 22/23 (sec Tatianum ut vid, cf versio Arabica cap XLVII Ciasca: '. . . sicut nos unum sumus'. scil de aoristo ἔδωκας etc e versionibus nec Latinis neque orientalibus certiores fieri possumus.) 17-19 cf Eph 4, 13/14

ER^a ΛYS Σ PVT C 2 post ἣν add καὶ V δ' om PC (ins δὲ C^2) αὐτοὺς ut vid R^a λέξεων V 5 ἐν ἡμῖν om Cv συνδοτικὸν Y συνδεκτικὸν V νεότητος R^a ἑνώσεως ΛYS 6 δὲ om E (sscr E^2) PC (sscr C^2) 8 δέδωκάς T Joh 17, 22 δέδωκα ER^aVTv Joh 17, 22 9 ὡς ἀληθῶς coll post μαθηταῖς C 10-11 ἔλαβε δὲ: ἔλαβον γὰρ V 11 ταύτην om T πάντοτε: αὐτὸς τότε V 12 περιβαλόμενος SC: περιβαλλόμενος cett v 15 δέδωκα Vv Joh 17, 22 16 post καθὼς add καὶ T ἐσμεν coll ante ἓν alt ΛYC om Joh 17, 22 16-17 ἐγὼ—ἐμοί om S 17 τὸ om T 18 πρὸς: εἰς ΛYSΣ 19 ἡλικίας: ἐκκλησίας Λ (corr in marg $Λ^2$) Y 20 τῆς pr om ΣP βασιλίδος V, fort recte 21 δεκτὸς T δεκτικῶς C (corr C^2) post τοῦ add ἁγίου P

δι᾽ ἀπαθείας καὶ καθαρότητος, οὗτός ἐστιν ἡ τελεία περιστερὰ πρὸς ἣν ὁ νυμφίος ὁρᾷ λέγων ὅτι Μία ἐστὶ περιστερά μου, τελεία μου, μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν. οὐκ ἀγνοοῦμεν δὲ πάντως τὴν μητέρα τῆς περιστερᾶς ἐκ τοῦ καρποῦ τὸ δένδρον γνωρίσαντες· ὡς γὰρ ἄνθρωπον θεασάμενοι ἐξ ἀνθρώπου αὐτὸν εἶναι οὐκ ἀμφιβάλλομεν, οὕτω καὶ τῆς ἐκλεκτῆς περιστερᾶς τὴν μητέρα ζητοῦντες οὐκ ἄλλην τινὰ ἐκείνην ἢ περιστερὰν ἐννοήσομεν· τῷ γὰρ τέκνῳ πάντως ἡ τοῦ γεγεννηκότος ἐπιθεωρεῖται φύσις. ἐπεὶ οὖν τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστι, περιστερὰ δὲ τὸ τέκνον, περιστερὰ πάντως καὶ ἡ τοῦ τέκνου μήτηρ ἐστίν, ἡ ἐπὶ τὸν Ἰορδάνην ἐξ οὐρανῶν καταπτᾶσα, καθὼς Ἰωάννης μαρτύρεται. ταύτην μακαρίζουσι νεάνιδες, ταύτην αἰνοῦσι παλλακαὶ καὶ βασίλισσαι· κοινὸς γὰρ ἐκ παντὸς τάγματος πρόκειται πάσαις ταῖς ψυχαῖς δρόμος πρὸς τὴν τοιαύτην μακαριότητα. διό φησιν· Εἴδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτήν· βασίλισσαι καὶ παλλακαὶ αἰνέσουσιν αὐτήν. φύσις δὲ πᾶσίν ἐστι πρὸς τὸ μακάριόν τε καὶ ἐπαινούμενον τῇ ἐπιθυμίᾳ συντείνεσθαι. ὥστε εἰ μακαρίζουσι τὴν περιστερὰν αἱ θυγατέρες, ἐπιθυμοῦσι

12-13 cf Joh 1, 32   17-18 Cant 6, 9

ER^a ΛYS Σ PVT C 2 ἣν: ὃν ΛY 3 ἐκλεκτική v 4 δὲ πάντως om E(add in marg E^2) 6 ἀνθρώπου: αν̅θου (sic)E^2 (αν corr in ras, ante α eras 1 litt: scil τοῦ θεοῦ E) 6-7 ἀμφιβάλλωμεν C ἀμφιβάλομεν VΛ(sscr λ alt Λ^1 vel Λ^2) 7 τὴν sscr E(pr m ut vid) 8 post τινὰ add ἢ R^a E^2(sscr)Λ^2 (sscr)ΣTv ἢ correxi: τὴν codd v post περιστερὰν add εἶναι T ἐννοήσομεν P: ἐννοήσωμεν ER^{a}ΣVC(corr C^2) ἐννοήσαμεν Y ἐνοήσαμεν ΛSTv 10 γεγενημένον Σ 11 πάντως: δὲ C δὲ πάντως v 12 οὐρανοῦ ΛY 13 ante μαρτύρεται add φησὶ καὶ E(καὶ corr in ras in fin lin E^2)R^{a}v 14 ante νεάνιδες add αἱ ER^{a}ΣPVTCv ante αἰνοῦσι add καὶ C ἐπαινοῦσιν αἱ παλλακαὶ καὶ αἱ βασίλισσαι T 15 κοινῶς P ἐκ παντὸς: ἐξ ἑκάστου T ἐπίκειται Λ(corr Λ^2) ἐπιπρόσκειται Y ταῖς om Σ 16 ὁ δρόμος T φασιν v 17 ἴδοσαν ER^{a}SC^2(ex εἴδωσαν)v 17-18 βασίλισσαι—αὐτήν om ER^{a}PVC παλλακαὶ καὶ βασίλισσαι v 18 post παλλακαὶ add καὶ T LXX (codd plurimi) αἰνοῦσιν T αὐτήν om v δὲ om P πᾶσά v

πάντως γενέσθαι περιστεραὶ καὶ αὐταί. καὶ τὸ αἰνεῖσθαι τὴν
περιστερὰν παρὰ τῶν παλλακῶν τε καὶ βασιλίδων τεκμήριόν
ἐστι τοῦ καὶ ταύτας πρὸς τὸ ἐπαινούμενον τὴν σπουδὴν
ἔχειν, ἕως ἂν πάντων ἓν γενομένων τῶν πρὸς τὸν αὐτὸν
σκοπὸν τῆς ἐπιθυμίας βλεπόντων, μηδεμιᾶς ἐν μηδενὶ
κακίας ὑπολειφθείσης, γένηται ὁ θεὸς τὰ πάντα ἐν πᾶσι,
1120 M. τοῖς διὰ τῆς ἑνότητος ἀλλήλοις ἐν τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ
συγκεκραμένοις ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ
δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

6 cf I Cor 15, 28

ER^a ΛYS Σ PVT C 1 αὗται ER^a(αὖ-)VTCv ἐπαινεῖσθαι V 2 et παλλακίδων et om τε καὶ βασιλίδων ER^{a}PVCv 3 ταύταις V 4 ἕως: ὡς Σ 5 σκοπὸν: σκο(sic)P om V τὴν ἐπιθυμίαν ut vid T(sed corr) 6 ὑπολειφθείσι E(corr E^2)C(ut vid, corr C^2) πᾶσι: σὶ (sic)R^a 7 νεότητος P τοῦ om P 8 post ᾧ add πρέπει ΛYΣ 9 καὶ τὸ κράτος om ΛYS post κράτος add σὺν τῷ ἀχράντῳ πατρί· καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι· νῦν καὶ ἀεὶ καὶ T post ἀμήν add τέλος τοῦ ἐκκλησιαστοῦ καὶ τοῦ ᾄσματος τῶν ᾀσμάτων ΛY(an Y^2?)

INDEX LOCORUM BIBLICORUM ET AUCTORUM QUI IN TESTIMONIIS ADHIBITI SUNT

(loca a Gregorio ad verbum laudata significantur numeris cursivis)

VERSUS BIBLICI

Vetus Testamentum

Ad Timotheum I

Ad Timotheum II

Ad Titum

Ad Hebraeos

Ad Hebraeos

Epistula Jacobi

I Petri

II Petri

I Johannis

Apocalypsis

Acta Pauli

AUCTORES ECCLESIASTICI ET PROFANI

Aelianus

Ambrosius

Aratus

Archilochus

Aristoteles

ADDENDA ET CORRIGENDA

p. 1 *lege* codex Leidensis Vulcanii
p. 4 app. ad 2: ἀπεδεξάμην ΘΣTCBv
p. 12 app. ad 18: παραδεικνύουσα ΣTCNv
p. 13 app. ad 20: ἡμίσεως E(corr E^2)YΣVC(corr C^2)Nv
p. 14 app. ad 1: λόγος πρῶτος T(post 12)Nv λόγος δεύτερος Syr om titul C
p. 24 app. ad 16: δὲ: δὴ EΛY
p. 27 app. ad 10: *intervallum inter* ὁρᾶν V *et* ἐκεῖνον v
p. 30 app. ad 11: *lege* 11 *pro* 10
p. 34 app. ad 5: ἐν om v
p. 35 app. ad 10: τε om ER^a
p. 59, 16 et 18: Πῶς
p. 63 app. ad 15: ποιμένων v LXX
p. 76 testim. ad 3 πρωτοτόκων τὰ πάθη: cf Exod 11,5-12, 30
p. 82 app. ad 18: προθεῖναι TN
p. 102 testim. ad 4: Origen De princ III 1, 8 (p. 207,1 sq)
p. 107 in app. ad 5 *adde* ἐγένετο om v
p. 111 app. ad 5-6: τῶν παγίδων: τοῦ θαλάμου
p. 112 app. ad 2: post λέγεται add εἶναι ER^{a}v
p. 115 app. ad 3: τὴν E(ut vid. corr E^2)R^{a}PVT(corr ex -ῆς in ras)CN
p. 126 app. ad 11: ὅτι pr Syr:
p. 142 app. ad 12: *post* Syr *dele puncta* (:)
p. 264, 9: αὐτῆς. *et dele in app.*: αὐτῆς cett v
p. 265 app. ad 13: *post* dubium restat *adde* cf supra p. 33, 12 et 18; 35, 9 et 13; 41, 2/3 et 6; 238, 15
p. 278 app. ad 15-16: 1 lin cod 2 vel 3 columnis exarati
p. 353 app. ad 11: *ante* ἐμφανίσεσθαι *adde puncta* (:)
p. 372 app. ad 4: at cf additam. Syr ad lin 15
p. 374 app. ad 7: *post* cf lin 5 *adde* at cf supra p 372, 2
p. 389 app. ad 17: δίχα: διὰ τῆς EΛYv ἐν ἄλλω τὰ δίχα δια τῆς (sic) R^a *et dele* διὰ τῆς v
p. 394 testim. ad 16: I Paralip 29, 29
p. 446, 1: ἐπεὶ
p. 459 app. ad 8: βρώσεως E(corr βιώσεως E^2)V(cf supra p. 326,1)v